1 ἔντομα] Ael. nat. an. l. c. 289,26 ἔντομα δὲ σφὴξ μέλιττα· λέγουσι δὲ μηδὲ πνεύμονας ἔχειν ταῦτα. Arist. hist. anim. Δ 1 p. 523b13 ἔστι δ' ἔντομα ὅσα κατὰ τοὔνομα ἐστὶν ἐντομὰς ἔχοντα ἢ ἐν τοῖς ὑπτίοις ἢ ἐν τοῖς πρανέσιν ἢ ἐν ἀμφοῖν, καὶ οὔτε ὀστῶδες ἔχει ἓν κεχωρισμένον οὔτε σαρκῶδες, ἀλλὰ μέσον ἀμφοῖν· . . . ἔστι δ' ἔντομα καὶ ἄπτερα, οἷον ἴουλος καὶ σκολόπενδρα, καὶ πτερωτά, οἷον μέλιττα καὶ μηλολόνθη καὶ σφήξ· καὶ ταὐτὸ δὲ γένος ἐστὶ καὶ πτερωτὸν καὶ ἄπτερον, οἷον μύρμηκές εἰσι καὶ πτερωτοὶ καὶ ἄπτεροι καὶ αἱ καλούμεναι πυγολαμπίδες 3 μήτε ἀναπνεῖν] Arist. hist. anim. Δ 9 p. 535b9 οὐθὲν γὰρ ἀναπνεῖ αὐτῶν. cf. de respir. 3 p. 471b20 et 9 p. 475a29 ἀμφίβια] Ael. l. c. 289,27 ἀμφίβια δὲ ἵππος ποτάμιος ἐνυδρὶς κάστωρ κροκόδειλος. cf. Arist. hist. anim. Θ 2 p. 589a10 sqq., qui tamen ipso verbo ἀμφίβια nondum utitur cf. Rose p. 7 7 λεπιδωτά] Arist. hist. anim. Γ 10 p. 517b5 λεπίδας δ' ἰχθύες (ἔχουσι) μόνοι ὅσοι ᾠοτοκοῦσι τὸ ψαθυρὸν ᾠόν· τῶν γὰρ μακρῶν γόγγρος μὲν οὐ τοιοῦτον ἔχει ᾠόν, οὐδ' ἡ μύραινα, ἔγχελυς δ' ὅλως οὐκ ἔχει. cf. B 13 p. 505a25 8 φολιδωτά] Ael. l. c. 289,28 φολιδωτὰ δὲ σαῦρος σαλαμάνδρα χελώνη κροκόδειλος ὄφις. Arist. hist. anim. Θ 13 p. 599a31. B 12 p. 504a27. Θ 5 p. 594a4 10 ταῦτα] Ael. l. c. 289,29 ταῦτα δὲ καὶ τὸ γῆρας ἀποδύεται πλὴν κροκοδείλου καὶ χελώνης. Arist. hist. anim. Θ 17 p. 600b19 11 φωλεύει] Arist. hist. anim. Θ 13 p. 599a32 τέτταρας μῆνας τοὺς χειμεριωτάτους 13 μώνυχα] Ael. l. c. 289,31 μώνυχα δὲ ἵππος ὄνος. Arist. hist. anim. B 1 p. 499b11 μώνυχα ὥσπερ ἵππος καὶ ὀρεύς. part. anim. Γ 12 p. 674b2 τὰ δὲ μώνυχα . . . οἷον ἵππος καὶ ὀρεὺς καὶ ὄνος 14 τούτους] Arist. hist. anim. A 6 p. 491a1 ἐπὶ τοῖς λοφούροις καλουμένοις, οἷον ἵππῳ καὶ ὄνῳ καὶ ὀρεῖ καὶ γίννῳ καὶ ἴννῳ καὶ ταῖς ἐν Συρίᾳ καλουμέναις ἡμιόνοις. cf. gener. anim. Γ 5 p. 755b18 ὥσπερ αἱ ἡμίονοι ἐν τῷ γένει τῶν λοφούρων διχηλὸς] Ael. l. c. 289,31 δίχηλα δὲ βοῦς ἔλαφος αἷξ οἷς χοῖρος. cf. Arist. hist. anim. B 1 p. 499b16

---

4 τῆς χέρσου Rose: γῆς χέρσου P 5 ἔνυδρις scripsi: ἔνυδρος P 6 οἳ Rose: οἷον P 9 (item v. 13) χελόνη P 10 τὸ add. Rose: om. P 11 τοὺς χειμεριωτάτους μῆνας τέσσαρας scripsi cf. Arist.: τὰς χειμερινὰς ταύτας ἡμέρας τεσσαράκοντα P: τὰς χειμερινωτάτας ἡμέρας τεσσαράκοντα scripsit Rose; idem proponit in nota τὰς (sic) χειμερινωτάτας (sic) μῆνας τέτταρας 13 μώνυχα Rose: μόννυχα P 14 μὴ νεῖν P: ἡμιόνους Rose: at ἡμίονος lophurorum species est: an latet μῆνας emendata lectio ex marg. v. 11 huc delata? λοφούρους Rose: λοφύρους P δίχηλος Rose

ἐν τοῖς ὀπισθίοις ποσὶν ἀστραγάλους ἔχειν. (16) πολυσχιδῆ δὲ ὅ τε ἄν- 19 θρωπος κύων λέων μῦς καὶ εἴ τι ἄλλο· οἷς καὶ συμβέβηκε πολυτοκεῖν. (17) στεγανόποδα δὲ λέγεται ἅμα καὶ πλατυώνυχα κύκνος χὴν πελεκὰν καὶ τὸ τῶν νηττῶν πᾶν γένος· οἷς καὶ συμβέβηκε φιλύδροις εἶναι. (18) δερμόπτερος δὲ ἡ νυκτερίς, ἥ τις μόνη τῶν πτητικῶν ζῳοτοκεῖ καὶ γάλα ἔχει ἐν τοῖς μαστοῖς καὶ θηλάζει εὐθέως τὸ γεννώμενον. (19) κολεόπτερος δὲ καλεῖται ὅ τε κάνθαρος καὶ ἡ μηλολόνθη καὶ εἴ τινα f. 7v ἄλλα. (20) πτιλωτὰ δὲ κατωνόμασται | μέλιττα σφὴξ τέττιξ καὶ εἴ τι τῶν ἀκρίδων καὶ μυιῶν καὶ ἀττελάβων γένος. ταῦτα δὲ καὶ ἄναιμα συμβέβηκεν εἶναι. (21) πτερωτὰ δὲ ἀλεκτρυὼν καὶ τὰ ἄλλα δὲ τὰ γινωσκόμενα πᾶσι. (22) γαμψώνυχα δὲ εἴρηται ὅσα τῶν πτερωτῶν τὴν ἐπιρρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷός ἐστιν ὅ τε ἀετὸς καὶ ὁ ἱέραξ καὶ κέγχρη ἄλλα τε τὰ μὴ πίνοντα. (23) τῶν δὲ πτερωτῶν ὀρνίθων ἃ μέν ἐστιν εἴδη νυκτερινὰ ἃ δὲ ἡμερινά, καὶ ἃ μὲν θαλάσσια ἃ δὲ ποτάμια ἃ δὲ χερσαῖα. ἡμερινὰ μὲν οὖν ἐστι τὰ πᾶσι φαινόμενα καθ' ἡμέραν, νυκτερινὰ δὲ

1 ἐν τοῖς ὀπισθίοις] cf. Arist part. anim. Δ 10 p. 690b5—24  πολυσχιδῆ] Arist. part. anim. Δ 10 p. 688a34 τὰ δὲ πολυτόκα ἢ πολυσχιδῆ τὰ μὲν περὶ τὴν γαστέρα (ἔχει τοὺς μαστοὺς) πλαγίους καὶ πολλούς, οἷον ὗς καὶ κύων, τὰ δὲ δύο μόνους, περὶ μέσην μέντοι γαστέρα, οἷον λέων et alibi. Ael. nat. anim. XI 37. 289,32 πολυσχιδῆ δὲ ἄνθρωπος κύων  2. 3 πολυτοκεῖν] Arist. gener. anim. Δ 4 p. 771a21 κύων δὲ καὶ λύκος καὶ τὰ πολυσχιδῆ πάντα πολυτόκα σχεδόν, καὶ τὰ μικρὰ τῶν τοιούτων, οἷον τὸ τῶν μυῶν γένος  3 στεγανόποδα] Ael. l. c. 289,32—290,1 H. στεγανόποδα δὲ καὶ πλατυώνυχα κύκνος χήν. enumerantur στεγανόποδα ap. Arist. hist. anim. Θ 3 p. 593b15 sqq.  5 δερμόπτερος] Arist. hist. anim. Α 5 p. 490a7 τὰ δὲ δερμόπτερα, οἷον ἀλώπηξ καὶ νυκτερίς  7 κάνθαρος] Arist. mot. anim. 10 p. 710a10 τά τε κολεόπτερα, οἷον κάνθαροι καὶ μηλολόνθαι  8 πτιλωτὰ] Arist. hist. anim. Α 5 p. 490a6 τὰ δὲ πτιλωτά, οἷον μέλιττα καὶ μηλολόνθη. σφὴξ autem inter πτερωτὰ refertur una cum api et melolonthe ap. Arist. hist. anim. Δ 1 p. 523b18 et inter ἄναιμα una cum api vespa musca 456a14  τέττιξ, qui inter ἄναιμα refertur ap. Arist. hist. anim. Δ 7 p. 532b10, enumeratur inter animalia quae γίνονται ἐκ ζῴων τῶν συγγενῶν una cum attelabo et locusta hist. anim. Ε 19 p. 550b32 et cum insectis quorum γένεσίς ἐστιν ἐκ ζῴων συνωνύμων una cum locusta et phalangis et vespa et formica ap. Arist. gener. anim. Α 16 p. 721a4  9 ἀκρίδων] locustae inter πηδητικὰ et ἄναιμα enumerantur apud Arist. hist. anim. Δ 7 p. 532b10  ἄναιμα] Arist. hist. anim. Α 5 p. 490a9 πτιλωτὰ δὲ ὅσα ἄναιμα, οἷον τὰ ἔντομα  11 γαμψώνυχα] Arist. part. anim. Γ 1 p. 662b1 τὰ μὲν γὰρ γαμψώνυχα καλούμενα διὰ τὸ σαρκοφαγεῖν καὶ μηδενὶ τρέφεσθαι καρπῷ γαμψὸν ἔχει τὸ ῥύγχος ἅπαντα  12 ἀετὸς inter γαμψώνυχα refertur Arist. hist. anim. Ι 1 p. 609b7, ἱέραξ hist. anim. Ζ 7 p. 563b19, κέγχρη, ab Aristotele κεγχρηὶς aut κεγχρὶς appellata, hist. anim. Ζ 1 p. 538b28. gener. anim. Γ 1 p. 750a8  13 τὰ μὴ πίνοντα] Arist. hist. anim. Θ 3 p. 593b29 οἱ δὲ γαμψώνυχες καὶ ἄποτοι πάμπαν. cf. hist. anim. Θ 18 p. 601a32  14 νύκτερινά] Arist. hist. anim. Θ 3 p. 592b8 ἔτι τῶν νυκτερινῶν (ὀρνίθων) ἔνιοι γαμψώνυχές εἰσιν, οἷον νυκτικόραξ, γλαύξ, βρύας (in codicibus PDa βύας) .... ἔτι δ' ἐλεὸς καὶ αἰγώλιος (609a27 et alibi αἰγωλιὸς) καὶ σκώψ

1 ἀστραγγάλους P  2. 3 πολυτοκεῖν Rose: πολοτοκεῖν P  3 πλατυόνυχα P  4 νηττῶν scripsi: νηκτῶν P  7 κολεόπτερος Rose: κολοιόπτερ° P  9 μυιῶν Rose: μυῶν P  11 ἐπιρρυγχίδα γεγάμψωκεν Rose: ἐπιρυγχίδα γεγάψωκεν P  14 εἴδη Rose: ἤδη P

γλαὺξ ἐλεὸς βόας νυκτικόραξ αἰγωλιὸς σκώψ, θαλάσσια δὲ ἀλκυὼν κήρυλος αἴθυια λάρος χαραδριὸς καταρράκτης κέπφος κίγκλος. ὑπὲρ δὲ τοῦ βίου τούτων καὶ τῆς μορφῆς καὶ καθόλου τῶν ἄλλων ὀρνίθων ἐν τῷ τετάρτῳ δηλώσω. (24) ποτάμιοι δέ εἰσι τῶν ὀρνίθων ἅμα καὶ λιμναῖοι πελεκὰν καταρράκτης χὴν ἄγριος ἰωνὶς φαλαρὶς κύκνος καὶ ἄλλα. χερσαῖα δέ εἰσι πέρδιξ ἀτταγὴν καὶ τὸ τῶν περιστερῶν γένος καὶ ἄλλα μυρία. (25) καθόλου δὲ τῶν ζῴων ἃ μέν ἐστι πρᾶα διὰ παντός, ὡς πρόβατον καὶ βοῦς, τὰ δὲ θυμοειδῆ καὶ ἀμαθῆ, καθάπερ ὗς, τὰ δὲ δειλὰ καὶ ἄφρονα, ὡς ἔλαφος, τὰ δὲ ἐπίβουλα καὶ ἀνελεύθερα, ὡς τὸ τῶν ὄφεων γένος, τὰ δὲ ἐλευθέρια καὶ γενναῖα, ὡς λέων, τὰ δὲ ἐπίβουλα καὶ ἐπιθετικά, ὡς λύκος, τὰ δὲ φρόνιμα καὶ κακοῦργα, ὡς ἀλώπηξ, τὰ δὲ συνανθρωπευόμενα καὶ ἀσπαστικά, ὡς κύων, τὰ δὲ φθονερὰ καὶ φιλόκαλα, ὡς ταώς. καὶ τὰ μὲν συναγελαστικὰ καὶ φιλάλληλα, ὡς γέρανοι, τὰ δὲ μονήρη καὶ ἐχθρά, ὡς ἰκτῖνες καὶ τὰ ἄλλα, τὰ δὲ συναγελαστικὰ ἅμα καὶ μονήρη, ὡς ἄνθρωποι. (26) ἔτι δὲ τῶν ζῴων τὰ μέν ἐστι πολιτικά, ὡς μέλιττα καὶ μύρμηξ, τὰ δὲ ἐπιδημητικά, ὡς γέρανος καὶ ἄλλα, τὰ δὲ οἰκητικά, ὡς ἀσπάλαξ, τὰ

1 θαλάσσια] Arist. Θ 3 p. 593b12 περὶ δὲ τὴν θάλατταν καὶ ἀλκυὼν καὶ κήρυλος . . . ἔτι δὲ λάρος ὁ λευκὸς καὶ κέπφος, αἴθυια, χαραδριός  2 καταρράκτης] Arist. hist. anim. I 12 p. 615a28 ὁ δὲ καταρράκτης ζῇ μὲν περὶ θάλατταν  κίγκλος] Arist. l. c. 615a20 εἰσὶ δέ τινες οἳ περὶ τὴν θάλατταν βιοῦσιν, οἷον κίγκλος  4 ποτάμιοι] Arist. hist. anim. Θ 3 p. 593b15 τῶν δὲ στεγανοπόδων τὰ μὲν βαρύτερα περὶ ποταμοὺς καὶ λίμνας ἐστίν, οἷον κύκνος νῆττα φαλαρὶς κολυμβίς, ἔτι βόσκας ὅμοιος μὲν νήττῃ τὸ δὲ μέγεθος ἐλάττων καὶ ὁ καλούμενος κόραξ . . . ἔτι χήν etc.  πελεκὰν] Arist. hist. anim. I 10 p. 614b26 οἱ δὲ πελεκᾶνες οἱ ἐν τοῖς ποταμοῖς γινόμενοι  5 καταρράκτης] inter σχιζόποδας qui περὶ τὰ ὕδατα καὶ τὰ ἕλη βιοτεύουσιν memoratur ab Aristotele hist. anim. I 12 p. 615a28  ἰωνὶς] quid sit non liquet; a nullo enim scriptore memoratur  6 πέρδιξ] Athen. IX 389a φησὶ δ' Ἀριστοτέλης περὶ τοῦ ζῴου τάδε· ὁ πέρδιξ ἔστι μὲν χερσαῖος, σχιδανόπους κτλ.  7 Arist. hist. anim. A 1 p. 488b13 τὰ μὲν γάρ ἐστι πρᾶα καὶ δύσθυμα καὶ οὐκ ἐνστατικά, οἷον βοῦς, τὰ δὲ θυμώδη καὶ ἐνστατικὰ καὶ ἀμαθῆ, οἷον ὗς ἄγριος. τὰ δὲ φρόνιμα καὶ δειλά, οἷον ἔλαφος δασύπους, τὰ δὲ ἀνελεύθερα καὶ ἐπίβουλα, οἷον οἱ ὄφεις, τὰ δὲ ἐλευθέρια καὶ ἀνδρεῖα καὶ εὐγενῆ, οἷον λέων, τὰ δὲ γενναῖα καὶ ἄγρια καὶ ἐπίβουλα, οἷον λύκος . . . καὶ τὰ μὲν πανοῦργα καὶ κακοῦργα, οἷον ἀλώπηξ, τὰ δὲ θυμικὰ καὶ φιλητικὰ καὶ θωπευτικά, οἷον κύων, τὰ δὲ πρᾶα καὶ τιθασσευτικά, οἷον ἐλέφας, τὰ δ' αἰσχυντηλὰ καὶ φυλακτικά, οἷον χήν, τὰ δὲ φθονερὰ καὶ φιλόκαλα, οἷον ταώς  13 συναγελαστικὰ] cf. Arist. hist. anim. A 1 p. 487b33—488a8  14 ἰκτῖνες καὶ τὰ ἄλλα] cf. Ael. nat. anim. V 48 (p. 131,28—132,20 H.)  15 πολιτικά, ὡς μέλιττα] Arist. hist. anim. A 1 p. 488a7 πολιτικὰ δ' ἐστὶν ὧν ἕν τι καὶ κοινὸν γίνεται πάντων τὸ ἔργον· ὅπερ οὐ πάντα ποιεῖ τὰ ἀγελαῖα. ἔστι δὲ τοιοῦτον ἄνθρωπος, μέλιττα, σφήξ, μύρμηξ, γέρανος . . . καὶ τὰ μὲν ἐπιδημητικὰ καὶ τῶν ἀγελαίων καὶ τῶν μοναδικῶν, τὰ δὲ ἐκτοπιστικά  16 γέρανος] cf. Arist. hist. anim. Θ 12 p. 597a4—597b3  καὶ ἄλλα] cf. Arist. hist. anim. Θ 12 p. 597b3—5  τὰ δὲ οἰκητικὰ] cf. Arist. hist. anim. A 1 p. 488a20 καὶ τὰ μὲν οἰκητικὰ τὰ δὲ ἄοικα, οἰκητικὰ μὲν οἷον ἀσπάλαξ, μῦς, μύρμηξ, μέλιττα, ἄοικα δὲ πολλὰ τῶν ἐντόμων καὶ τῶν τετραπόδων

1 αἰγωλιὸς σκώψ Rose: ἐπηλιός κώψ P  κήρυλος Arist. (κηρύλος Rose): κήρυκες P  2 αἴθυ (α supra scr.) P  κίγκλος Rose: κόγκλος sic P  4 λιμναῖοι sic P  7 ἃ P: fortasse τὰ  πρᾶα scripsi: πρασὰ P: πραέα Rose  15 ἔτι Rose: Ὅτι errore rubricatoris P

f. 8r δὲ ἄοικα, ὡς τὸ τῶν ἀκρίδων γένος. | ἔτι δὲ καὶ τῶν ζῴων ἃ μὲν ἀεὶ 20 ἥμερα, ὡς ἄνθρωπος καὶ ὀρεύς, ἃ δὲ ἀεὶ ἄγρια, ὡς πάρδαλις καὶ λύκος, 21 ἃ δὲ ἐξημερούμενα, ὡς ἐλέφας καὶ ἕτερα πλείονα.

(27) Ἀλλὰ τὰ μὲν τῆς διαιρέσεως ἐπὶ τοσοῦτον. ἐπεὶ δὲ δύο πράξεις τοῖς ζῴοις, ἡ μὲν περὶ τὴν εὐπορίαν τῆς τροφῆς, ἡ δὲ περὶ τὴν κύησιν καὶ 25 ἔκτεξιν αὐτῶν, ἀναγκαῖον τὰ περὶ τὴν κύησιν αὐτῶν πρότερον ἐπιδραμεῖν, ἐπειδὴ καὶ περὶ τῆς γενέσεως αὐτῶν τὸν πλεῖστον ὑπεσχόμην λόγον ποιήσασθαι.

(28) Εἰσὶν οὖν καιροὶ ἑκάστοις τῶν ζῴων ὡρισμένοι πρός τε τὴν ὀχείαν καὶ τὴν κύησιν. ὧν τὰ μὲν πτητικὰ πάντα ἐν τῷ ἔαρι ποιεῖται τὸν συν- 30 δυασμὸν καὶ νοτίοις μᾶλλον τίκτει ἤπερ βορείοις, μόνη δὲ ἀλκυὼν περὶ 21 τὰς χειμερινὰς ⟨τροπὰς⟩ τὸν συνδυασμὸν καὶ τὴν ἔκτεξιν ποιεῖται· διὸ καὶ αἱ χειμεριώταται τῶν ὡρῶν ἀλκυονίδες λέγονται. τίκτουσι δὲ οἱ μὲν θαλάσσιοι τῶν ὀρνίθων ὑπόχλωρα τὰ ᾠά, τὰ δὲ περιστεροειδῆ πάντα λευκά, ἡ δὲ κέγχρη μόνη φοινικᾶ, αἱ δὲ μελεαγρίδες ἀστερωτά. (29) καὶ τὰ 5 μὲν γαμψώνυχα καὶ σαρκοφάγα ἅπαξ τίκτει τὸν ὅλον βίον, μόνη δὲ ἡ χελιδὼν οὖσα τῶν σαρκοφάγων δὶς τίκτει. (30) ὁ δὲ γὺψ νεοττεύει μὲν ἐν πέτραις, τίκτει δὲ δύο. (31) ὁ δὲ ἀετὸς τρία μὲν τίκτει,

---

1 ἔτι δὲ] Arist. hist. anim. A 1 p. 488ª26 ἔτι δὲ ἥμερα καὶ ἄγρια, καὶ τὰ μὲν ἀεί, οἷον ἄνθρωπος καὶ ὀρεὺς ἀεὶ ἥμερα, τὰ δ' ἄγρια, ὥσπερ πάρδαλις καὶ λύκος, τὰ δὲ καὶ ἡμεροῦσθαι δύναται ταχύ, οἷον ἐλέφας  4 ἐπεὶ δὲ] Arist. hist. anim. Θ 12 p. 596ᵇ20 αἱ δὲ πράξεις αὐτῶν ἅπασαι περί τε τὰς ὀχείας καὶ τὰς τεκνώσεις εἰσὶ καὶ περὶ τὰς εὐπορίας τῆς τροφῆς καὶ πρὸς τὰ ψύχη καὶ τὰς ἀλέας πεπορισμέναι καὶ πρὸς τὰς μεταβολὰς τὰς τῶν ὡρῶν  9 εἰσὶν] Arist. hist. anim. E 8 p. 542ª19 ὧραι δὲ καὶ ἡλικίαι τῆς ὀχείας ἑκάστοις εἰσὶν ὡρισμέναι τῶν ζῴων  10 πτητικὰ] Arist. E 8 p. 542ᵇ1 τὸ δὲ τῶν ὀρνίθων γένος, ὥσπερ εἴρηται (Arist. hist. anim. E 8 p. 542ª23), τὸ πλεῖστον περὶ τὸ ἔαρ ποιεῖται καὶ ἀρχομένου τοῦ θέρους τὴν ὀχείαν καὶ τοὺς τόκους, πλὴν ἀλκυόνος. ἡ δὲ ἀλκυὼν τίκτει περὶ τροπὰς τὰς χειμερινάς. διὸ καὶ καλοῦνται, ὅταν εὔδιειναὶ γένωνται αἱ τροπαί, ἀλκυόνειοι ἡμέραι, ἑπτὰ μὲν πρὸ τροπῶν ἑπτὰ δὲ μετὰ τροπάς  13 τίκτουσι] Arist. hist. anim. Z 2 p. 559ª20 πολλαπλάσιον γὰρ ἔχει τὰ τῶν ἐνύδρων (ᾠὰ) κατὰ λόγον τὸ ὠχρὸν πρὸς τὸ λευκόν. καὶ τὰ χρώματα δὲ τῶν ᾠῶν διαφέρει κατὰ τὰ γένη τῶν ὀρνίθων· τῶν μὲν γὰρ λευκά ἐστι τὰ ᾠά, οἷον περιστερᾶς καὶ πέρδικος, τῶν δ' ὠχρά, οἷον τῶν περὶ τὰς λίμνας, τῶν δὲ κατεστιγμένα, οἷον τὰ τῶν μελεαγρίδων καὶ φασιανῶν· τὰ δὲ τῆς κεγχρίδος ἐρυθρά ἐστιν ὥσπερ μίλτος  16 γαμψώνυχα] Arist. hist. anim. Z 5 p. 563ª12 τὰ μὲν οὖν ἄλλα ὅσα σαρκοφάγα οὐχ ὦπται πλεονάκις ἢ ἅπαξ τίκτοντα, ἡ δὲ χελιδὼν δὶς νεοττεύει μόνον τῶν σαρκοφάγων  17 γὺψ] Arist. hist. anim. Z 5 p. 563ª5 ὁ δὲ γὺψ νεοττεύει μὲν ἐπὶ πέτραις ἀπροσβάτοις  18 τίκτει] Arist. l. c. 563ª11 τίκτουσι δὲ δύο ᾠὰ οἱ γῦπες  ἀετὸς] Arist. hist. anim. Z 6 p. 563ª17 ὁ δ' ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο, ὥσπερ ἐστὶ καὶ ἐν τοῖς Μουσαίου λεγομένοις ἔπεσιν "ὃς τρία μὲν τίκτει, δύο ἐκλέπει, ἓν δ' ἀλεγίζει"

---

2 ἄνθρωπος Rose: ἄνθρωποι P  3 ἐλέφας Rose ex Arist.: ἔλαφος P  10 ἔαρι Rose: ἀέρι P  11 ἤπερ Rose: ὅπερ P  12 τροπὰς addidi ex Aristotele  13 ἀλκυωνίδες P  15 φοινικά P  αἱ] α in rasura P¹  μελεαγρίδες Rose: μελϊαγρίδες P  17 ὁ rubro scribendum om. P

δύο δὲ ἐκλέπει, ἓν δὲ ψύχει, καθάπερ Μουσαῖος ἐν τοῖς ἰδίοις ἔπεσί 21 φησιν οὕτως·

ὃς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.

ἀκριβέστερον δὲ περὶ αὐτοῦ ἐν τῷ τρίτῳ διασαφήσω. (32) οἱ δὲ πέρδικες τίκτουσι δύο, εἶτα ποιήσαντες δύο σηκοὺς ὅ τε ἄρρην καὶ ἡ θήλεια ἕκαστος ἐφ' ἑνὸς κάθηται. (33) ὁ δὲ ταὼν τίκτει μὲν ἅπαξ τοῦ ἔτους, τίκτει δὲ ᾠὰ δώδεκα, ταῦτα δὲ οὐκ εἰς ἅπαξ ἀλλὰ παρ' ἡμέραν· αἱ δὲ πρωτοτόκοι τίκτουσιν ὀκτώ. τίκτουσι δὲ καὶ ὑπηνέμια, καθάπερ καὶ αἱ ἀλεκτορίδες. ὑποτίθεται δὲ καὶ ἀλεκτορίδι, οὐ πλείω ⟨δὲ⟩ δύο, τῶν τοῦ ταώ. ἀλλ' ὑπὲρ μὲν τῶν ᾠοτοκούντων πάντων τίς ὁ βίος καὶ ὁ τόκος αὐτῶν ἐν τῷ τρίτῳ μοι δηλωθήσεται.

f. 8v (34) Τῶν δὲ | ἐντόμων τὰ πλεῖστα μετοπώρου ποιεῖται τὴν ὀχείαν καὶ τὸν τόκον.

(35) Διαπορεῖ δὲ Ἀριστοτέλης περὶ τοῦ τόκου τὸ ὅλον καὶ περὶ τῆς γενέσεως τῶν μελισσῶν καὶ πότερον ἄρρεν ἐστὶν ἡ μέλισσα, ὁ δὲ κηφὴν θῆλυς ἢ τὸ ἐναλλάξ· διαπορεῖ δὲ καὶ εἰ ἐξ ἀλλήλων ἡ γένεσις ἢ μεταφέρει ἔξωθεν γόνον ἢ ἔκ τινων ἑτερογενῶν ἡ τούτων γένεσις· οὐ γὰρ ὤφθη, φησίν, ὀχεύοντα. ἀπίθανον οὖν φησι τὸ μεταφέρειν ἄλλοθεν, ὥς τισιν ἤρεσεν,

---

4 πέρδικες] Arist. hist. anim. I 8 p. 613b21 τίκτει μὲν οὖν ᾠὰ ἡ πέρδιξ οὐκ ἐλάττω ἢ δέκα, πολλάκις δ' ἑκκαίδεκα 5 εἶτα ποιήσαντες] Arist. hist. anim. Z 8 p. 564a20 οἱ δὲ πέρδικες δύο ποιοῦνται τῶν ᾠῶν σηκούς, καὶ ἐφ' ᾧ μὲν ἡ θήλεια ἐπὶ δὲ θατέρῳ ὁ ἄρρην ἐπῳάζει. καὶ ἐκλέψας ἐκπέμπει ἑκάτερος ἑκάτερα 6 ταὼν] Arist. hist. anim. Z 9 p. 564a28 ἅπαξ δὲ τοῦ ἔτους μόνον τίκτει (ὁ ταώς)· τίκτει δ' ᾠὰ δώδεκα ἢ μικρῷ ἐλάττω· τίκτει δὲ διαλείπων δύο ἢ τρεῖς ἡμέρας καὶ οὐκ ἐφεξῆς· αἱ δὲ πρωτοτόκοι μάλιστα περὶ ὀκτὼ ᾠά. τίκτουσι δ' οἱ ταῴ ὑπηνέμια. cf. Ath. IX 397b ὁ ταώς, φησὶν Ἀριστοτέλης . . . τίκτει δὲ ἅπαξ τοῦ ἔτους ᾠὰ δώδεκα· ταῦτα δὲ οὐκ εἰς ἅπαξ ἀλλὰ παρ' ἡμέρας δύο. αἱ δὲ πρωτοτόκοι ὀκτὼ κτλ. cf. Rose p. 9 sq. 8 καθάπερ καὶ αἱ ἀλεκτορίδες] cf. Arist. hist. anim. Z 2 p. 559b28 9 ὑποτίθεται] Arist. hist. anim. Z 9 p. 564b2 ἀλεκτορίδι δὲ ὑποτιθέασιν αὐτῶν (τῶν ταώνων) τὰ ᾠὰ ἐπῳάζειν οἱ τρέφοντες . . . ὑποτίθεται δὲ τοῖς ὄρνισι μάλιστα δύο ᾠά 14 διαπορεῖ] Arist. gener. anim. Γ 10 p. 759a8 ἡ δὲ τῶν μελιττῶν γένεσις ἔχει πολλὴν ἀπορίαν . . . ἀνάγκη γὰρ ἤτοι φέρειν αὐτὰς ἄλλοθεν τὸν γόνον, ὥσπερ τινές φασι, καὶ τοῦτον ἢ φυόμενον αὐτόματον ἢ ἄλλου τινὸς ζῴου τίκτοντος ἢ γεννᾶν αὐτὰς κτλ. cf. hist. anim. E 21 p. 553a17 sqq. 17 οὐ γὰρ ὤφθη] Arist. gener. anim. Γ 10 p. 759b21 τὸ μηδέποτε ὦφθαι ὀχευόμενον μηθὲν αὐτῶν 18 ἀπίθανον οὖν φησι] Arist. gener. anim. Γ 10 p. 759a24 ἀνάγκη γὰρ ἤτοι φέρειν αὐτὰς ἄλλοθεν τὸν γόνον, ὥσπερ τινές φασι . . . ταῦτα δ' ἐστὶ πάντα ἀδύνατα συλλογιζομένοις etc.

---

1 ἐκλέπει Rose ex Aristotele: ἐκλοπεῖ P ψύχει vix sanum. ἓν δ' ἔμψυχον vel ἓν δ' ἐκτρύχει coniecit Sauppe. sententiae convenit ἐκτρέφει ἔπεσί φησιν οὕτως· "ὃς Rose: ἔπεσι φησίν. οὗτος, ὃς (correxit P[2] ex ὡς P[1]) P 3 δ' ἐκλέπει Rose ex Aristotele: δὲ ἐκλεπεῖ P 5 δύο P: δέκα Rose ex Aristotele θῆλα P[1], correxit P[2] (α superscr.) 6 ἐφ' Rose: ὑφ' P 7 πρωτότοκοι P 9 ὑποτίθεται Rose ex Arist.: ἀποτίθεται P δὲ (post πλείω) add. Sauppe 14 γενέσεως scripsi: γεννήσεως P 16 εἰ non omittit P 17 φησίν, ὀχεύοντα scripsi: φησί, γονεύοντα P

αὐτὰς γόνον [καθάπερ καὶ † βίρσι τῷ σοφιστῇ]. εἰ γὰρ μὴ τίκτουσαι 22 μεταφέρουσιν, ἔδει κἀκεῖ γίνεσθαι μελίσσας αὐτῶν μὴ μεταφερουσῶν. εἰσὶ δὲ οἱ μὲν κηφῆνες ἄκεντροι, αἱ δὲ μέλισσαι κέντρον ἔχουσι· ἄλογον δὲ τὸ πρὸς τὴν ἀλκὴν τὸ θῆλυ ἔχειν ἀλλ' οὐ τὸ ἄρρεν. πάλιν δὲ οὐκ εὔλογον τὰς μὲν μελίσσας ἄρρενας εἶναι, τοὺς δὲ κηφῆνας θηλείας· οὐδὲν γὰρ τῶν ἀρρένων διαπονεῖται περὶ τὰ τέκνα οὕτως, αἱ δὲ μέλισσαι ὅσα αἱ θήλειαι περὶ τὰ ἔκγονα ποιοῦσι θεωροῦνται πράττουσαι. (36) ὃ μὲν ⟨οὖν⟩ λείπεται ζητεῖν ὑπὲρ τούτου καὶ λέγειν, πῶς ἐνδεχόμενον αὐτοὺς ἄνευ ὀχείας καὶ συνδυασμοῦ γίνεσθαι, καθάπερ αἱ ἀσκαρίδες μὲν καὶ κάνθαροι καὶ μηλολόνθαι ἐκ τῆς κόπρου, οἱ δὲ κώνωπες ἐκ τῆς ἰλύος τοῦ ὄξους, ἐκ δὲ τῆς δρόσου τῆς ἐπὶ τὰ φύλλα τῆς κράμβης πιπτούσης αἱ λεγόμεναι κραμβίδες

---

1 εἰ γὰρ μὴ τίκτουσαι] Arist. gener. anim. Γ 10 p. 759a27 εἴτε γὰρ μὴ τίκτουσαι φέρουσιν ἄλλοθεν, ἔδει γίγνεσθαι μελίσσας καὶ μὴ φερουσῶν τῶν μελιττῶν ἐκ τοῦ τόπου ἐξ οὗ τὸ σπέρμα φέρουσιν· διὰ τί γὰρ μετενεχθέντος μὲν ἔσται, ἐκεῖ δ' οὐκ ἔσται 2 εἰσὶ δὲ] Arist. gener. anim. Γ 10 p. 759b1 ἀλλὰ μὴν οὐδὲ τὰς μὲν μελίττας θηλείας εἶναι, τοὺς δὲ κηφῆνας ἄρρενας εὔλογον· οὐδενὶ γὰρ τὸ πρὸς ἀλκὴν ὅπλον τῶν θηλειῶν (mutandum in θηλέων) ἀποδίδωσιν ἡ φύσις, εἰσὶ δ' οἱ μὲν κηφῆνες ἄκεντροι αἱ δὲ μέλιτται πᾶσαι κέντρον ἔχουσιν 4 πάλιν δὲ] Arist. gener. anim. Γ 10 p. 759b5 οὐδὲ τοὐναντίον εὔλογον, τὰς μὲν μελίττας ἄρρενας, τοὺς δὲ κηφῆνας θήλεας· οὐδὲν γὰρ τῶν ἀρρένων εἴωθε διαπονεῖσθαι περὶ τὰ τέκνα, νῦν δ' αἱ μέλιτται τοῦτο ποιοῦσιν 7 ὃ μὲν οὖν λείπεται] Arist. gener. anim. Γ 10 p. 759b27 λείπεται δή, καθάπερ φαίνεται συμβαῖνον ἐπί τινων ἰχθύων, τὰς μελίττας ἄνευ ὀχείας γεννᾶν τοὺς κηφῆνας, τῷ μὲν γεννᾶν οὔσας θηλείας, ἐχούσας δ' ἐν αὑταῖς ὥσπερ τὰ φυτὰ καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν 9 καθάπερ αἱ ἀσκαρίδες] Arist. hist. anim. E 19 p. 551b27 αἱ δ' ἀσκαρίδες γίνονται ἔν τε τῇ ἰλύϊ τῶν φρεάτων καὶ ὅπου ἂν σύρρευσις γένηται ὕδατος γεώδη ἔχουσα ὑπόστασιν 10 μηλολόνθαι] Arist. hist. anim. E 19 p. 552a16 αἱ δὲ μηλολόνθαι ἐκ τῶν σκωλήκων τῶν ἐν τοῖς βολίτοις καὶ τῶν ὀνίδων. οἱ δὲ κάνθαροι, ἣν κυλίουσι κόπρον, ἐν ταύτῃ φωλεύουσί τε τὸν χειμῶνα καὶ ἐντίκτουσι σκωλήκια, ἐξ ὧν γίνονται κάνθαροι οἱ δὲ κώνωπες] Arist. hist. anim. E 19 p. 552b4 οἱ δὲ κώνωπες ἐκ σκωλήκων οἳ γίνονται ἐκ τῆς περὶ τὸ ὄξος ἰλύος ἐκ δὲ τῆς δρόσου] Arist. hist. anim. E 19 p. 551a1 τὰ μὲν (τῶν ἐντόμων γίνεται) ἐκ τῆς δρόσου τῆς ἐπὶ τοῖς φύλλοις πιπτούσης (cf. 551a13) 11 κραμβίδες] Arist. hist. an. E 19 p. 551a13 γίνονται δ' αἱ μὲν καλούμεναι ψυχαὶ ἐκ τῶν καμπῶν αἳ γίνονται ... μάλιστα ἐπὶ τῆς ῥαφάνου ἣν καλοῦσί τινες κράμβην κτλ. Aelian. nat. anim. IX 39 p. 232,27 H. τίκτεται καὶ ἐν τῇ κράμβῃ σκωλήκων γένος, καὶ ὄνομα αὐτῷ ἐκ τῶν ἠθῶν, ἐν οἷς διαιτᾶται. καλεῖται γοῦν κραμβίς

---

1 αὐτὰς γόνον ex Aristotele p. 7,18 cit. scripsit Sauppe: αὐτὰ συνόντα P καὶ ιιρσι τῷ σοφιστῇ P: καὶ Βρύσωνι τῷ σοφιστῇ Rose, qui ad similem de vulturibus sententiam Herodori, Brysonis sophistae patris, ab Aristotele hist. anim. Z 5 p. 563a6 memoratam spectat. Sauppius Brysonis nomen improbabile existimat. positione verborum καθάπερ — τῷ σοφιστῇ postea addita esse apparet. Byzantinum quendam Aristotelis male memorem ista margini adscribillasse, unde corrupta in textum inserta sint, suspicor. obscurata iam invenit librarius incerto calamo traditos apices imitatus (cf. Rose Herm. VI 494) 2 αὐτῶν μὴ μεταφερουσῶν scripsi: αὐτῶν ἢ μεταφέρουσιν P: αὐτῶν ᾗ μεταφέρουσιν Rose: αὐτῶν μὴ μεταφερουσῶν ᾗ μεταφέρουσιν Sauppe 3 ἄλογον Rose: ἄλγον P 5 τοὺς δὲ scripsi sicut est apud Arist.: τὰς δὲ P 7 ἔκγονα Rose: ἔγγονα P μὲν οὖν scripsi: μὲν P 11 φύλα P

καὶ κάμπαι, ἐκ δὲ τοῦ κηροῦ οἱ κηροδύται λεγόμενοι. ἐκ δὲ τῆς ἀγρώστεως 22 οἱ κρότωνες, ἐκ δὲ τῶν ἐρίων οἱ σῆτες. ἐκ δὲ τῶν καμπῶν τῶν ἐν τοῖς ἐρεβίνθοις κατὰ μετασχηματισμὸν αἱ λεγόμεναι ψυχαὶ καὶ τὰ λεγόμενα πηνία καὶ ὕπερα καὶ αἱ πυγολαμπίδες γίνονται, ἐκ δὲ τῶν πυγολαμπίδων οἱ βόστρυχοι καλούμενοι, ἐκ δὲ τοῦ ξυλοφθόρου λεγομένου σκώληκος χρυσαλίς, ἐκ δὲ τῶν ἐν τοῖς ἀπίοις καὶ σύκοις καμπῶν αἱ κανθαρίδες. ἐκ δὲ τῶν μεγάλων σκωλήκων τῶν κατὰ γῆν κεκρυμμένων κάμπη τις γίνεται, ἐκ δὲ ταύτης ἐκδύεται ἡ λεγομένη βομβυλίς, μετασχηματιζομένη δὲ αὕτη γί-
f. 9r νεται ὁ λεγόμενος νεκύδαλος σκώληξ, ἐξ οὗ ἀναπηνιζόμεναι αἱ | γυναῖκες τὰ βομβύκινα ἐπιβόλαια ὑφαίνουσιν. ἐκ δὲ τῶν ἐν τοῖς ξύλοις καταδεδυκότων σκωλήκων οἱ λεγόμενοι καράμβιοι γίνονται, ἐκ δὲ τῶν σίμβλων πρασοκουρίδες,

---

1 ἐκ δὲ τοῦ κηροῦ] Arist. hist. anim. E p. 557b6 καὶ ἐν κηρῷ δὲ γίνεται παλαιουμένῳ, ὥσπερ ἐν ξύλῳ, ζῷον, ὃ δὴ δοκεῖ ἐλάχιστον εἶναι τῶν ζῴων πάντων καὶ καλεῖται ἀκαρί, λευκὸν καὶ μικρόν. cf. hist. anim. Θ 27 p. 605b9 I 40 p. 9 I 40 p. 626b17. nominis κηροδύται neque apud Aristotelem neque apud alios auctores fit mentio ἐκ δὲ τῆς ἀγρώστεως] Arist. hist. anim. E 19 p. 552a15 οἱ δὲ κρότωνες γίνονται ἐκ τῆς ἀγρώστεως 2 ἐκ δὲ τῶν ἐρίων] Arist. hist. anim. E 32 p. 557b1 γίνεται δὲ καὶ ἄλλα ζῳδάρια, ὥσπερ ἐλέχθη καὶ πρότερον, τὰ μὲν ἐν ἐρίοις καὶ ὅσα ἐξ ἐρίων ἐστίν, οἷον οἱ σῆτες, οἳ ἐμφύονται μᾶλλον ὅταν κονιορτώδη ᾖ τὰ ἔρια ἐκ δὲ τῶν καμπῶν] Ael. IX 39 p. 232,22 H. ἔν γε μὴν τοῖς ἐρεβίνθοις τὸ τῶν καμπῶν. Arist. hist. anim. E 19 p. 551a13 γίνονται δ' αἱ μὲν καλούμεναι ψυχαὶ ἐκ τῶν καμπῶν 4 πηνία] Arist. hist. anim. E 19 p. 551b5 γίνονται δὲ καὶ τὰ ὕπερα καὶ τὰ πηνία ἔκ τινων τοιούτων ἄλλων (καμπῶν) . πυγολαμπίδες] Arist. hist. anim. E 19 p. 551b23 ἐκ δὲ μελαινῶν τινῶν καὶ δασειῶν οὐ μεγάλων καμπῶν πρῶτον γίνονται πυγολαμπίδες (v. l. πυρολαμπίδες PDa), οὐχ αἱ πετόμεναι· αὗται δὲ πάλιν μεταβάλλουσι, καὶ γίνονται πτερωτὰ ζῷα ἐξ αὐτῶν, οἱ καλούμενοι βόστρυχοι 5 ξυλοφθόρου] Arist. hist. anim. E 32 p. 557b12 ἔστι δέ τι σκωλήκιον ὃ καλεῖται ξυλοφθόρον . . . χρόνου δὲ προϊόντος γίνεται καὶ οὗτος ὁ σκώληξ χρυσαλλίς 6 ἐκ δὲ τῶν ἐν τοῖς ἀπίοις] Arist. hist. anim. E 19 p. 552a31 αἱ δὲ κανθαρίδες (γίνονται) ἐκ τῶν πρὸς ταῖς συκαῖς καμπῶν καὶ ταῖς ἀπίοις καὶ ταῖς πεύκαις (πρὸς πᾶσι γὰρ τούτοις γίνονται σκώληκες) καὶ ἐκ τῶν ἐν τῇ κυνακάνθῃ
6 ἐκ δὲ τῶν μεγάλων] Arist. hist. anim. E 19 p. 551b9 ἐκ δέ τινος σκώληκος μεγάλου, ὃς ἔχει οἷον κέρατα καὶ διαφέρει τῶν ἄλλων, γίνεται πρῶτον μὲν μεταβαλόντος τοῦ σκώληκος κάμπη, ἔπειτα βομβύλιος (v. l. βομβυλίς Aa Ca), ἐκ δὲ τούτου νεκύδαλος· ἐν ἓξ δὲ μησὶ μεταβάλλει ταύτας τὰς μορφὰς πάσας. ἐκ δὲ τούτου τοῦ ζῴου καὶ τὰ βομβύκια ἀναλύουσι τῶν γυναικῶν τινες ἀναπηνιζόμεναι, κἄπειτα ὑφαίνουσιν 10 ἐκ δὲ τῶν ἐν τοῖς ξύλοις] Arist. hist. anim. E 19 p. 551b16 ἐκ δὲ τῶν σκωλήκων τῶν ἐν τοῖς ξύλοις τοῖς αὔοις οἱ κάραβοι (v. l. καράβιοι Aa καράμβιοι Ca) γίνονται τὸν αὐτὸν τρόπον· πρῶτον μὲν ἀκινητισάντων τῶν σκωλήκων, εἶτα περιρραγέντος τοῦ κελύφους ἐξέρχονται οἱ κάραβοι. ἐκ δὲ τῶν καράβων (v. l. σίμβλων Aa σίμδων Ca) γίνονται αἱ πρασοκουρίδες (v. l. πρασουκαρίδες Ca) 11 πρασοκουρίδες] cf. Ael. IX 39 p. 232,24. Theophr. hist. plant. VII 5,4

---

1 ἀγρόστεως P 2 καμπῶν τῶν Rose: καμπῶν, λῶγ P 3 κατὰ μετασχηματισμὸν scripsi (cf. v. 8 μετασχηματιζομένη): κατὰ σχηματισμὸν P 4 καὶ αἱ πυγολαμπίδες Rose: καὶ ἀπυρολαμπίδες P πυγολαμπίδων Rose: πυρολαμπίδων P 5 ξυλοφθόρου Rose ex Arist.: ξυλοφόρου P σκώληκος Rose: σκώληκες P 5. 6 χρυσαλίς P: χρυσαλλίς Rose 6 καμπῶν scripsi: καρπῶν P 11 καράμβιοι scripsi sicut Aristotelis Ca: κράμβοι P: κάραβοι Rose σίμβλων Rose ex Aristotelis Aa: συμβόλων P: nescio an genuina Aristotelis lectio fuerit σεύτλων πρασοκουρίδες scripsi ex Arist et Ael.: πρασικουρίδες P

ἐκ δὲ τῶν ἀσκαρίδων αἱ λεγόμεναι ἐμπίδες. ἐκ δὲ τῶν συκίνων ἐρινεῶν 22 γίνεται σκωλήκια, εἶτα ἐκ τούτων ἐξίασιν οἱ καλούμενοι ψῆνες, οἳ εἰσδυόμενοι εἰς τὰ τῶν συκῶν ἐρινᾶ ποιοῦσι μὴ ἀποπίπτειν αὐτά. διὸ καὶ οἱ γεωργοὶ περιάπτουσι τὰ ἐρινᾶ ταῖς συκαῖς, καὶ ἐγγὺς τῶν συκῶν ἐρινεοὺς φυτεύουσι. (37) γίνεται δέ, φησὶν ὁ Ἀριστοτέλης, καὶ ἐν πυρὶ καὶ ἐν 23 χιόνι ζῷα μικρὰ καὶ δυσκίνητα τὰ λεγόμενα πυριγενῆ. πάντα δὲ τὰ κατηριθμημένα ζῷα ἄναιμα συμβέβηκεν εἶναι καὶ τελευτᾶν ἐλαίου αὐτοῖς ἐπισταζομένου, καθάπερ καὶ τὰ ἔντομα πάντα. ὅθεν αἱ μέλισσαι τοὺς τῷ μύρῳ χρωμένους καὶ εἰσιόντας τύπτουσαι ἀποδιωθοῦνται ὡς πολεμίου τοῦ λίπους ὄντος· διὸ δὴ ἀλιπεῖς πειρῶνται προσάγειν αὐταῖς, ἐν Αἰγύπτῳ δὲ καὶ ἐξυρημένοι τὰς κεφαλάς, ἵνα μηδεμία ἰκμασία λίπους λείπηται.

(38) Τῶν δὲ ἰχθύων οἱ πλεῖστοι ἐν μηνὶ μουνιχιῶνι ἢ θαργηλιῶνι, τουτέστι τῷ ἔαρι, ποιοῦνται τὴν ὀχείαν καὶ τὸν τόκον, μάλιστα δὲ ἐκτοπίζοντες εἰς τὸν Πόντον διὰ τὸ πλείστας ἔχειν κοίτας καὶ θαλάμας εἶναι καὶ διὰ τὸ μὴ ὑπάρχειν ἐν τοῖς τόποις ἐκείνοις τὸ ἀδικῆσον αὐτῶν τὰ σκυμνία θηρίον· πάρεξ γὰρ δελφῖνος καὶ τούτου μικροῦ καὶ ἀσθενοῦς οὐθ' ἓν

---

1 ἐκ δὲ τῶν ἀσκαρίδων] Arist. hist. anim. E 19 p. 551b27 αἱ δ' ἐμπίδες γίνονται ἐκ τῶν ἀσκαρίδων  ἐκ δὲ τῶν συκίνων] Arist. hist. anim. E 19 p. 557b25 οἱ δ' ἐρινεοὶ οἱ ἐν τοῖς ἐρινεοῖς ἔχουσι τοὺς καλουμένους ψῆνας· γίνεται δὲ τοῦτο πρῶτον σκωλήκιον, εἶτα περιρραγέντος τοῦ δέρματος ἐκπέτεται τοῦτο ἐγκαταλιπὼν ὁ ψὴν καὶ εἰσδύεται εἰς τὰ τῶν συκῶν ἐρινεᾶ καὶ διὰ στομάτων ποιεῖ μὴ ἀποπίπτειν τὰ ἐρινᾶ· διὸ περιάπτουσί τε τὰ ἐρινᾶ πρὸς τὰς συκᾶς οἱ γεωργοὶ καὶ φυτεύουσι πλησίον ταῖς συκαῖς ἐρινεούς  5 φησὶν ὁ Ἀριστοτέλης] Arist. hist. anim. E 19 p. 552b6 καὶ γὰρ ἐν τοῖς δοκοῦσιν ἀσηπτοτάτοις εἶναι ἐγγίγνονται ζῷα οἷον ἐν χιόνι τῇ παλαιᾷ. γίνεται δ' ἡ παλαιὰ ἐρυθροτέρα, διὸ καὶ οἱ σκώληκες τοιοῦτοι καὶ δασεῖς· οἱ δ' ἐκ τῆς ἐν Μηδίᾳ χιόνος μεγάλοι καὶ λευκοί· δυσκίνητοι δὲ πάντες. ἐν δὲ Κύπρῳ, οὗ ἡ χαλκῖτις λίθος καίεται, ἐπὶ πολλὰς ἡμέρας ἐμβαλλόντων, ἐνταῦθα γίνεται θηρία ἐν τῷ πυρί, τῶν μεγάλων μυιῶν μικρόν τι μείζονα, ὑπόπτερα, ἃ διὰ τοῦ πυρὸς πηδᾷ καὶ βαδίζει
6 πυριγενῆ] vocabulum apud Aristotelem non occurrit  πάντα] Arist. gener. anim. B 1 p. 733a25 ἔστι δ' ἅπαντα ἄναιμα τὰ ἔντομα  7 τελευτᾶν] Arist. hist. anim. Θ 27 p. 605b19 πάντα δὲ τὰ ἔντομα ἀποθνήσκει ἐλαιούμενα· τάχιστα δ', ἄν τις τὴν κεφαλὴν ἀλείψας ἐν τῷ ἡλίῳ θῇ. cf. Theophr. de caus. plant. VI 5,3  8 αἱ μέλισσαι] Theophr. de caus. plant. VI 5,1 πολεμοῦσι δὲ δὴ σφόδρα καὶ αἱ μέλιτται τοῖς μεμυρισμένοις  10 διὸ δὴ] neque Aristoteles neque Aelianus auctor est. Aristophanem addidisse propter Aegypti mentionem fit probabile cf. p. 3,7  12 τῶν δὲ ἰχθύων] Arist. hist. anim. E 11 p. 543b6 τίκτουσι δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν μησὶ τρισί· μουνιχιῶνι, θαργηλιῶνι, σκιροφοριῶνι
13. 14 ἐκτοπίζοντες] Ael. nat. anim. IV 9 p. 84,3 H. τῶν ἰχθύων διὰ τοῦ ἦρος οἱ πλεῖστοι ἐς ἀφροδίτην πρόθυμοί εἰσι, καὶ ἀποκρίνουσί γε αὐτοὺς ἐς τὸν Πόντον μᾶλλον· ἔχει γάρ πως θαλάμας τε καὶ κοίτας, φύσεως ταῦτα ἰχθύσι τὰ δῶρα· ἀλλὰ καὶ θηρίων ἐλεύθερός ἐστιν ὅσα βόσκει θάλαττα. δελφῖνες δὲ ἁλῶνται μόνοι, λεπτοί τε καὶ ἀσθενικοί· καὶ μὴν καὶ πολύπου χῆρός ἐστι καὶ παγούρου ἄγονος, καὶ ἀστακὸν οὐ τρέφει· μικρῶν δὲ ἰχθύων οἵδε ὄλεθρός εἰσιν. cf. IX 59 p. 239,27 H. Arist. hist. anim. Θ 13 p. 598a30

---

2 σκωλίκια P  οἳ Rose: οἱ P  3 ἐρινᾶ Rose: ἔρνα P  4 ἔρινα P  ἐρινεοὺς Rose: ἐρίνους P  7 ζῷα P: omisit Rose  11 ἐξυρημένοι Rose: ἐξυραμένοι P λίπηται P  12 μουνιχίωνι P  14 ἔχειν P: ἐκεῖ corrigebat Rose  σκυμνία scripsi: σκύμνια P Rose  16 οὐθ' ἓν P: aut οὐθὲν aut οὐδ' ἓν postulo

ὑπάρχει θηρίον ἐν τοῖς τόποις. οὐδὲ μὴν τὰ μάλιστα δοκοῦντα ἀδικεῖν τὰ 23 μικρότατα τῶν ἰχθυδίων οὐδὲ ταῦτα γίνεται ἐκεῖ, οἷον πώλυπες πάγουροι 16 ἀστακοὶ καὶ τὰ ὅμοια. καὶ διὰ ταῦτα οὖν καὶ διὰ τὴν ἀλέαν ὁ τόκος καὶ ὁ ἐκτοπισμὸς τοῖς πλείστοις ἐκεῖ. (39) ὀχεύει δὲ καὶ ὀχεύεται καὶ κύει καὶ τίκτει ἥ τε σηπία καὶ ὁ πῶλυψ καὶ ἡ τευθὶς πᾶσαν ὥραν καθάπερ 20 ἄνθρωπος. καὶ ἡ μὲν σηπία καὶ ἡ τευθὶς τίκτει μύρτοις ὅμοια τὰ ᾠά, ὁ δὲ πῶλυψ τοῖς τῆς λεύκης ἄνθεσι παρόμοιον τὸν βότρυν ἐκτίκτει. (40) τίκτουσι δὲ οἱ πολλοὶ τῶν ἰχθύων ἅπαξ τοῦ ἐνιαυτοῦ, ὡς θύννος πηλαμὺς κεστρεύς, λάβραξ δὲ δὶς τοῦ ἔτους, τρίγλη δὲ τρίς, ὅθεν καὶ τοὔνομα κέ- 25
f.9v κτηται, σκορπίος δὲ τετράκις τοῦ ἔτους, ὁ δὲ λεγόμενος κυπρῖνος | πεν-
11 τάκις. (41) τῶν δὲ λεγομένων σελαχωδῶν ἰχθύων καὶ σκυμνοτοκούντων ἡ ῥίνη μὲν καὶ ὁ λεῖος γαλεὸς δὶς τοῦ ἔτους τίκτουσι καὶ μάλιστα τῷ μετοπώρῳ, ἡ δὲ νάρκη καὶ αὐτὴ μὲν δὶς * * τῷ φθινοπώρῳ.
(42) ῥηθήσεται δὲ καὶ περὶ τούτων κατὰ προγραφὴν ἐν τῷ τρίτῳ, διόπερ 24 οὐκ ἐξειργαστέον ἐν τούτῳ.

---

4 ὀχεύει] Arist. hist. anim. E 12 p. 544 a 1 τίκτει δὲ καὶ τὰ μαλάκια τοῦ ἔαρος, καὶ ἐν τοῖς πρώτοις τίκτει τῶν θαλαττίων ἡ σηπία. τίκτει δὲ πᾶσαν ὥραν. cf. c. 6 p. 541 b 1 6 σηπία] Arist. hist. anim. E 18 p. 550 a 10 αἱ δὲ σηπίαι ἀποτίκτουσι, καὶ γίνεται ὅμοια μύρτοις μεγάλοις καὶ μέλασιν τευθὶς] Arist. hist. anim. E 18 p. 550 b 12 αἱ δὲ τευθίδες πελάγιαι ἀποτίκτουσιν· τὸ δ' ᾠόν, ὥσπερ ἡ σηπία, ἀποτίκτει συνεχές 7 πῶλυψ] Arist. hist. anim. E 12 p. 544 a 8 τίκτει δὲ τὸ ᾠὸν (ὁ πολύπους) καθάπερ βοστρύχιον, ὅμοιον τῷ τῆς λεύκης καρπῷ τίκτουσι] Arist. hist. anim. E 9 p. 542 b 32 ὁμοίως δὲ καὶ τῶν ἰχθύων οἱ πλεῖστοι ἅπαξ (τίκτουσιν), οἷον οἱ χυτοί (καλοῦνται δὲ χυτοὶ οἱ τῷ δικτύῳ περιεχόμενοι), θύννος πηλαμὺς κεστρεὺς χαλκίδες κολίαι χρόμις ψῆττα καὶ τὰ τοιαῦτα πλὴν ὁ λάβραξ· οὗτος δὲ δὶς τούτων μόνος 9 καὶ τοὔνομα] Ael. X 2 p. 243,25 H. τρίγλην δὲ καὶ τρὶς κύειν κατηγορεῖ φασι καὶ τὸ ὄνομα. Artem. Oneirocrit. 2,14 p. 108,9 Hercher: ὅθεν αὐτῇ καὶ τοὔνομα εἰκότως φασὶ κεῖσθαι καὶ Ἀριστοτέλης ἐν τοῖς Περὶ ζῴων καὶ Ἀριστοφάνης ἐν τοῖς εἰς Ἀριστοτέλην ὑπομνήμασι (Nauck Aristoph. Byz. fr. p. 281) cf. Oppian. Hal. I 590. Rose Praef. p. 9 Arist. pseud. p. 316 10 σκορπίος] Arist. hist. anim. E 9 p. 543 a 7 ὁ δὲ σκορπίος τίκτει δίς κυπρῖνος] Arist. hist. anim. Z 14 p. 568 a 16 τίκτουσι δ' ἐν τῇ καθηκούσῃ ὥρᾳ κυπρῖνος μὲν πεντάκις ἢ ἑξάκις 11 σελαχωδῶν] Athen. VII 314 c ἔστι δ' ἡ νάρκη, ὥς φησιν Ἀριστοτέλης, τῶν σελαχωδῶν καὶ τῶν σκυμνοτοκούντων 12 ῥίνη] Arist. hist. anim. Z 11 p. 566 a 18 οἱ δ' ἄλλοι γαλεοὶ δὶς τίκτουσι πλὴν τοῦ σκυλίου· οὗτος δ' ἅπαξ τοῦ ἐνιαυτοῦ. τίκτουσι δὲ τὰ μὲν τοῦ ἔαρος αὐτῶν (τῶν σελαχῶν), ῥίνη δὲ καὶ τοῦ μετοπώρου πρὸς δύσιν πλειάδος χειμερινὴν τὸ ὕστερον, τὸ δὲ πρῶτον τοῦ ἔαρος· εὐθηνεῖ δ' αὐτῆς μάλιστα μὲν ὁ γόνος ὁ ὕστερος· αἱ δὲ νάρκαι περὶ τὸ φθινόπωρον

---

2 ἰχθυδίων scripsi: ἰχθύων P πώλυπες Rose: πόλυπες P 5 (item 7) πῶλυψ Rose: πόλυψ P 7 temptes ad similitudinem Aristotelis παρόμοιόν τι βοστρύχιον. at Byzantini βότρυς et βόστρυξ perinde habent 8 ἰχθύων scripsi: ἰχθυδίων P θύνος P 9 λαύραξ P 10 τετράκις codicis e δὶς Aristotelico corruptum puto propter litteram numeralem δ 13 lacunam non signavit librarius nisi quod in mrg.: ~ apposuit P¹. μάλιστα δὲ supplendum puto; excerptor, ut apparet, torpedinem, quam apud Aristotelem cum lima saepe memoratam videbat, bis eam quoque generare coniecit 14 κατὰ προγραφὴν Sauppe ex p. 14,4: κατ' ἀπογραφὴν P: καθ' ὑπογραφὴν Rose

(43) Τῶν δὲ ὀστρακοδέρμων οὐδὲν οὔτε ὀχεύει οὔτε ὀχεύεται, ὡς προεῖ- 24 πον. ἀλλ' αἱ μὲν πορφύραι ἀφιᾶσί τι ἐξ αὐτῶν εἰς γῆν, ἐξ οὗ καὶ τῆς γῆς τὰ πορφύρια γίνεται· τὰ δ' αὐτὰ καὶ τὰ ἄλλα ὀστρακόδερμα πλεῖστα. (44) εἰσὶ δὲ τῶν πορφυρῶν αἱ μὲν μεγάλαι ἐν τοῖς κόλποις αἱ τὸ ἄνθος μέλαν ἔχουσαι, αἱ δὲ ἐν τοῖς αἰγιαλοῖς γινόμεναι μικραί, αἳ τὸ ἄνθος ἐρυθρὸν ἔχουσι· καὶ αἱ μὲν προσβόρειοι αὐτῶν μέλαιναί εἰσιν, αἱ δὲ νότιοι ἐρυθραί, καὶ πλέον μὲν ἔχουσι τὸ ἄνθος αἱ μικραὶ καὶ νέαι, ἔλαττον δὲ αἱ μεγάλαι καὶ παλαιαί. πᾶσαι δὲ ἔχουσι τὸ ἄνθος ἄνω πρὸς τῷ τραχήλῳ καὶ ἀποθνήσκουσαι ἀνεμοῦσι τοῦτο· διὸ καὶ σπουδάζουσιν αὐτὰς οἱ πορφυροβάφοι ζώσας κόπτειν πρὶν ἢ ἐμέσαι τὸ ἄνθος, καὶ ἀποτίθενται εἰς κεράμια. ἁλίσκονται δὲ αἱ πορφύραι ἔαρος, ὑπὸ κύνα δὲ οὐ δύνανται. ζῇ δὲ ἡ πορφύρα ἔτη ἕξ, δῆλον δὲ τοῦτο γίνεται τῇ περὶ τὸ ὄστρακον ἕλικι· κατὰ γὰρ ἕκαστον ἐνιαυτὸν μίαν ἕλικα προσκτᾶται μέχρι τῶν ἕξ. (45) τὰ δὲ λεγόμενα λιμνόστρεα ἐν τῷ βορβόρῳ γίνεται, αἱ δὲ πελωρίδες ἐν τῇ ἄμμῳ, σωλὴν

---

1 τῶν δὲ ὀστρακοδέρμων] Arist. hist. anim. E 15 p. 546b16 καὶ πρῶτον περὶ τῶν ὀστρακοδέρμων· τοῦτο γάρ ἐστιν ἀνόχευτον μόνον ὡς εἰπεῖν ὅλον τὸ γένος. αἱ μὲν οὖν πορφύραι τοῦ ἔαρος συναθροιζόμεναι εἰς ταὐτὸ ποιοῦσι τὴν καλουμένην μελίκηραν. τοῦτο δ' ἐστὶν οἷον κηρίον, πλὴν οὐχ οὕτω γλαφυρόν, ἀλλ' ὥσπερ ἂν εἰ ἐκ λεπυρίων ἐρεβίνθων λευκῶν πολλὰ συμπαγείη· οὐκ ἔχει δ' ἀνεῳγμένον πόρον οὐθὲν τούτων, οὐδὲ γίνονται ἐκ τούτων αἱ πορφύραι, ἀλλὰ φύονται καὶ αὗται καὶ τἆλλα τὰ ὀστρακόδερμα ἐξ ἰλύος καὶ συσσήψεως . . . ἀφιᾶσι γὰρ ἀρχόμενα κηριάζειν γλισχρότητα μυξώδη, ἐξ ἧς τὰ λεπυριώδη συνίσταται. ταῦτα μὲν οὖν ἅπαντα διαχεῖται, ἀφίησι δ' ὃ εἶχεν εἰς τὴν γῆν· καὶ ἐν τούτῳ τῷ τόπῳ γίνεται ἐν τῇ γῇ συστάντα πορφύρια μικρά, ἃ ἔχουσαι ἁλίσκονται αἱ πορφύραι ἐπ' αὐτῶν 3 τὰ δ' αὐτὰ] Arist. hist. anim. E 15 p. 547b18 ὅλως δὲ πάντα τὰ ὀστρακώδη γίνεται καὶ αὐτόματα ἐν τῇ ἰλύϊ 3. 4 εἰσὶ δὲ τῶν πορφυρῶν] Arist. hist. anim. E 15 p. 547a4 εἰσὶ δὲ τῶν πορφυρῶν γένη πλείω, καὶ ἔνιαι μὲν μεγάλαι, οἷον αἱ περὶ τὸ Σίγειον καὶ Λεκτόν, αἱ δὲ μικραί, οἷον ἐν τῷ Εὐρίπῳ καὶ περὶ τὴν Καρίαν, καὶ αἱ μὲν ἐν τοῖς κόλποις μεγάλαι καὶ τραχεῖαι, καὶ τὸ ἄνθος αὐτῶν αἱ μὲν πλεῖσται μέλαν ἔχουσιν, ἔνιαι δ' ἐρυθρὸν καὶ μικρόν· γίνονται δ' ἔνιαι τῶν μεγάλων καὶ μναῖαι· αἱ δ' ἐν τοῖς αἰγιαλοῖς καὶ περὶ τὰς ἀκτὰς τὸ μὲν μέγεθος γίνονται μικραί, τὸ δ' ἄνθος ἐρυθρὸν ἔχουσιν. ἔτι δ' ἐν μὲν τοῖς προσβορείοις μέλαιναι, ἐν δὲ τοῖς νοτίοις ἐρυθραὶ ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν 6 καὶ πλέον] nova; apud Aristotelem non inveniuntur 8 ἔχουσι τὸ ἄνθος] Arist. hist. anim. E 15 p. 547a15 τὸ δ' ἄνθος ἔχουσιν ἀνὰ μέσον τῆς μήκωνος καὶ τοῦ τραχήλου καὶ ἀποθνήσκουσαι] Arist. hist. anim. E 15 p. 547a26 σπουδάζουσι δὲ ζώσας κόπτειν· ἐὰν γὰρ πρότερον ἀποθάνῃ, συνεξεμεῖ τὸ ἄνθος· διὸ καὶ φυλάττουσιν ἐν τοῖς κύρτοις, ἕως ἂν ἀθροίσωσι καὶ σχολάσωσιν 10 ἁλίσκονται] Arist. hist. anim. E 15 p. 547a13 ἁλίσκονται δὲ τοῦ ἔαρος, ὅταν κηριάζωσιν· ὑπὸ κύνα δ' οὐχ ἁλίσκονται 11 ζῇ] Arist. hist. anim. E 15 p. 547b9 ζῇ γὰρ ἡ πορφύρα περὶ ἔτη ἕξ, καὶ καθ' ἕκαστον ἐνιαυτὸν φανερά ἐστιν ἡ αὔξησις τοῖς διαστήμασι τοῖς ἐν τῷ ὀστράκῳ τῆς ἕλικος 14 λιμνόστρεα] Arist. hist. anim. E 15 p. 547b11 τὰ δὲ λιμνόστρεα (v. l. λιμόστρεα PAa Ca Da) καλούμενα ὅπου ἂν βόρβορος ᾖ, ἐνταῦθα συνίσταται πρῶτον αὐτῶν ἡ ἀρχή. αἱ δὲ κόγχαι καὶ αἱ χῆμαι καὶ οἱ σωλῆνες καὶ οἱ κτένες ἐν τοῖς ἀμμώδεσι λαμβάνουσι τὴν σύστασιν πελωρίδες] apud Athenaeum III p. 92 d,e πελωριάδες appellantur, sed cf. Poll. VI 63 καὶ κόγχαι Πελωριναί, ὅθεν ἴσως καὶ αἱ νῦν καλούμεναι πελωρίδες ὠνομάσθησαν

---

1. 2 ὡς προεῖπον] supra § 5 2 αὑτῶν scripsi: αὐτῶν P καὶ τῆς γῆς P: fortasse κατὰ γῆς? 3 πορφύρια Rose: πορφυρὰ P πλεῖστα P: expectes πάντα Οἰσὶ errore rubricatoris P 8 δὲ (sic) P 14 λιμνόστρεα Rose: λιμόστρεα P

δὲ καὶ τὰ ὅμοια ἐν τοῖς λίθοις· περὶ δὲ τὰς σήραγγας τῶν πετρῶν τὰ 24
τήθεα καὶ αἱ βάλανοι καὶ αἱ νήρεις. οἱ δὲ σπόγγοι περὶ τὰς τῶν πετρῶν 21
κοιλότητας. ἔχει δὲ ὁ σπόγγος πινοφύλακα μεθ᾽ ἑαυτοῦ ὅμοιον ἀράχνῃ,
ὃς αὐτῷ σημαίνει τὰ ἰχθύδια θηρεύειν τὰ εἰσιόντα εἰς τὰς κοιλότητας.

(46) Κύει δὲ τὰ ἐμφανῆ τῶν ζῴων ἀεὶ τοὺς ἴσους χρόνους, ἄλλοι δὲ
ἄλλοις ἑστῶτές εἰσιν. (47) ἡ μὲν οὖν γυνὴ ἕνα χρόνον ἑστῶτα οὐκ ἔχει 25
τῆς κυήσεως καθάπερ τὰ ἄλλα ζῷα, ἀλλὰ καὶ ἑπτὰ μῆνας κυήσασα τίκτει
⟨καὶ ὀκτὼ⟩ καὶ ἐννέα, εἰσὶ δὲ αἳ καὶ ⟨τοῦ⟩ δεκάτου καὶ τοῦ ἑνδεκάτου ἤδη
προσέλαβον. (48) κύων κύει μὲν τέσσαρας μῆνας, τῷ δὲ πέμπτῳ τίκτει,
τίκτει δὲ τὰ πλεῖστα εἴκοσι. κύει δὲ καὶ λύκος ὁμοίως. (49) ἡ δὲ ἵππος 25
f.10r κύει μὲν μῆνας ἕνδεκα, τῷ δὲ | δωδεκάτῳ τίκτει· ἡ δὲ ὄνος μῆνας δέκα,
τῷ δὲ ἑνδεκάτῳ τίκτει· ἡ δὲ κάμηλος μῆνας δέκα· ἡ δὲ ἔλαφος ὀκτώ·
ἡ δὲ ἄρκτος ἡμέρας τριάκοντα τὰς πάσας. (50) ἡ δὲ λέαινα κύει καὶ
ἡ μῦς καὶ ἡ πανθὴρ καὶ ἡ πάρδαλις καὶ αἴλουρος καὶ ἰχνεύμων ὅσονπερ 5
οἱ κύνες χρόνον, λέγω δὲ τὸν τετραμηνιαῖον. (51) ἡ δὲ δασύπους τίκτει
κατὰ μῆνα. (52) τὸ δὲ πρόβατον κύει μῆνας πέντε, ὡσαύτως καὶ ἡ αἴξ·

---

1 περὶ δὲ τὰς σήραγγας] Arist. hist. anim. E 15 p. 547 b 21 περὶ δὲ τὰς σήραγγας τῶν πετριδίων τήθυα καὶ βάλανοι καὶ τὰ ἐπιπολάζοντα, οἷον αἱ λεπάδες καὶ οἱ νηρεῖται 3 ἔχει δὲ ὁ σπόγγος] Arist. hist. anim. E 16 p. 548 a 28 τῶν δὲ σπόγγων ἐν ταῖς θαλάμαις γίνονται πιννοφύλακες. ἔπεστι δ᾽ οἷον ἀράχνιον ἐπὶ τῶν θαλαμῶν, ὃ διοίγοντες καὶ συνάγοντες θηρεύουσι τὰ ἰχθύδια τὰ μικρὰ πρὸς μὲν τὸ εἰσελθεῖν διοίγοντες αὐτά, ὅταν δ᾽ εἰσέλθῃ, συνάγοντες
5 κύει] Arist. hist. anim. H 4 p. 584 a 33 τὰ μὲν οὖν ἄλλα ζῷα μοναχῶς ποιεῖται τὴν τοῦ τόκου τελείωσιν· εἷς γὰρ ὥρισται τοῦ τόκου χρόνος πᾶσιν· ἀνθρώπῳ δὲ πολλοὶ μόνῳ τῶν ζῴων· καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα καὶ ἐννεάμηνα γίνεται, καὶ δεκάμηνα τὸ πλεῖστον· ἔνιαι δ᾽ ἐπιλαμβάνουσι καὶ τοῦ ἑνδεκάτου μηνός. cf. Arist. gener. anim. Δ 4 p. 772 b 6. cf. in secunda parte f. 337v § 33. 34 9 κύων κύει] cf. Arist. hist. anim. Z 20 p. 574 a 20
10 τίκτει δὲ] cf. Arist. hist. anim. Z 20 p. 574 b 24 τίκτει δὲ κύων σκυλάκια τὰ πλεῖστα δώδεκα, ὡς δ᾽ ἐπὶ τὸ πολὺ πέντε ἢ ἕξ κύει] Arist. hist. anim. Z 35 p. 580 a 11 λύκος δὲ κύει μὲν καὶ τίκτει καθάπερ κύων τῷ χρόνῳ καὶ τῷ πλήθει τῶν γιγνομένων ἡ δὲ ἵππος] Arist. hist. anim. Z 22 p. 575 b 26 κύει δ᾽ (ἡ ἵππος) ἕνδεκα μῆνας, δωδεκάτῳ δὲ τίκτει 11 ἡ δὲ ὄνος] Arist. hist. anim. Z 23 p. 577 a 21 τίκτει δὲ (ὄνος) δωδεκάτῳ μηνί. cf. Arist. gener. anim. B 8 p. 748 a 30 12 ἡ δὲ κάμηλος] Arist. hist. anim. Z 26 p. 578 a 10 ἡ δὲ κάμηλος κύει μὲν δέκα μῆνας, τίκτει δ᾽ ἀεὶ ἓν μόνον. at hist. anim. E p. 546 b 3 κύει δὲ δώδεκα μῆνας ἡ δὲ ἔλαφος] Arist. l. c. Z 29 p. 578 b 13 κύει δ᾽ ὀκτὼ μῆνας (ἡ ἔλαφος) 13 ἡ δὲ ἄρκτος] Arist. l. c. Z 30 p. 579 a 20 κύει δ᾽ ἄρκτος τριάκονθ᾽ ἡμέρας 14 καὶ ἡ πανθὴρ] Arist. l. c. Z 35 p. 580 a 23 οἱ δὲ αἴλουροι καὶ οἱ ἰχνεύμονες τίκτουσιν ὅσαπερ καὶ οἱ κύνες . . . καὶ ὁ πανθὴρ δὲ τίκτει τυφλὰ κτλ. 15 δασύπους] Arist. l. c. Z 33 p. 579 b 33 καὶ τίκτουσι (δασύποδες) κατὰ μῆνα 16 πρόβατον] Arist. l. c. Z 19 p. 573 b 20 κύει δὲ πέντε μῆνας καὶ πρόβατον καὶ αἴξ

---

2 αἱ νήρεις Rose: ἐνήρεις P οἱ δὲ Rose: αἱ δὲ P σπόγγοι in σπόγκοι correxit P[1] πετρῶν Rose: πτερῶν P 3 σπόγγος Rose: σπόγκος P πιννοφύλακα Rose 5 κύει Rose: κύειν P ἀεὶ τοὺς ἴσους scripsi: αὐτοὺς ἴσους P Rose: τοὺς ἴσους Sauppe 6 ἄλλοις Rose: ἄλλως P ante ἡ μὲν οὖν lemma praefigit Γυνή P 7 ἑπτὰ μῆνας Rose: ἑπτάμηνα P 8 καὶ ὀκτὼ addidi ex Aristotele καὶ τοῦ δεκάτου Rose: καὶ δεκάτου P 10 εἴκοσι] litterae κ̄ et ιῑ videntur confusae ante ἡ lemma Ἵππος habet P 15 κῦνες ex μῦνες correxit P[1]

ἡ δὲ βοῦς μῆνας ἐννέα, τῷ δὲ δεκάτῳ τίκτει· ὁ δὲ ἐλέφας ἔτη δύο, οἱ δὲ λέγουσι δέκα καὶ ὀκτὼ μῆνας, τῷ δὲ ἐννεακαιδεκάτῳ τίκτει. (53) ῥηθήσεται δὲ καὶ περὶ τῆς ἐκτέξεως αὐτῶν καὶ ἐκτροφῆς καὶ τῆς ποσότητος τῶν γεννωμένων καὶ τὸ ὅλον τοῦ βίου αὐτῶν ἐπ' ἀκριβείας κατὰ προγραφὴν ἐν τῷ δευτέρῳ ἐπιγραφησομένῳ δὲ περὶ τῶν ζῳοτοκούντων, νῦν δὲ ὑπομνήσεως χάριν ἐπιτετροχάσθω.

(54) Ἐπειδὴ δὲ ἀρχὴ πάσης γενέσεως ἐναίμου τὸ σπέρμα, τί δέ ἐστι καὶ ποῖον κατὰ τὴν οὐσίαν καὶ πόθεν ζητεῖται, ἀκόλουθον ἂν εἴη τοῖς προειρημένοις καὶ περὶ τούτου εἰπεῖν.

(55) Ἐναπορεῖ ὁ Ἀριστοτέλης κατὰ μὲν πρῶτον περὶ τῆς οὐσίας αὐτοῦ. πῶς γάρ, φησίν, ἐξερχόμενον ἐκ τοῦ ζῴου παχὺ καὶ λευκόν ἐστιν, ἐπιμένον δὲ καὶ ψυχόμενον εἰς ὕδωρ ἀναλύεται; ἄτοπον δέ ἐστιν ὕδωρ αὐτὸ λέγειν· οὐ γὰρ παχύνεται ὑπὸ θέρμης ὕδωρ, τὸ δὲ σπέρμα παχύ τι καὶ λευκὸν χρῆμα φαίνεται ὑπάρχον. ἀλλ' εἰ ἐλέγομεν αὐτὸ ἐκ γεώδους καὶ ὑδατώδους εἶναι, ἐχρῆν καὶ ψυχόμενον αὐτὸ μὴ ἐξυδατοῦσθαι, τοὐναντίον δὲ καὶ πήσσεσθαι, καθάπερ καὶ τὰ ἐκ τῆς γῆς καὶ ὕδατος ὁρῶμεν τῷ χρόνῳ ξηραινόμενα. ἀλλὰ μὴν καὶ εἰ ἦν αἷμα, ὥς τινες ἔφασαν τῶν ἀρχαίων, πέψει δὲ μεταβεβληκὸς τὴν χροιάν, ἔδει αὐτὸ τῷ ψύχει μᾶλλον πήσσεσθαι, ὅπερ καὶ περὶ πᾶν αἷμα ψυχόμενον συμβαίνει. μήποτε οὖν, φησίν, ἐξ ὕδατος

1 βοῦς] Arist. hist. anim. Z 21 p. 575a25 κύει δ' ἐννέα μῆνας (βοῦς), δεκάτῳ δὲ τίκτει   ἐλέφας] Arist. hist. anim. E 14 p. 546b11 κύει δ' ἔτη δύο. hist. anim. Z 27 p. 578a18 ὅταν δ' ὀχευθῇ ἡ θήλεια, φέρει ἐν γαστρί, ὡς μέν τινές φασιν, ἐνιαυτὸν καὶ ἓξ μῆνας, ὡς δ' ἕτεροι, τρί' ἔτη   7 ἀρχὴ] Arist. part. anim. B 7 p. 653b17 τὸ μὲν γὰρ (σπέρμα) ἀρχὴ γενέσεως αὐτῶν (τῶν ζῴων) ἐστί   10 ἐναπορεῖ ὁ Ἀριστοτέλης] gener. anim. B 2 p. 735a29 περὶ δὲ τῆς τοῦ σπέρματος φύσεως ἀπορήσειεν ἄν. τὸ γὰρ σπέρμα ἐξέρχεται μὲν ἐκ τοῦ ζῴου παχὺ καὶ λευκόν, ψυχόμενον δὲ γίνεται ὑγρὸν ὥσπερ ὕδωρ, καὶ τὸ χρῶμα ὕδατος. ἄτοπον δὴ ἄν δόξειεν· οὐ γὰρ παχύνεται ὕδωρ θερμῷ, τὸ δ' ἔσωθεν ἐκ θερμοῦ ἐξέρχεται παχύ, ψυχόμενον δὲ γίνεται ὑγρόν. καίτοι πήγνυταί γε τὰ ὑδατώδη· τὸ δὲ σπέρμα οὐ πήγνυται τιθέμενον ἐν τοῖς πάγοις ὑπαίθριον, ἀλλ' ὑγραίνεται, ὡς ὑπὸ τοῦ ἐναντίου παχυνθέν. ἀλλὰ μὴν οὐδ' ὑπὸ θερμοῦ παχύνεσθαι εὔλογον. ὅσα γὰρ γῆς πλεῖον ἔχει, ταῦτα συνίσταται καὶ παχύνεται ἑψόμενα, οἷον καὶ τὸ γάλα. ἔδει οὖν ψυχόμενον στερεοῦσθαι. νῦν δ' οὐθὲν γίνεται στερεόν, ἀλλὰ πᾶν ὥσπερ ὕδωρ. ἡ μὲν οὖν ἀπορία αὕτη ἐστίν· εἰ μὲν γὰρ ὕδωρ, τὸ ὕδωρ οὐ φαίνεται παχυνόμενον ὑπὸ τοῦ θερμοῦ, τὸ δ' ἐξέρχεται παχὺ καὶ θερμὸν καὶ ἐκ θερμοῦ τοῦ σώματος· εἰ δ' ἐκ γῆς ἢ μικτὸν γῆς καὶ ὕδατος, οὐκ ἔδει ὑγρὸν πᾶν γίνεσθαι καὶ ὕδωρ   17 ἀλλὰ μὴν καὶ εἰ ἦν αἷμα] locus apud Aristotelem non extans   19 μήποτε] Arist. gener. anim. B 2 p. 735b7 (continuatio loci supra citati) ἢ οὐ πάντα τὰ συμβαίνοντα διῃρήκαμεν. οὐ γὰρ μόνον παχύνεται τὸ ἐξ ὕδατος καὶ γεώδους συνιστάμενον ὑγρόν, ἀλλὰ καὶ τὸ ἐξ ὕδατος καὶ πνεύματος, οἷον καὶ ὁ ἀφρὸς γίνεται παχύτερος καὶ λευκός, καὶ ὅσῳ ἂν ἐλάττους καὶ ἀδηλότεραι αἱ πομφόλυγες ὦσι, τοσούτῳ καὶ λευκότερος καὶ στιφρότερος ὁ ὄγκος φαίνεται. τὸ δ' αὐτὸ καὶ τὸ ἔλαιον πάσχει· παχύνεται γὰρ τῷ πνεύματι μιγνύμενον· διὸ καὶ τὸ λευκαινόμενον παχύτερον γίνεται τοῦ ἐνόντος ὑδατώδους ὑπὸ τοῦ θερμοῦ διακρινομένου καὶ γινομένου πνεύματος . . . καὶ αὐτὸ τὸ ὕδωρ τῷ ἐλαίῳ μιγνύμενον γίνεται παχὺ καὶ λευκόν· καὶ γὰρ ὑπὸ τῆς τρίψεως ἐγκατα-

5 ἐπιγραφησομένῳ (non ἐπιγραφομένῳ) P   14 ἐλέγομεν scripsi: λέγομεν P
16 (item 18) πήσσεσθαι Rose: πήσεσθαι P   18 μεταβεβληκὸς Sauppe: μεταβεβηκὸς P

καὶ πνεύματός ἐστιν, οἷος ὁ ἀφρὸς ὁ ἐπὶ τοῦ ὕδατος γινόμενος; οὗτος γὰρ 25
γίνεται παχύτερος καὶ λευκότερος ὅσῳ ἂν ἐλάττους καὶ ἀδηλοτέρας ἔχῃ 31
τὰς πομφόλυγας. τὸ δ' αὐτὸ γινόμενον ὁρᾶται καὶ περὶ τὸ ἔλαιον τὸ ἀνα- 26
f.10v κοπτόμενον μετὰ τοῦ ὕδατος· παχύνεται γὰρ ἅμα | καὶ λευκαίνεται ἐν τῇ
τοῦ πνεύματος παρεμβολῇ· ἡ γὰρ ἀνακοπὴ καὶ ἡ κίνησις πλεῖον πνεῦμα
αὐτοῖς ἐγκατακλείει. ἀμέλει δὲ καὶ αὐτὸ τὸ ἔλαιον πνεῦμα ἔχει ἐν ἑαυτῷ 5
πλεῖστον, δι' οὗ καὶ ἐπὶ τοῦ ὕδατος ἐπιπολάζει ἀνακουφιζόμενον ὑπὸ τούτου.
ὅθεν ἐξ ὕδατος καὶ πνεύματος λέγοι ἄν τις τὸ σπέρμα εἶναι καθάπερ, ὡς
προεῖπον, καὶ ὁ ἀφρός. (56) αἴτιος δὲ γίνεται τῆς ἀπηξίας τοῦ σπέρ-
ματος ὁ ἐνυπάρχων ἐν αὐτῷ ἀήρ· πᾶς γὰρ ἀὴρ ἄπηκτος. ἔοικε δέ, φησί,
τὸ λεγόμενον ὑφ' ἡμῶν μηδὲ τοὺς ἀρχαίους λεληθέναι, ὡς ἀφρώδης ἐστὶν 10
⟨ἡ⟩ τοῦ σπέρματος φύσις· τὴν γὰρ δεσπόζουσαν τῆς μίξεως [τοῦ σπέρματος]
θεὸν Ἀφροδίτην προσηγόρευσαν οὐκ ἐξ ἑτέρου ἀλλ' ἐξ ἀφροῦ. (57) ἐπι-
μέμφεται δὲ καὶ Ἀριστοτέλης Κτησίαν τὸν Κνίδιον καὶ Ἡρόδοτον τὸν ἱστοριο-
γράφον, τὸν μὲν Κτησίαν λέγοντα ὡς ψυχόμενον τὸ τῶν ἐλεφάντων σπέρμα 15
σκληρύνεται καὶ γίνεται ὅμοιον ἠλέκτρῳ, τὸν δὲ Ἡρόδοτον λέγοντα ψεύδε-
σθαι μέλαν εἶναι τὸ τῶν Αἰθιόπων σπέρμα. τούτους δὲ ἐπιμεμφόμενος
τῇ ἰδίᾳ ὑποθέσει προστίθεται. εἰ γὰρ πήσσεται τὸ τῶν ἐλεφάντων σπέρμα,
οὐκέτι ἀφρῶδες· ὁ γὰρ ἀφρὸς ἄπηκτος· εἰ δὲ μέλαν, οὐκέτι ἐξ ὕδατος

---

κλείεται πνεῦμα, καὶ αὐτὸ τὸ ἔλαιον ἔχει πνεῦμα πολύ· ἔστι γὰρ οὔτε γῆς οὔτε ὕδατος ἀλλὰ πνεύματός τὸ λιπαρόν. διὸ καὶ ἐπὶ τῷ ὕδατι ἐπιπολάζει· ὁ γὰρ ἐν αὐτῷ ὢν ἀήρ, ὥσπερ ἐν ἀγγείῳ, φέρει ἄνω καὶ ἐπιπολάζει καὶ αἴτιος τῆς κουφότητός ἐστιν 8 ὅθεν] Arist. gener. anim. B 2 p. 735b37 ἔστι μὲν οὖν τὸ σπέρμα κοινὸν πνεύματος καὶ ὕδατος, τὸ δὲ πνεῦμά ἐστι θερμὸς ἀήρ· διὸ ὑγρὸν τὴν φύσιν, ὅτι ἐξ ὕδατος 9 αἴτιος] Arist. gener. anim. B 2 p. 736a22 φανερὸν δὲ ὅτι διὰ τοῦτ' οὐδὲ πήγνυται· ὁ γὰρ ἀὴρ ἄπηκτος 10 ἔοικε] Arist. gener. anim. B 2 p. 736a18 ἔοικε δὲ οὐδὲ τοὺς ἀρχαίους λανθάνειν ἀφρώδης ἡ τοῦ σπέρματος οὖσα φύσις· τὴν γοῦν κυρίαν θεὸν τῆς μίξεως ἀπὸ τῆς δυνάμεως ταύτης προσηγόρευσαν 13. 14 ἐπιμέμφεται] Arist. gener. anim. B 2 p. 736a2 Κτησίας γὰρ ὁ Κνίδιος ἃ περὶ τοῦ σπέρματος τῶν ἐλεφάντων εἴρηκε, φανερός ἐστιν ἐψευσμένος. φησὶ γὰρ οὕτω σκληρύνεσθαι ξηραινόμενον ὥστε γίνεσθαι ἠλέκτρῳ ὅμοιον 14 Ἡρόδοτον] Arist. hist. anim. Γ 22 p. 723a17 ἀλλ' Ἡρόδοτος διέψευσται γράψας τοὺς Αἰθίοπας προΐεσθαι μέλαιναν τὴν γονήν ... ψευδὲς δ' ἐστὶ καὶ ὃ Κτησίας γέγραφε περὶ τῆς γονῆς τῶν ἐλεφάντων. cf. gener. anim. B 2 p. 736a10 18 εἰ γὰρ πήσσεται] cf. Arist. gener. anim. B 2 p. 736a8 παχὺ δὲ καὶ λευκὸν (τὸ σπέρμα) διὰ τὸ μεμῖχθαι πνεῦμα ... 13 αἴτιον δὲ τῆς λευκότητος τοῦ σπέρματος ὅτι ἐστὶν ἡ γονὴ ἀφρός, ὁ δ' ἀφρὸς λευκόν, καὶ μάλιστα τὸ ἐξ ὀλιγίστων συγκείμενον μορίων καὶ οὕτω μικρῶν ὥσπερ ἑκάστης ἀοράτου τῆς πομφόλυγος οὔσης, ὅπερ συμβαίνει καὶ ἐπὶ τοῦ ὕδατος καὶ τοῦ ἐλαίου μιγνυμένων καὶ τριβομένων, καθάπερ ἐλέχθη πρότερον

---

1 οἷος ex οἷον correxit P[1] (Schöne) 2 ἀδηλοτέρας Rose: ἀδηλοτέρους P ἔχῃ Sauppe: ἔχει P 4 λευκαίνεται scripsi: λεπτύνεται P 8 λέγοι Rose: λέγῃ P 8. 9 ὡς προεῖπον] supra p. 14,19 9 ὁ (non ἡ) ἀφρός habet P 10 ἄπηκτος Rose: ἄτηκτος P 11 ἀφρώδης ἐστὶν ἡ Sauppe ex Aristotele: ἡ ἀφροδίτη ἐστὶ P 12 τοῦ σπέρματος (post μίξεως) delendum puto 16 σκληρύνεται Rose: σκηρύνεται P 18 πήσεται P 19 ἀφρῶδες—οὐκέτι omisit culpa typothetae editio princeps. cf. Rose in Hermae vol. VII 493 μέλαν sic P

καὶ πνεύματος· ἡ γὰρ τούτων μίξις λευκή. (58) ἀντιλέγει δὲ καὶ τοῖς 26
λέγουσι τὸ σπέρμα σύντηγμα εἶναι· ἄλογον γάρ, ἐπειδὴ πᾶσα σύντηξις τῶν 21
παρὰ φύσιν, ἐκ δὲ τῶν παρὰ φύσιν ζῷον οὐκ ἂν γένοιτο. συνάγει οὖν τὸ
σπέρμα τὴν μὲν οὐσίαν ἐξ ὕδατος καὶ πνεύματος, τὴν δὲ γένεσιν εἰληφέναι
ἐκ περιττώματος χρησίμης τροφῆς τῆς ἐσχάτης. ἐσχάτη δὲ ἡμῖν, φησίν, 25
ἐστὶ τροφὴ τὸ αἷμα, ὥστε ἐκ τῆς αἱματικῆς τροφῆς τῆς ἐν τῷ συνδυασμῷ
πεττομένης καὶ μεταβεβληκυίας τὸ σπέρμα. διὸ καὶ μεγάλην αὐτὸ ἔχει
δύναμιν. (59) ἐχομένως ἀπορεῖ, πότερον ἀφ' ὅλου τοῦ σώματος ἡ κατα-
βολὴ τούτου ἢ ἀπὸ μέρους, καὶ ἀπὸ τοῦ ἄρρενος μόνου ἢ καὶ ἀπὸ τῆς
θηλείας, καὶ τὸ ὅλον εἰ συμβάλλεται τὸ θῆλυ πρὸς τὴν ζῳογονίαν ἢ 30
οὔ. (60) οὐχ ὅλον ἀφ' ὅλου εὔλογον φέρεσθαι. ἐχρῆν γάρ, εἴπερ ἦν 27
ἀφ' ὅλου ἡ φορά, μὴ ἀθρόαν τὴν ἡδονὴν παρακολουθεῖν ἡμῖν, ἀλλὰ κατὰ
f.11r μέρος ὡς καὶ συνέρρει· | ἀπὸ γάρ τινος πρώτου καὶ δευτέρου φιλεῖ φέρε-
σθαι, ἡμῖν δὲ ἄδηλον γίνεται διὰ τὴν ταχύτητα. καὶ ἔτι, εἴ τι, φασίν, ἐκ
διεστώτων ἡμῖν μερῶν ἐνεχθήσεται ἢ ἐκ συνεχῶν· καὶ εἰ μὲν ἐκ διεστώ-
των ἐνεχθήσεται, πῶς ζήσεται μὴ συνεχὲς ὄν; εἰ δὲ συνεχὲς ἔξεισι, ζῷον
ἂν ἦν τὸ φερόμενον μικρόν, οὗ μὴ γενομένου οὐκ ἂν λέγοιμεν ἀφ' ὅλου
φέρεσθαι τὸ σπέρμα. (61) χρῆται δὲ καὶ ἄλλοις πλείοσι συλλογισμοῖς.

---

1 ἀντιλέγει] Arist. gener. anim. A 18 p. 724b34 οἱ μὲν οὖν ἀρχαῖοι ἐοίκασιν οἰομένοις εἶναι σύντηγμα· τὸ γὰρ ἀπὸ παντὸς ἀπιέναι φάναι διὰ τὴν θερμότητα τὴν ἀπὸ τῆς κινήσεως συντήγματος ἔχει δύναμιν. τὰ δὲ συντήγματα τῶν παρὰ φύσιν τι, ἐκ δὲ τῶν παρὰ φύσιν οὐθὲν γίνεται τῶν κατὰ φύσιν. ἀνάγκη ἄρα περίττωμα εἶναι· ἀλλὰ μὴν περίττωμά γε πᾶν ἢ ἀχρήστου τροφῆς ἐστιν ἢ χρησίμης . . . χρησίμου ἄρα περιττώματος μέρος τί ἐστι τὸ σπέρμα. χρησιμώτατον δὲ τὸ ἔσχατον καὶ ἐξ οὗ ἤδη γίνεται ἕκαστον 5 ἐσχάτη] Arist. gener. anim. A 19 p. 726b1 ὅτι μὲν οὖν ἐστιν ἐσχάτη τροφὴ τὸ αἷμα τοῖς ἐναίμοις, τοῖς δ' ἀναίμοις τὸ ἀνάλογον, εἴρηται πρότερον· ἐπεὶ δὲ καὶ ἡ γονὴ περίττωμά ἐστι τροφῆς καὶ τῆς ἐσχάτης, ἤτοι αἷμα ἂν εἴη ἢ τὸ ἀνάλογον ἢ ἐκ τούτων τι. ἐπεὶ δ' ἐκ τοῦ αἵματος πεττομένου καὶ μεριζομένου πως γίνεται τῶν μορίων ἕκαστον, τὸ δὲ σπέρμα πεφθὲν μὲν ἀλλοιότερον ἀποκρίνεται τοῦ αἵματος, ἄπεπτον δ' ὄν, καὶ ὅταν τις προσβιάζηται πλεονάκις χρώμενος τῷ ἀφροδισιάζειν, ἐνίοις αἱματῶδες ἤδη προελήλυθεν, φανερὸν ὅτι τῆς αἱματικῆς ἂν εἴη περίττωμα τροφῆς τὸ σπέρμα, τῆς εἰς τὰ μέρη διαδιδομένης τελευταίας. καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν 8 ἐχομένως ἀπορεῖ] Arist. gener. anim. A 17 p. 721a32 ὥστε τοῦτο θεωρητέον, πότερον πάντα προΐεται σπέρμα τὰ ἄρρενα ἢ οὐ πάντα, καὶ εἰ μὴ πάντα, διὰ τίν' αἰτίαν τὰ μὲν τὰ δ' οὔ· καὶ τὰ θήλεα δὲ πότερον συμβάλλεται σπέρμα τι ἢ οὔ, καὶ εἰ μὴ σπέρμα, πότερον οὐδ' ἄλλο οὐθέν, ἢ συμβάλλεται μέν τι, οὐ σπέρμα δέ . . . b7 διὸ τοῦ αὐτοῦ λόγου ἐστί, πότερον καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν προΐεται ἄμφω ἢ θάτερον μόνον, καὶ πότερον ἀπὸ παντὸς ἀπέρχεται τοῦ σώματος ἢ οὐκ ἀπὸ παντός 11 οὐχ ὅλον] Arist. gener. anim. A 17 p. 721b13 ἔστι δὲ σχεδόν, οἷς ἄν τις χρήσαιτο τεκμηρίοις ὡς ἀφ' ἑκάστου τῶν μορίων ἀπιόντος τοῦ σπέρματος, τέτταρα, πρῶτον μὲν ἡ σφοδρότης τῆς ἡδονῆς. cf. gener. anim. A 18 p. 723b32 13 ἀπὸ γάρ τινος] unde haec? 14 καὶ ἔτι] Arist. gener. anim. A 18 p. 722b3 ἔτι εἰ μὲν διεσπασμένα τὰ μέρη ἐν τῷ σπέρματι, πῶς ζῇ; εἰ δὲ συνεχῆ, ζῷον ἂν εἴη μικρόν

---

2 σύντηγμα Rose ex Aristotele: σύμπηγμα P 4 εἴληφεν malebat Sauppe 7 πεττομένης καὶ μεταβεβληκυίας scripsi: πεμπομένης καὶ μεταβεβηκυίας P 8 ἀφ' Rose: ὑφ' P 10 συμβάλεται P 14 ταχύτητα Sauppe: παχύτητα P

ἔοικεν οὖν, φησίν, ὅσον ἐπὶ τῇ αἰσθήσει μᾶλλον φέρεσθαι [καὶ] ἀπὸ τῶν περὶ κεφαλὴν τόπων· καὶ γὰρ οἱ πλειστάκις συνουσιάσαντες ὁρῶνται, φησί, 11 κοίλους ἔχοντες τοὺς ὀφθαλμούς, καὶ οἱ βουλόμενοι ἐπιγνῶναι, εἰ γόνιμόν ἐστι τὸ τοῦ ἀνδρὸς σπέρμα ἢ οὐχί, χρίσαντες τοὺς ὀφθαλμοὺς ὑπαλείμματί τινι συνουσιάζουσι· καὶ ἐὰν μὲν συγχρωσθῇ τὸ ἀποκριθὲν σπέρμα τῷ ὑπαλείμματι, γόνιμόν ἐστιν, εἰ δὲ μή, ἄγονον, ὡς διὰ τῶν πόρων τῶν περὶ τοὺς ὀφθαλμοὺς καὶ ἀπὸ τοῦ ἐγκεφάλου συνεκκρινομένου τοῦ μέλλοντος γόνιμον ποιήσειν τὸ σπέρμα. (62) ἀλλὰ μὴν οὐδ' ⟨ἀπ'⟩ ἀμφοτέρων ἀρέσκει, λέγω δὴ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, φέρεσθαι τὸ σπέρμα. εἰ γὰρ ἀπ' ἀμφοτέρων καὶ ὅλων τῶν σωμάτων ἡ φορά, ἐχρῆν δύο γίνεσθαι ζῷα, ἄρρεν καὶ θῆλυ· ἐξ ἑκατέρου γὰρ σώματος καὶ ἐκ παντὸς μέρους πάντα ἐξίησι. συμβάλλεται οὖν,[1] φησί, τὸ θῆλυ πρὸς ζῳογονίαν οὐ σπέρματος ποιούμενον ἄφεσιν, καθάπερ ὁ ἀνήρ, ἀλλ' ὕλην τινὰ παρεχόμενον τὴν τῶν καταμηνίων ποσὴν ὑγρασίαν. ἔστι δὲ καταμήνια ἄπεπτον περίττωμα· καθάπερ ἐν ταῖς κοιλίαις ἀπέπτοις ὑπαρχούσαις ἐπακολουθεῖ διάρροια, οὕτω καὶ ἐν ταῖς φλεψὶ ταῖς φερούσαις εἰς τὴν ὑστέραν ἡ τῶν καταμηνίων γίνεται ἔκκρισις κατὰ τὴν ἀπεψίαν· εἰσὶ γὰρ αἱ ὑστέραι πέρατα φλεβῶν.

(63) Ἔστιν οὖν τὸ μὲν τοῦ ἄρρενος σπέρμα τὸ οἱονεὶ δημιουργὸν καὶ ἀρχὴν κινήσεως ἐμποιοῦν, καθάπερ ἐπὶ τῆς πυτίας ὁρῶμεν τῆς συναγούσης τὸ γάλα· οὕτως γὰρ καὶ τὸ σπέρμα πεσὸν εἰς τὰς ὑστέρας μίγνυται τῷ καθαρωτάτῳ τῆς θηλείας περιττώματι. οὐ γὰρ πᾶσα ἡ αἱματικὴ τῆς θη-

1 ἔοικεν] Arist. gener. anim. B 7 p. 747 a 13 ὅ τε γὰρ περὶ τοὺς ὀφθαλμοὺς τόπος τῶν περὶ τὴν κεφαλὴν σπερματικώτατός ἐστιν . . . καὶ τοῖς χρωμένοις πλείοσιν ἀφροδισίοις ἐνδιδόασι τὰ ὄμματα φανερῶς 4 χρίσαντες] simile experimentum Arist. l. c. p. 747 a 9 8 ἀλλὰ μὴν] Arist. gener. anim. A 18 p. 722 b 5 οὐ γὰρ ὅμοιον τὸ ἀπιὸν ἀπὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος. ἔτι εἰ ἀμφοτέρων ὁμοίως ἀπὸ πάντων ἀπέρχεται, δύο γίγνεται ζῷα· ἑκατέρων γὰρ ἅπαντα ἕξει 12 συμβάλλεται] Arist. gener. anim. A 19. 20 p. 727 b 31 ὅτι μὲν οὖν συμβάλλεται τὸ θῆλυ εἰς τὴν γένεσιν τὴν ὕλην, τοῦτο δ' ἐστὶν ἐν τῇ τῶν καταμηνίων συστάσει, τὰ δὲ καταμήνια περίττωμα, δῆλον. cf. p. 727 a 27 14 ἔστι] Arist. gener. anim. Δ 5 p. 774 a 2 ἔστι γὰρ τὰ καταμήνια σπέρμα ἄπεπτον, ὥσπερ εἴρηται πρότερον. cf. gener. anim. A 20 p. 728 a 26 15 καθάπερ] Arist. gener. anim. A 20 p. 728 a 21 ὥσπερ οὖν ἐν ταῖς κοιλίαις διὰ τὴν ἀπεψίαν γίνεται διάρροια, οὕτως ἐν ταῖς φλεψὶν αἵ τ' ἄλλαι αἱμορροΐδες καὶ αἱ τῶν καταμηνίων 16 ἐν ταῖς φλεψὶ] cf. Arist. gener. anim. B 4 p. 738 a 9 17 εἰσὶ] Arist. gener. anim. B 7 p. 745 b 29 αἱ γὰρ ὑστέραι πέρατα φλεβῶν πολλῶν εἰσιν 18 ἔστιν] Arist. gener. anim. A 20 p. 729 a 9 τὸ μὲν ἄρρεν παρέχεται τό τε εἶδος καὶ τὴν ἀρχὴν τῆς κινήσεως, τὸ δὲ θῆλυ τὸ σῶμα καὶ τὴν ὕλην, οἷον ἐν τῇ τοῦ γάλακτος πήξει τὸ μὲν σῶμα τὸ γάλα ἐστίν, ὁ δὲ ὀπός, ἡ πυτία, τὸ τὴν ἀρχὴν ἔχον τὴν συνιστᾶσαν. cf. Δ 4 p. 771 b 18 ὥσπερ φαμὲν συνάγον καὶ δημιουργοῦν τὴν ὕλην τὴν ἐν τῷ θήλει 21 οὐ γὰρ] Arist. gener. anim. B 4 p. 739 a 6 ὅταν δ' ἔλθῃ τὸ σπέρμα ἀπὸ τοῦ ἄρρενος τῶν σπέρμα προϊεμένων, συνίστησι τὸ καθαρώτατον τοῦ περιττώματος· τὸ γὰρ πλεῖστον (τοῦ περιττώματος) ἄχρηστον καὶ ἐν τοῖς καταμηνίοις ἐστὶν ὑγρόν

1 ἀπὸ τῶν Sauppe: καὶ ἀπὸ τῶν P 4 ὑπαλείμματι Rose: ὑπ' ἀλείμματι P: fortasse ἐπαλείμματι 8 οὐδ' ἀπ' ἀμφοτέρων ἀρέσκει Rose: οὐδ' ἀμφοτέρων ἀρέσκειν P 10 ὅλων τῶν (sic) P: ὅλων μὲν exhibet Rose 14 ποσὴν Rose: ποσὶν P 15 ταῖς Rose: τοῖς P 19 κοινήσεως? P πιτύας P

f.11v λείας ἀπόκρισις πρὸς τὸ ζῳογονῆσαι χρήσιμός ἐστι | ἀλλά τις. κατὰ τοῦτο 28 οὖν λέγομεν συμβάλλεσθαι τὸ θῆλυ, οὐχ ὅτι σπέρμα ἀφίησιν, ἀλλὰ καθ' ὅσον ὕλης τόπον ἐπέχει, καθάπερ χαλκὸς τῷ ἀνδριαντοπλάστῃ. (64) ὃ δὲ προΐεται ἡ γυνὴ μετὰ τῆς μίξεως καὶ ἡδονῆς ὑγρόν, ὅ τινες σπέρμα ὑπέλαβον εἶναι, ἄχρηστόν ἐστιν· οὐ γάρ ἐστι σπέρμα ἀλλ' ἴδιόν τι ὑγρὸν συμβεβηκὸς τοῖς τόποις. ἐν δὲ τοῖς καταμηνίοις αὐτοῖς ἐστι, ὡς προεῖπον, ἀπέπτου σπέρματος φύσις· διόπερ ὅσαις οὐ γίνεται τὸ ὅλον τὰ καταμήνια ἢ γενόμενα ἐσβέσθη, οὐκέτι συλλαμβάνουσιν, ἅ τε τοῦ ἄρρενος τὴν ὕλην ἐν γονεύσει μὴ ἔχοντος. (65) ἐνίαις μὲν οὖν καὶ γινομένων τῶν καταμηνίων ἀτεκνία παρακολουθεῖ. συμβαίνει δὲ τοῦτο κατὰ πολλὰς αἰτίας γίνεσθαι. καὶ γὰρ ἐὰν ᾖ εὐνουχώδης καὶ μικρὸν τὸν τράχηλον ἔχουσα οὐ συλλήψεται, καὶ ἐὰν [ἢ] ἐγκεκλεισμένας καὶ ἐὰν κωφὰς καὶ μὴ ἐστομωμένας τὰς ὑστέρας ἔχῃ, κἂν λίαν κάθυγρος ᾖ· συνεξυγραίνει ⟨γὰρ⟩ τὸ τοῦ ἄρρενος σπέρμα· κἂν λίαν πάλιν κατάξηρος· ἀναληφθήσεται γὰρ καὶ ἀναξηρανθήσεται, ἐὰν μὴ καταβαίνῃ τὸ ἴδιον μέτρον. καὶ ἄλλαι δὲ πολλαὶ πηρώσεις ἀγονίας ⟨αἴτιαι⟩ καὶ τοῖς ἄρρεσι καὶ ταῖς θηλείαις ὑπάρχουσιν, ἀλλ' ἐμοὶ τὰ νῦν οὐχ ὑπὲρ τούτων, ἀλλ' ὑπὲρ τῶν κατὰ φύσιν συλλαμβανουσῶν εἴρηται. (66) ἐχομένως δ' ἀπορεῖ, πότερον τὸ συστὰν ⟨ἐν⟩ τῇ μήτρᾳ σπέρμα καὶ μιχθὲν ⟨τῇ⟩ τῆς θηλείας ἰκμάδι εὐθέως καὶ ψυχὴν ποιεῖ καὶ

---

1 κατὰ τοῦτο] Arist. gener. anim. A 19 p. 727b31 ὅτι μὲν οὖν συμβάλλεται τὸ θῆλυ εἰς τὴν γένεσιν τὴν ὕλην . . . δῆλον. A 22 p. 730b1 ἐν τῷ θήλει εἶναι τὴν ὕλην, ἐξ ἧς ἐστι τὸ δημιουργούμενον 3. 4 ὃ δὲ προΐεται] Arist. gener. anim. A 20 p. 727b33 ὃ δ' οἴονταί τινες σπέρμα συμβάλλεσθαι ἐν τῇ συνουσίᾳ τὸ θῆλυ διὰ τὸ γίνεσθαι παραπλησίαν τε χαρὰν ἐνίοτε αὐταῖς τῇ τῶν ἀρρένων καὶ ἅμα ὑγρὰν ἀπόκρισιν, οὐκ ἔστιν ἡ ὑγρασία αὕτη σπερματικὴ ἀλλὰ τοῦ τόπου ἴδιος ἑκάσταις 7 διόπερ] Arist. gener. anim. A 19 p. 727b12 διὸ οὔτε ὅλως μὴ γιγνομένων αὐτῶν (τῶν καταμηνίων) γεννᾷ τὸ θῆλυ, οὔτε γιγνομένων ὅταν ἐξικμάζῃ ὡς ἐπὶ τὸ πολύ, ἀλλὰ μετὰ τὴν κάθαρσιν. ὁτὲ μὲν γὰρ οὐκ ἔχει τροφὴν οὐδ' ὕλην, ἐξ ἧς δυνήσεται συστῆσαι τὸ ζῷον ἡ ἀπὸ τοῦ ἄρρενος ἐνυπάρχουσα ἐν τῇ γονῇ δύναμις· ὁτὲ δὲ συνεκκλύζεται διὰ τὸ πλῆθος 9 ἐνίαις] cf. Arist. hist. anim. K 1—3 p. 633b11—636a8 15 καὶ ἄλλαι] Arist. gener. anim. B 7 p. 746b20 τὰ δ' αἴτια τῆς ἀγονίας ἐπὶ μὲν τῶν ἄλλων πλείω συμβαίνει· καὶ γὰρ ἐκ γενετῆς, ὅταν πηρωθῶσι τοὺς τόπους τοὺς πρὸς τὴν μίξιν χρησίμους, ἄγονοι γίνονται καὶ γυναῖκες καὶ ἄνδρες . . . τοῖς δὲ προϊούσης τῆς ἡλικίας ταὐτὸν συμβαίνει πάσχειν 18 ἐχομένως δ' ἀπορεῖ] Arist. gener. anim. B 3 p. 736a24 τούτου δ' ἐχόμενόν ἐστιν ἀπορῆσαι καὶ εἰπεῖν, εἰ τῶν προϊεμένων εἰς τὸ θῆλυ γονὴν μηθὲν μόριόν ἐστι τὸ εἰσελθὸν τοῦ γιγνομένου κυήματος, ποῦ τρέπεται τὸ σωματῶδες αὐτοῦ, εἴπερ ἐργάζεται τῇ δυνάμει τῇ ἐνούσῃ ἐν αὐτῷ. διορίσαι τε δεῖ, πότερον μεταλαμβάνει τὸ συνιστάμενον ἐν τῷ θήλει ἀπὸ τοῦ εἰσελθόντος τι ἢ οὐθέν, καὶ περὶ ψυχῆς, καθ' ἣν λέγεται ζῷον (ζῷον δ' ἐστὶ κατὰ τὸ μόριον τῆς ψυχῆς τὸ αἰσθητικόν), πότερον ἐνυπάρχει τῷ σπέρματι καὶ τῷ κυήματι ἢ οὔ, καὶ πόθεν

---

2 συμβάλεσθαι P 3 τόπον scripsi: τρόπον P 5 ὑγρὸν Rose: ὕπιον P 6 τόποις (sic) P προεῖπον] p. 17,14 7 ὅσαις Rose: ὅσοις P 8 ἠσβέσθη? P 12 ἢ delevi ἐγκεκλεισμένας (sic) P καὶ ἐὰν κωφὰς P: ἢ κωφὰς Rose 13 κἂν Rose: καὶ P γὰρ addidit Rose: om. P 14 κἂν Rose: καὶ P 15 ἐὰν scripsi: κἂν P 16 αἴτιαι scripsi: αἰτίαι addidit Rose 18 ἐν addidit Rose 19 τῇ τῆς Rose: τῆς P

ψυχῆς μετέχει ἢ οὔ. καί φησιν ὡς ἀναγκαῖον αὐτῆς μετέχειν, μετέχει δὲ 28
οὐ τοῦ νοεροῦ ἀλλὰ μόνον τοῦ θρεπτικοῦ. ζῆν γὰρ κατ᾽ ἀρχὰς ἐν τῇ 26
μήτρᾳ τὰ ἔμβρυα φυτοῦ βίον ἔχοντα καὶ χρᾶσθαι καθάπερ τὰ φυτὰ τῇ
γῇ. ὡς γὰρ ἐκεῖνα ταῖς ῥίζαις ἕλκει ἐκ τῆς γῆς τὴν τροφήν, οὕτως καὶ
τὸ ἔμβρυον ῥίζῃ χρώμενον τῷ ὀμφαλῷ ἐκ τῆς μήτρας τὴν ὁλκὴν ποιεῖται 29
τῆς τροφῆς. αὐξανόμενα δὲ τῷ χρόνῳ τὰ ἔμβρυα, ὅτε δὴ συμβαίνει
ἀσᾶσθαι καὶ τὴν ἔχουσαν, τότε καὶ τοῦ νοεροῦ μέρους τῆς ψυχῆς συμ-
βαίνει μετασχεῖν· ὅτε δὴ καὶ ζῷον ἂν δικαίως λέγοιτο, ἀλλ᾽ οὐκ ἔμβρυον·
ἐνυπάρχει γὰρ ἐν τῷ καταβαλλομένῳ σπέρματι τῆς ψυχῆς τινα μόρια, ἃ 5
f.12r ποιεῖ γόνιμον αὐτὸ εἶναι, ἐὰν μή τις πήρωσις | αὐτῷ ἐπακολουθήσῃ.
(67) τοῦτο δὲ τοὐνυπάρχον ἐστὶ τὸ λεγόμενον ζωτικὸν θερμόν, ὃ πῦρ μὲν
οὐκ ἔστιν· οὐ γὰρ δυνατὸν πῦρ γεννῆσαι τοιοῦτόν τι ζῷον, μᾶλλον δὲ
φθεῖραι. φύσιν δέ τινα ὑπολαβεῖν δεῖ θερμοῦ ἐνυπάρχειν ἐν τῷ σπέρματι 10
ἀναλογοῦσαν τοῖς τῶν ἄστρων καὶ τοῦ ἡλίου στοιχείοις, ἐπειδὴ ἡ ἐκείνων
θερμότης ἐν αὐτῇ ἔχουσα ζωτικήν τινα δύναμιν οἵα τέ ἐστι ζῳογονεῖν.
(68) περὶ δὲ τῆς αἰσθητικῆς τοῦ ἐμβρύου δυνάμεως ὅτι μὲν ἔξωθεν αὐτῷ

---

1 καί φησιν] Arist. gener. anim. B 3 p. 736a35 ὅτι μὲν οὖν τὴν θρεπτικὴν ἔχουσι ψυχήν, φανερόν. 736b27 λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι 2 ζῆν] Arist. gener. anim. B 3 p. 736b12 πρῶτον μὲν γὰρ ἅπαντ᾽ ἔοικε ζῆν τὰ τοιαῦτα φυτοῦ βίον. cf. de somn. et vigil. 3 p. 457a20 3 καὶ χρᾶσθαι] Arist. gener. anim. B 4 p. 740a25 χρῆται τῇ ὑστέρᾳ καὶ τῇ ἐχούσῃ ὥσπερ γῇ φυτὸν τοῦ λαμβάνειν τροφήν, ἕως ἂν τελεωθῇ πρὸς τὸ εἶναι ἤδη ζῷον δυνάμει πορευτικόν. διὸ ἐκ τῆς καρδίας τὰς δύο φλέβας πρῶτον ἡ φύσις ὑπέγραψεν, ἀπὸ δὲ τούτων φλέβια ἀπήρτηται πρὸς τὴν ὑστέραν ὁ καλούμενος ὀμφαλός . . . αἱ δὲ φλέβες οἷον ῥίζαι πρὸς τὴν ὑστέραν συνάπτουσι δι᾽ ὧν λαμβάνει τὸ κύημα τὴν τροφήν. cf. gener. anim. B 7 p. 745b24 6 αὐξανόμενα] cf. Arist. gener. anim. B 3 p. 736b13
9 ἐνυπάρχει] Arist. gener. anim. B 3 p. 736b33 πάντων μὲν γὰρ ἐν τῷ σπέρματι ἐνυπάρχει, ὅπερ ποιεῖ γόνιμα εἶναι τὰ σπέρματα, τὸ καλούμενον θερμόν 11 τοῦτο δὲ] ibid. 35 τοῦτο δ᾽ οὐ πῦρ οὐδὲ τοιαύτη δύναμίς ἐστιν, ἀλλὰ τὸ ἐμπεριλαμβανόμενον ἐν τῷ σπέρματι καὶ ἐν τῷ ἀφρώδει πνεῦμα καὶ ἡ ἐν τῷ πνεύματι φύσις, ἀνὰ λόγον οὖσα τῷ τῶν ἄστρων στοιχείῳ. διὸ πῦρ μὲν οὐθὲν γεννᾷ ζῷον, οὐδὲ φαίνεται συνιστάμενον πυρουμένοις οὔτ᾽ ἐν ὑγροῖς οὔτ᾽ ἐν ξηροῖς οὐθέν· ἡ δὲ τοῦ ἡλίου θερμότης καὶ ἡ τῶν ζῴων οὐ μόνον ἡ διὰ τοῦ σπέρματος, ἀλλὰ κἄν τι περίττωμα τύχῃ τῆς φύσεως ὂν ἕτερον, ὅμως ἔχει καὶ τοῦτο ζωτικὴν ἀρχήν· ὅτι μὲν οὖν ἡ ἐν τοῖς ζῴοις θερμότης οὔτε πῦρ οὔτε ἀπὸ πυρὸς ἔχει τὴν ἀρχήν, ἐκ τῶν τοιούτων ἐστὶ φανερόν 16 περὶ δὲ τῆς αἰσθητικῆς] dubium est num hic locus referri possit ad Arist. gener. anim. B 3 p. 736a35 ὅτι μὲν οὖν τὴν θρεπτικὴν ἔχουσι ψυχήν, φανερόν (δι᾽ ὅ τι δὲ ταύτην πρῶτον ἀναγκαῖόν ἐστι λαβεῖν, ἐκ τῶν περὶ ψυχῆς διωρισμένων ἐν ἄλλοις φανερόν)· προϊόντα δὲ καὶ τὴν αἰσθητικήν, καθ᾽ ἣν ζῷον

---

1 ψυχῆς μετέχει ἢ οὔ Sauppe: ψυχὴ μετέχει νοῦ P αὐτῆς Sauppe: αὐτὸ P
2 μόνον (?) P: μόνως exhibet Rose ζῆν Rose: ζῇ P 3 χρᾶσθαι P: χρῆσθαι Sauppe
4 ἐκεῖνα Rose: ἐκεῖνο P ἕλκει Rose: ἕλκοι P 5 ἔμβρυον τροφῆς ῥίζῃ P[1]
7 ἀσᾶσθαι καὶ τὴν ἔχουσαν (i. e. gravidam), τότε Sauppe: ἀσᾶσθαι, καὶ τὴν ἔχουσαν τότε Rose τῆς ψυχῆς P: ψυχὴν Rose 8 μετασχεῖν Sauppe: αὐτὸ ἔχειν P: αὐτὰ ἔχειν Rose 10 αὐτῷ ἐπακολουθήσῃ Rose: αὐτῶ ἐπακολουθήσει P 11 τοὐνυπάρχον sic P ἐστὶ (non ἔτι) P 12 δὲ omisit Rose 15 αὐτῇ Rose: αὐτῇ P 16 αὐτῷ Rose: αὐτὸ P

ἐπεισκρίνεται ὁμολογεῖ, τὸ δὲ πῶς καὶ πότε καὶ τίνος αἰτίου γινομένου ἐκ 29
τῶν Περὶ ψυχῆς φησι ληπτέον.
Φέρειν δὲ ἄρχεται τὸ σπέρμα περὶ τὰς δύο ἑβδομάδας ἐτῶν, ἐν ᾧ
χρόνῳ καὶ ἡ φωνὴ ἐπὶ τὸ βαρύτερον μεταβάλλει καὶ τῶν μαστῶν καὶ τῶν
αἰδοίων ἔπαρσις γίνεται. καὶ περὶ τὸν καιρὸν τοῦτον ψυχική τις αὐτοῖς
λύπη ἐντρέχει. περὶ δὲ τὸν αὐτὸν χρόνον καὶ ταῖς θηλείαις μαστῶν
ἐπάρσεις καὶ καταμηνίων καταρρήξεις. (69) γίνονται δέ, ὡς προεῖπον,
καὶ γυναῖκες καὶ ἄνδρες ἄγονοι διὰ τὸ πεπηρῶσθαι ἔστιν ὅτε αὐτῶν τὸν
γόνον, ὅθεν καὶ δοκιμάζεται αὐτῶν τὸ σπέρμα, εἰ ἔστι γόνιμον ἢ οὔ, τὸν
τρόπον τοῦτον· τῶν μὲν ἀνδρῶν ἐν ὕδατι χλιαρῷ. ἐὰν γὰρ πεσὸν εἰς τὸ
ὕδωρ διαχυθῇ καὶ ἀπόληται, ἄγονόν ἐστιν, ἐὰν δὲ συστραφῇ καὶ ἐν αὐτῷ
συστῇ γόνιμον· τὸ γὰρ πεπεμμένον παχύ, τὸ δὲ λεπτὸν ἄπεπτον, καὶ
θερμὸν μὲν τὸ ἐν πέψει γεγονός, ψυχρὸν δὲ τὸ μήπω πεπεμμένον. τὰς δὲ
γυναῖκας δοκιμάζουσι προσθέμασί τισιν, οἷον σκόροδα προσάγοντες πρὸς τὰ
στόματα τῶν ὑστερῶν· κἂν μὲν ὄζῃ τὸ στόμα χανούσαις καὶ οἱ μυκτῆρες
τοῦ σκορόδου, γόνιμός ἐστιν, εἰ δὲ μή, ἄγονός ἐστι. χρῶνται δὲ καὶ 30
ἄλλαις δοκιμασίαις, ἃς οὐ χρὴ συγγράφειν στοχαζόμενον τῆς συντομίας.
(70) μεταβάλλουσι δὲ ⟨καὶ⟩ τὰς ἕξεις καὶ οἱ ἄρρενες καὶ αἱ θήλειαι περὶ

---

3 φέρειν] Arist. hist. anim. H 1 p. 581 a 12 φέρειν δὲ σπέρμα πρῶτον ἄρχεται τὸ ἄρρεν ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ἔτεσι τοῖς δὶς ἑπτὰ τετελεσμένοις    3. 4 ἐν ᾧ χρόνῳ] Arist. hist. anim. H 1 p. 581 a 17 περὶ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ἥ τε φωνὴ μεταβάλλειν ἄρχεται ἐπὶ τὸ τραχύτερον (v. l. βαρύτερον D a) καὶ ἀνωμαλέστερον. cf. 581 b 6 καὶ ἡ φωνὴ δὲ καὶ ταῖς παισὶ μεταβάλλει περὶ τὸν χρόνον τοῦτον ἐπὶ τὸ βαρύτερον    4 καὶ τῶν μαστῶν] Arist. hist. anim. H 1 p. 581 a 27 καὶ μαστῶν ἔπαρσις γίνεται καὶ αἰδοίων, οὐ μεγέθει μόνον ἀλλὰ καὶ εἴδει. συμβαίνει δὲ περὶ τοῦτον τὸν χρόνον τοῖς τε πειρωμένοις τρίβεσθαι περὶ τὴν τοῦ σπέρματος πρόεσιν οὐ μόνον ἡδονὴν γίνεσθαι τοῦ σπέρματος ἐξιόντος, ἀλλὰ καὶ λύπην
6 περὶ δὲ τὸν αὐτὸν χρόνον] Arist. hist. anim. H 1 p. 581 a 31 περὶ τὸν αὐτὸν δὲ χρόνον καὶ τοῖς θήλεσιν ἥ τ' ἔπαρσις γίνεται τῶν μαστῶν καὶ τὰ καταμήνια καλούμενα καταρρήγνυται
7 γίνονται] Arist. gener. anim. B 7 p. 746 b 31 πολλοῖς δὲ καὶ πολλαῖς καὶ διὰ πηρώματα τοῦτο συμβαίνει τὸ πάθος κτλ.    9 ὅθεν] Arist. gener. anim. B 7 p. 747 a 3 διόπερ εὐλόγως βασανίζεται ταῖς πείραις τό γε τῶν ἀνδρῶν, εἰ ἄγονον, ἐν τῷ ὕδατι· ταχὺ γὰρ διαχεῖται τὸ λεπτὸν καὶ ψυχρὸν ἐπιπολῆς, τὸ δὲ γόνιμον εἰς βυθὸν χωρεῖ· θερμὸν μὲν γὰρ τὸ πεπεμμένον ἐστί, πέπεπται δὲ τὸ συνεστηκὸς καὶ πάχος ἔχον. τὰς δὲ γυναῖκας βασανίζουσι τοῖς τε προσθέτοις, ἐὰν διικνῶνται αἱ ὀσμαὶ πρὸς τὸ πνεῦμα τὸ θύραζε κάτωθεν ἄνω    18 μεταβάλλουσι] Arist. hist. anim. H 1 p. 581 b 24 μεταβάλλουσι δὲ καὶ τὰς ἕξεις καὶ τὰ ἄρρενα καὶ τὰ θήλεα περί τε τὸ ὑγιεινότερα εἶναι καὶ νοσερώτερα, καὶ περὶ τὴν τοῦ σώματος ἰσχνότητα καὶ παχύτητα καὶ εὐτροφίαν μετὰ γὰρ τὴν ἥβην οἱ μὲν ἐξ ἰσχνῶν παχύνονται καὶ ὑγιεινότεροι γίνονται, οἱ δὲ τοὐναντίον· ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν παρθένων. ὅσοι μὲν γὰρ παῖδες ἢ ὅσαι παρθένοι περιττωματικὰ τὰ σώματα εἶχον, συναποκρινομένων τῶν τοιούτων τοῖς μὲν ἐν τῷ σπέρματι ταῖς δ' ἐν τοῖς καταμηνίοις ὑγιεινότερα τὰ σώματα γίνεται καὶ εὐτραφέστερα ἐξιόντων τῶν ἐμποδιζόντων τὴν ὑγίειαν καὶ τὴν τροφήν· ὅσοι δὲ τοὐναντίον, ἰσχνότερα καὶ νοσερώτερα

---

4 βαρύτερον Rose (ex Arist. p. 581 b 6 cf. supra): ἔμβρυον P    7 ὡς προεῖπον] cf. supra § 65    13 γεγονὸς Rose: γεγονὼς P    μήπω ut videtur P: μήπου Rose    15 ὑστέρων P·    χανούσαις P    18 μεταβάλλουσι scripsi: μεταβάλλουσι. μεταβάλλονται P: μεταβάλλονται Rose    καὶ addidi ex Arist. 581 b 24 cf. supra

τὸν καιρόν, ὅτε ταῖς μὲν θηλείαις τὰ καταμήνια ἄρχεται, τοῖς δὲ ἄρρεσι τὸ σπέρμα. οἱ μὲν γὰρ ἐξ εὐέκτων κακόεκτοι γίνονται, οἱ δὲ ἐκ κακοέκτων 6 εὔεκτοι. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν θηλειῶν λόγος. ὡς τοῖς μὲν εὐέκτοις γινομένοις συνεκκρινομένου σὺν τῷ σπέρματι τοῦ νοσοποιοῦντος αἰτίου καὶ οἱονεὶ καθαιρομένοις, τοῖς δὲ περὶ τὸν καιρὸν τῆς ἀφέσεως τοῦ σπέρματος f.12v νοσεροῖς καὶ ἀσθενέσι γινομένοις | σημεῖον ὡς ἐκ τοῦ οἰκείου καὶ τοῦ γνησίου πλείστην ἀποφορὰν συμβαίνει γίνεσθαι. (71) μέχρι μὲν οὖν τῶν δὶς ἑπτὰ ἐτῶν ἄχρηστά ἐστι τὰ σπέρματα, μετὰ δὲ ταῦτα χρήσιμα.

(72) τῶν δὲ σπερμάτων, φησί, τὰ μὲν τραχέα καὶ χαλαζώδη ἀρρενογόνα ἐστί· τῆς γὰρ ἄκρας πέψεως τοῦτο σημεῖόν ἐστι· τὰ δὲ λεπτὰ καὶ μὴ θρομβώδη θηλυγόνα· ἀπεπτότερα γάρ, ἐκ δ' ἀπέπτου τὸ θῆλυ. (73) γίνονται αἱ συλλήψεις ταῖς γυναιξὶν οὐ πάντως τοῦ σπέρματος κατ' εὐθὺ τῆς μήτρας ⟨φερομένου⟩ ἐντὸς τοῦ στόματος, ἀλλ' ἔστιν ὅτε καὶ ἐκπεσόντος ἐκτός· στενὸν γὰρ τὸ στόμα ἐνίαις ὑπάρχει. ἤδη μὲν ⟨γὰρ⟩ ὑπερέχουσαι τῇ θερμασίᾳ αἱ ὑστέραι εἰς ἑαυτὰς ἐντὸς ἐπισπῶνται τὸ πεσὸν ἐκτός, καθάπερ αἱ σικύαι αἷς ⟨οἱ⟩ ἰατροὶ χρῶνται προσβάλλοντες· πάλιν γὰρ αὗται τῇ ποιᾷ θερμότητι τὴν ὁλκὴν τοῦ ὑγροῦ ποιοῦνται. σημεῖον δὲ ἐπὶ τῶν προσαγομένων αὐταῖς πεσσῶν καὶ περιχρίστων· μετ' οὐ πολὺν γὰρ χρόνον ξηρὰ καὶ τὰ πρόσθετα καὶ τὰ περίχριστα εὑρίσκεται, ὡς αὐτῆς ἀνειληφυίας αὐτά· φύσει γὰρ ὁλκὸν πέφυκεν εἶναι, ἐάνπερ ⟨θερμὸν⟩ κἀκείνῃ ὑπάρχῃ.

(74) τεκμήριον δὲ παρακολουθεῖ ταῖς γυναιξὶ τοῦ συνειληφέναι, ὅταν τὸ

---

τὰ σώματα γίνεται· ἀπὸ γὰρ τῆς φύσεως καὶ τῶν καλῶς ἐχόντων ἡ ἀπόκρισις γίνεται τοῖς μὲν ἐν τῷ σπέρματι ταῖς δ' ἐν τοῖς καταμηνίοις    7 μέχρι] Arist. hist. anim. H 1 p. 582a16 μέχρι μὲν οὖν τῶν τρὶς (v. l. δὶς Da) ἑπτὰ ἐτῶν τὸ μὲν πρῶτον ἄγονα τὰ σπέρματά ἐστιν· ἔπειτα γόνιμα μὲν μικρὰ δὲ καὶ ἀτελῆ γεννῶσι καὶ οἱ νέοι καὶ αἱ νέαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ζῴων τῶν πλείστων    9 τῶν δὲ σπερμάτων] Arist. hist. anim. H 1 p. 582a29 ἔστι δὲ τὰ μὲν λεπτὰ τῶν σπερμάτων ἄγονα, τὰ δὲ χαλαζώδη γόνιμα καὶ ἀρρενογόνα μᾶλλον· τὰ δὲ λεπτὰ καὶ μὴ θρομβώδη θηλυγόνα    11. 12 γίνονται] Arist. gener. anim. B 4 p. 739a35 ἡ δ' ἄφεσις οὐκ ἐντὸς γίγνεται, καθάπερ οἴονταί τινες (στενὸν γὰρ τὸ στόμα τῶν ὑστερῶν), ἀλλ' εἰς τὸ πρόσθεν, οὗπερ τὸ θῆλυ προΐεται τὴν ἐν ἐνίαις αὐτῶν ἰκμάδα γινομένην, ἐνταῦθα καὶ τὸ ἄρρεν προΐεται, ἐάν τις ἐξικμάσῃ· ὁτὲ μὲν οὖν μένει τοῦτον ἔχοντα τὸν τρόπον, ὁτὲ δέ, ἂν τύχῃ συμμέτρως ἔχουσα καὶ θερμὴ διὰ τὴν κάθαρσιν ἡ ὑστέρα, εἴσω σπᾷ· σημεῖον δέ· καὶ γὰρ τὰ πρόσθεν ὑγρὰ προστεθέντα ἀφαιρεῖται ξηρά    21 τεκμήριον] Arist. hist. anim. H 3 p. 583a14 γίνεται δὲ σημεῖον τοῦ συνειληφέναι ταῖς γυναιξίν, ὅταν εὐθὺς γένηται μετὰ τὴν ὁμιλίαν ὁ τόπος ξηρός. ἂν μὲν οὖν λεῖα τὰ χείλη ᾖ τοῦ στόματος, οὐ θέλει συλλαμβάνειν (ἀπολισθαίνει γάρ), οὐδ' ἂν παχέα· ἂν δ' ἁπτομένῳ τῷ δακτύλῳ τραχύτερα ᾖ καὶ ἀντέχηται, καὶ ἂν λεπτὰ τὰ χείλη, τότε εὐκαίρως ἔχει πρὸς τὴν σύλληψιν. πρὸς μὲν οὖν τὸ συλλαμβάνειν τοιαύτας δεῖ κατασκευάζειν τὰς ὑστέρας, πρὸς δὲ τὸ μὴ συλλαμβάνειν τοὐναντίον· ἂν γὰρ ᾖ λεῖα τὰ χείλη, οὐ συλλαμβάνει· διὸ ἔνιαι τῆς μήτρας πρὸς ὃ πίπτει τὸ σπέρμα, ἀλείφουσιν ἐλαίῳ κεδρίνῳ ἢ ψιμυθίῳ ἢ λιβανωτῷ διέντες ἐλαίῳ

---

2 εὐέκτων Rose: εὐεκτῶν P    5 καθαρρομένοις in. καθαιρομένοις correxit P[1]    12 κατ' εὐθὺ Rose: κατευθῆ P    13 φερομένου addidit Rose    14 γὰρ addidit Rose ὑπερέχουσαι scripsi: περιέχουσαι P    15 πεσὸν (non ποσὸν) P    16 σικύαι Rose: σηκυαί ut vid. P    οἱ add. Rose    18 πεσσῶν Rose: πεσῶν P    20 αὐτά Rose: αὐτάς P ὁλκὸν P: ὁλκὴν malebat Sauppe    θερμὸν addidi    κἀκείνῃ scripsi: κἀκείνη P

στόμα τῆς ὑστέρας μετὰ τὴν μίξιν ξηρὸν φανῇ γεγονός. συμβαίνει δὲ ταῖς 30
λεῖα τὰ στόματα τῶν ὑστερῶν ἐχούσαις μὴ παραδέχεσθαι τὸ σπέρμα, ταῖς **30**
δὲ ἀνεστομωμένα μᾶλλον. διὸ δὴ αἱ μὴ βουλόμεναι συλλαβεῖν λιπαίνουσι 31
τοὺς τόπους ἄλλῃ ἄλλῳ περιχρίστῳ, ὅθεν καὶ ταῖς πυκνὰ συνουσιαζομέναις
βραδύτερον τὸ ἐγγάστριον λαβεῖν· λεαίνεται γὰρ αὐταῖς καὶ κωφὸν γίνεται
τὸ στόμα τῆς ὑστέρας ὑπὸ τῶν συνικμαζομένων ὑγρῶν ἐν τῷ τέλει τῆς **5**
ὁμιλίας.

(75) Φησὶ δὲ ὡς ἑπτὰ μόνον ἡμέρας ἐν τῇ μήτρᾳ τὸ σπέρμα κεκράτηκε. μετὰ δὲ τὰς ἑπτὰ μύσιν λαμβάνει τὸ στόμα τῆς μήτρας μέχρι μηνῶν ἑπτά, τῷ δὲ ὀγδόῳ διοίγεται, καὶ ὑποκαταβαίνει τότε τὰ ἔμβρυα.
ἐὰν δὲ μήτε διοιχθῇ μήτε ὑποκαταβῇ τῷ ὀγδόῳ, ἐπισφαλές. (76) γί- **10**
f.13r νονται δὲ αἱ ναυτίαι καὶ οἱ ἔμετοι ταῖς | κυούσαις μέχρις οὗ ἡ ἀνακοπὴ τῶν καταμηνίων εἰς τοὺς μαστοὺς γένηται, καὶ τότε λήγουσιν ἀσώμεναι. ἀσῶνται δὲ καὶ ὅταν ἄρχηται τὸ βρέφος τρίχας φέρειν. εὐχρούστεραι δὲ
διαμένουσι αἱ ἄρρενας ἔχουσαι, ἀχρούστεραι δὲ αἱ θηλυγόνοι. καὶ τὸ ὅλον **15**
δὲ τὰ ἄρρενα τῶν θηλειῶν ὡς ἐπὶ πολὺ ῥᾷον τίκτεται. (77) πρῶτον δέ φησι γίνεσθαι περὶ τὸ συλληφθὲν ἐν τῇ μήτρᾳ σπέρμα χρόαν μὲν ἐξηλλαγμένην ἅτε ἐξ ἐρυθροῦ τῆς θηλείας τῶν καταμηνίων ἀπολείμματος, ὃ δὴ καὶ ὕλης τάξιν ἐπέχει, καὶ ἐκ λευκοῦ τοῦ ἄρρενος σπέρματος· εἶτα

---

4 ὅθεν] cf. Arist. gener. anim. Δ 5 p. 774a3 διὸ καὶ τῶν γυναικῶν ὅσαι πρὸς τὴν ὁμιλίαν ἀκρατεῖς τὴν τοιαύτην, ὅταν πολυτοκήσωσι, παύονται τῆς πτοήσεως 8 φησὶ] Arist. hist. anim. H 3 p. 583a24 ἐὰν δὲ ἑπτὰ ἐμμείνῃ ἡμέρας, φανερὸν ὅτι εἴληπται 9 μετὰ] Arist. hist. anim. H 4 p. 583b29 ὅταν δὲ συλλάβῃ ἡ ὑστέρα τὸ σπέρμα, εὐθὺς συμμύει ταῖς πολλαῖς μέχρι γένωνται ἑπτὰ μῆνες· τῷ δ' ὀγδόῳ χάσκουσιν· καὶ τὸ ἔμβρυον, ἐὰν ᾖ γόνιμον, προκαταβαίνει τῷ ὀγδόῳ μηνί. τὰ δὲ μὴ γόνιμα ἀλλ' ἀποπεπνιγμένα ὀκτάμηνα ἐν τοῖς τόποις οὐκ ἐκφέρουσιν ὀκτάμηναι αἱ γυναῖκες, οὔτε προκαταβαίνει κάτω τὰ ἔμβρυα τῷ ὀγδόῳ μηνί, οὔτε αἱ ὑστέραι ἐν τῷ χρόνῳ τούτῳ χάσκουσιν· ἀλλὰ σημεῖον ὅτι οὐ γόνιμον, ἐὰν γένηται μὴ συμπεσόντων τῶν εἰρημένων 11. 12 γίνονται] Arist. hist. anim. H 4 p. 584a6 ἔτι δὲ ναυτίαι καὶ ἔμετοι λαμβάνουσι τὰς πλείστας, καὶ μάλιστα τὰς τοιαύτας, ὅταν αἵ τε καθάρσεις στῶσι καὶ μήπω εἰς τοὺς μαστοὺς τετραμμέναι ὦσιν. ἔνιαι μὲν οὖν ἀρχόμεναι μᾶλλον πονοῦσι τῶν γυναικῶν, ἔνιαι δ' ὕστερον, ἤδη τοῦ κυήματος ἔχοντος αὔξησιν μᾶλλον 14 ἀσῶνται] Arist. hist. anim. H 4 p. 584a22 μάλιστα δὲ ἀσῶνται, ὅταν ἄρχωνται τὰ παιδία τρίχας ποιεῖν εὐχρούστεραι] Arist. hist. anim. H 4 p. 584a12 ὡς μὲν οὖν ἐπὶ τὸ πολὺ ῥᾷον ἀπαλλάττουσιν αἱ τὰ ἄρρενα κύουσαι καὶ μᾶλλον μετ' εὐχροίας διατελοῦσιν, ἐπὶ δὲ τῶν θηλειῶν τοὐναντίον· ἀχρούστεραί τε γὰρ ὡς ἐπὶ τὸ πολὺ καὶ βαρύτερον διάγουσι, καὶ πολλαῖς περὶ τὰ σκέλη οἰδήματα καὶ ἐπάρσεις γίνονται τῆς σαρκός 16 πρῶτον] Arist. hist. anim. H 7 p. 586a18 ὅταν δὲ λάβηται τὸ σπέρμα τῆς ὑστέρας καὶ ἐγχρονισθῇ, ὑμὴν περιίσταται. φαίνεται γάρ, ὅταν πρὶν διαρθρωθῆναι ἐξέλθῃ, οἷον ᾠὸν ἐν ὑμένι περιεχόμενον ἀφαιρεθέντος τοῦ ὀστράκου· ὁ δ' ὑμὴν φλεβῶν μεστός . . . καὶ τὰ μὲν περιέχουσιν οἷον ὑμένες, τὰ δὲ χόρια· καὶ πρῶτον μὲν τοῦ ἐσχάτου ἐντὸς γίνεται τὸ ζῷον, εἶθ' ὑμὴν περὶ τοῦτον ἄλλος, τὸ μὲν πλεῖστον προσπεφυκὼς τῇ μήτρᾳ, τῇ δ' ἀφεστὼς καὶ ὕδωρ ἔχων. μεταξὺ δ' ὑγρότης ὑδατώδης ἢ αἱματώδης ὁ καλούμενος ὑπὸ τῶν γυναικῶν πρόφορος. cf. gener. anim. B 4 p. 739b26 19 εἶτα] Arist. gener. anim. B 5 p. 741b15 γίγνεται δὲ πρῶτον ἡ ἀρχή. αὕτη δ' ἐστὶν ἡ καρδία τοῖς ἐναίμοις, τοῖς δ' ἄλλοις τὸ ἀνὰ λόγον, ὥσπερ εἴρηται πολλάκις. καὶ τοῦτο φανερὸν οὐ μόνον κατὰ τὴν

---

5 τὸ ἐν γαστρὶ λ. coni. Diels 8. 9 κεκράτηκε (sic) P 13 ἀσώμεναι Rose: ἀσόμεναι P

περὶ ταῦτα ὑμένα λεπτὸν περιπήγνυσθαι, ὃν καλεῖσθαι χόριον. εἶτα ἐχομένως 31
πρῶτον διατυποῦσθαι πᾶσι τοῖς ἐναίμοις ζῴοις καρδίαν κατὰ λόγον φησίν. 21
ὕστατον δὲ φθείρεται καρδία, πρῶτον ἄρα, φησί, γίνεται· τοῖς δ' ἀναίμοις ζῴοις τὸ ἀνάλογον. λέγει δὲ ὡς τὰ ἐντόσθια τῶν ἐκτὸς πρότερον διαρθροῦται καὶ τούτων τὰ ἄνω μᾶλλον τοῦ διαζώματος ἤπερ τὰ κάτω. ἐκ δὲ τῆς 25
καρδίας δύο ἀγγεῖα, ἀρτηρία τε καὶ φλέψ, πρῶται γίνονται, καὶ ἡ μὲν φλὲψ τροφῆς χάριν, ἡ δὲ ἀρτηρία φυλακῆς τοῦ συμφύτου πνεύματος. ταῦτα δὲ τὰ ἀγγεῖα πρόσφυσιν ἔχει πρὸς τῇ ὑστέρᾳ, καὶ περὶ ταῦτα γίνεται κέλυφός τι δερματικὸν τηρήσεως αὐτῶν καὶ φυλακῆς χάριν. ταῦτα δὲ τὰ ἀγγεῖα τὰ 30
ἀπὸ καρδίας ἐκπεφυκότα καλεῖται ὀμφαλός· ἔστι γὰρ ὁ λεγόμενος ὀμφαλὸς οὐδὲν ἕτερον ἀλλ' ἢ φλὲψ καὶ ἀρτηρία μία ἢ πλείονες ἐν ἐλύτρῳ δερματικῷ. αὗται οὖν αἱ φλέβες οἷον ῥίζαι τῇ ὑστέρᾳ προσήρτηνται, δι' ὧν λαμβάνει 32
τὸ ἔμβρυον τὴν αἱματικὴν τροφὴν καὶ αὔξεται καὶ τρέφεται. (78) διαπίπτειν δέ ⟨φησι⟩ Διογένην τὸν Ἀπολλωνιάτην εἰρηκότα ταῖς κοτυληδόσι ταῖς ἐν τῇ μήτρᾳ τρέφεσθαι τὰ ἔμβρυα· οὐδὲν γὰρ τῶν ἀμφοδόντων κοτυ- 5

---

αἴσθησιν, ὅτι γίνεται πρῶτον, ἀλλὰ καὶ περὶ τὴν τελευτήν· ἀπολείπει γὰρ τὸ ζῆν ἐντεῦθεν τελευταῖον, συμβαίνει δ' ἐπὶ πάντων τὸ τελευταῖον γινόμενον πρῶτον ἀπολείπειν, τὸ δὲ πρῶτον τελευταῖον ὥσπερ τῆς φύσεως διαυλοδρομούσης καὶ ἀνελιττομένης ἐπὶ τὴν ἀρχὴν ὅθεν ἦλθεν. ἔστι γὰρ ἡ μὲν γένεσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἡ δὲ φθορὰ ἐκ τοῦ ὄντος πάλιν εἰς τὸ μὴ ὄν. cf. de vita et morte 4 p. 469b9—20. gener. anim. B 1 p. 735a23. 4 p. 740a17. 6 p. 742b35 4 λέγει] Arist. gener. anim. B 6 p. 741b25 γίνεται δὲ μετὰ τὴν ἀρχήν, ὥσπερ ἐλέχθη, τὰ ἐντὸς πρότερον τῶν ἐκτός. φαίνεται δὲ πρότερα τὰ μέγεθος ἔχοντα τῶν ἐλαττόνων, οὐδ' ἔνια γιγνόμενα πρότερον. πρῶτον δὲ τὰ ἄνω διαρθροῦται τοῦ διαζώματος, καὶ διαφέρει μεγέθει· τὸ δὲ κάτω καὶ ἔλαττον καὶ ἀδιοριστότερον. cf. 4 p. 740a13 5. 6 ἐκ δὲ τῆς καρδίας] Arist. gener. anim. B 4 p. 740a27 διὸ ἐκ τῆς καρδίας τὰς δύο φλέβας πρῶτον ἡ φύσις ὑπέγραψεν· ἀπὸ δὲ τούτων φλέβια ἀπήρτηται πρὸς τὴν ὑστέραν, ὁ καλούμενος ὀμφαλός. ἔστι γὰρ ὁ ὀμφαλὸς φλέψ, τοῖς μὲν μία, τοῖς δὲ πλείους τῶν ζῴων. περὶ δὲ ταύτας κέλυφος δερματικὸν [ὁ καλούμενος ὀμφαλὸς] διὰ τὸ δεῖσθαι σωτηρίας καὶ σκέπης τὴν τῶν φλεβῶν ἀσθένειαν 9 ταῦτα] Arist. hist. anim. H 8 p. 586b12 ὁ δ' ὀμφαλός ἐστι κέλυφος περὶ φλέβας, ὧν ἡ ἀρχὴ ἐκ τῆς ὑστέρας ἐστί, τοῖς μὲν ἔχουσι τὰς κοτυληδόνας ἐκ τῶν κοτυληδόνων, τοῖς δὲ μὴ ἔχουσιν ἀπὸ φλεβός . . . εἰσὶ δὲ περὶ τὴν συζυγίαν ἑκατέραν τῶν φλεβῶν ὑμένες, περὶ δὲ τοὺς ὑμένας ὁ ὀμφαλὸς οἷον ἔλυτρον. cf. Arist. gener. anim. B 7 p. 745b26 ἔστι δὲ ὁ ὀμφαλὸς ἐν κελύφει φλέβες, τοῖς μὲν μείζοσι πλείους, οἷον βοῒ καὶ τοῖς τοιούτοις, τοῖς δὲ μέσοις δύο, μία δὲ τοῖς ἐσχάτοις, διὰ δὲ τούτου λαμβάνει τὴν τροφὴν αἱματικήν 12 αὗται οὖν αἱ φλέβες] Arist. gener. anim. B 4 p. 740a33 αἱ δὲ φλέβες οἷον ῥίζαι πρὸς τὴν ὑστέραν συνάπτουσι, δι' ὧν λαμβάνει τὸ κύημα τὴν τροφήν 13. 14 διαπίπτειν] Arist. gener. anim. B 7 p. 746a19 οἱ δὲ λέγοντες τρέφεσθαι τὰ παιδία ἐν ταῖς ὑστέραις διὰ τοῦ σαρκίδιόν τι βδάλλειν οὐκ ὀρθῶς λέγουσιν. cf. Censorinus de die nat. c. 5 (p. 10,26 Hultsch) *at Diogenes et Hippon existimarunt esse in alvo prominens quiddam quod infans ore adprehendat: ex quo* (*ex eo* codd.) *alimentum ita trahat ut, cum editus est, ex matris uberibus.* cf. Panzerbieter in Diog. Apoll. Lips. 1830 p. 127. Rose in nota p. 32. Doxogr. ed. Diels p. 191 15 οὐδὲν γὰρ] Arist. gener. anim. B 7 p. 746a8 τὰ δὲ πολλὰ τῶν κολοβῶν ζῴων καὶ ἀμφωδόντων οὐκ ἔχει κοτυληδόνα ἐν ταῖς ὑστέραις

---

3 δὲ P: an γάρ? 5 ἤπερ Rose: ἢπερ P 8 ταῦτα Rose: ταύτῃ P κέλυφός Rose: κάλυφός P 13. 14 διαπίπτειν Rose: διαπίπτει P 14 φησι inseruit Rose κοτυλιδόσι P

λη̃δόνας ἔχει ἐν τῇ μήτρᾳ, ἔστι δὲ ὁ ἄνθρωπος ἀμφόδους. (79) περὶ 32 δὲ τὸν καιρὸν ὅτε ἄρχεται ἐν μαστοῖς γάλα ταῖς κυούσαις γίνεσθαι, τότε ἄρχεσθαί φησι σχίζεσθαι τὸ ἔμβρυον τὸ πρὶν ὑπάρχον κρεῶδες· καὶ τὸ f.13v μὲν ἄρρεν διαρθροῦται οὐ μετὰ πολὺ τῶν τεσσαράκοντα ἡμερῶν, | τὸ δὲ θῆλυ μετὰ τὰς ἑξήκοντα. ἤδη γάρ φησιν ἐκτρωθὲν μετὰ τεσσαράκοντα καὶ βληθὲν εἰς ὕδωρ ψυχρὸν ἐφάνη ἐν ὑμένι ὑπάρχον, οὗ διακνηθέντος ἐλαφρῶς ἐφάνη τὸ ἔμβρυον ἡλίκον μύρμηξ τῶν μεγάλων, πάντα τὰ μέλη ἔχον δῆλα.

(80) Περὶ δὲ χρόνου κυήσεώς φησιν ὁ Ἀριστοτέλης τοῖς μὲν ἄλλοις ζῴοις ἕνα χρόνον εἶναι τῆς κυήσεως, ὡς εἶπον, καὶ βοῒ μὲν ἐννεαμηνιαῖον, ἵππῳ δὲ δεκαμηνιαῖον, τῇ δὲ γυναικὶ πλείονας εἶναι τοὺς χρόνους· καὶ γὰρ ἑπτὰ μῆνάς τινες κύουσαι ἔτεκον γόνιμα, ἕτεραι δὲ ἐννέα, ἄλλαι δὲ δέκα καὶ τοῦ ἑνδεκάτου προσέλαβον. (81) συνέβη δέ τισι ἐπισπασαμέναις πλείω τῶν ἕνδεκα μηνῶν χρόνον τεκεῖν τὸν καλούμενον μύλον· ὧν καὶ μίαν, φησίν, ἐπίσταμαι ἥτις συγγενομένη τῷ ἀνδρὶ καὶ δόξασα ἔγκυος γεγονέναι τρία ἔτη διετέλεσεν ἐν ἐπάρματι τὴν γαστέρα ἔχουσα. οὐκέτι μὲν 33 οὖν ἐντὸς ἐκινεῖτό τι αὐτῇ, καθάπερ ταῖς κατὰ φύσιν ἐχούσαις. εἶτα χειμῶνος γενομένου καὶ πολλῆς δυσαερίας, ἔτεκε σάρκα τὸν λεγόμενον μύλον καὶ ἐσώθη. ἤδη μὲν οὖν τινες μὴ τεκοῦσαι αὐτὸν ἀνῃρέθησαν ὑπ' αὐτοῦ, τισὶ δὲ καὶ συγκατεγήρασε τῶν γυναικῶν. ἔστι δὲ αὕτη ἡ σὰρξ σκληρὰ

---

1 ἄνθρωπος ἀμφόδους] Arist. part. anim. Γ 14 p. 674a24 ὅσα μὲν αὐτῶν ἐστιν ἀμφώδοντα ... οἷον ἄνθρωπος 1. 2 περὶ δὲ τὸν καιρὸν] Arist. hist. anim. H 3 p. 583b9 περὶ δὲ τοῦτον τὸν χρόνον καὶ σχίζεται τὸ κύημα· τὸν δ' ἔμπροσθεν ἄναρθρον συνέστηκε κρεῶδες 3. 4 καὶ τὸ μὲν ἄρρεν] Arist. hist. anim. H 3 p. 583b2 καὶ ἐν τοῖς βουβῶσιν ἐπὶ μὲν τῶν ἀρρένων ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ δεξιῷ μᾶλλον περὶ τὰς τετταράκοντα γίνεται ἡ κίνησις, τῶν δὲ θηλειῶν ἐν τῷ ἀριστερῷ περὶ ἐνενήκονθ' ἡμέρας 5 ἤδη] Arist. hist. anim. H 3 p. 583b14 τὸ μὲν οὖν ἄρρεν ὅταν ἐξέλθῃ τετταρακοσταῖον, ἐὰν μὲν εἰς ἄλλο τι ἀφῇ τις, διαχεῖταί τε καὶ ἀφανίζεται, ἐὰν δ' εἰς ψυχρὸν ὕδωρ, συνίσταται οἷον ἐν ὑμένι· τούτου δὲ διακνισθέντος (διακυηθέντος Ca) φαίνεται τὸ ἔμβρυον τὸ μέγεθος ἡλίκον μύρμηξ τῶν μεγάλων, τά τε μέλη δῆλα, τά τε ἄλλα πάντα καὶ τὸ αἰδοῖον, καὶ οἱ ὀφθαλμοὶ καθάπερ ἐπὶ τῶν ἄλλων ζῴων μέγιστοι 9 περὶ δὲ χρόνου] Arist. hist. anim. H 4 p. 584a33 cf. supra § 46 14 ὧν] Arist. hist. anim. K 7 p. 638a11 συγγενομένης (τινὸς γυναικὸς) τῷ ἀνδρὶ καὶ δοξάσης συλλαβεῖν ὅ τ' ὄγκος ηὐξάνετο τῆς ὑστέρας καὶ τἆλλα ἐγίγνετο τὸ πρῶτον κατὰ λόγον. ἐπεὶ δ' ὁ χρόνος ἦν τοῦ τόκου, οὔτε ἔτικτεν οὔτε ὁ ὄγκος ἐλάττων ἐγίγνετο, ἀλλ' ἔτη τρία ἢ τέτταρα οὕτω διετέλεσεν. ἕως δυσεντερίας γενομένης καὶ κινδυνευσάσης αὐτῆς ἔτεκε σάρκα εὐμεγέθη, ἣν καλοῦσι μύλην. ἐνίαις δὲ καὶ συγκαταγηράσκει τὸ πάθος καὶ συναποθνήσκει. cf. gener. anim. Δ 7 p. 775b25—36 20 ἔστι] Arist. hist. anim. K 6 p. 638b10 καὶ ἡ σκληρότης δ' ἡ γιγνομένη τοῦ πράγματος κωλύσεως ἔργον ἐστίν. οὕτω γὰρ γίνεται σκληρὸν ὥστε πελέκει οὐ δύνανται διακόπτειν. cf. gener. anim. Δ 7 p. 775b34 τὰ δὲ θύραζε ἐξιόντα τῶν τοιούτων γίνεται σκληρὰ οὕτως ὥστε μόλις διακόπτεσθαι καὶ σιδήρῳ

---

3 σχίζεσθαι Rose: ἰσχύεσθαι P 5 ἑξήκοντα P: ἐνενήκοντα suasit ex Aristotele Sauppe 6 διακνηθέντος scripsi: διακινηθέντος P: διακνισθέντος Rose ex Aristotelis loco supra citato, sed cf. ibi v. l. διακυηθέντος 7 μύρμηξ Rose: μύρμηκι P 8 ἔχον (non ἔσχον) P 10 ὡς εἶπον] supra § 46 12 μῆνες P 14 μύλον P: μύλην Aristoteles 15 δόξασα ἔγκυος Rose: δόξας ἔγγυος P 18 δυσαερίας scripsi: δυσαυρίας P: δυσεντερίας Aristoteles

[καὶ ὑποπέλιδνος], ὥστε μόλις ὑπὸ σιδήρου τέμνεσθαι, τὸ δὲ μέγεθος ἔχει 33 ἀνὰ λόγον τοῦ χρόνου τῷ τελείῳ βρέφει ἴσον. (82) ἐσχημάτισται δὲ ἐν τῇ μήτρᾳ τὰ μὲν τετράποδα τῶν ζῴων ἐκτεταμένα, τὰ δ' ἄποδα πλάγια. τὰ δὲ πτηνὰ συγκεκαμμένα ἐστίν, ὁ δὲ ἄνθρωπος τὴν μὲν ῥῖνα μέσον τῶν γονάτων ἔχων, τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ τοῖς γόνασι, τὰ δὲ ὦτα ἐκτός. (83) ἐκτίκτεται δὲ τὰ βρέφη ἀπολυομένων, διὰ τὸ βάρος τῶν προσπεφυκότων ⟨ὑμένων, τῶν⟩ φλεβῶν ἐκ τῆς μήτρας εἰς τὸ ἀγγεῖον καὶ ἔτι διὰ τὸ μὴ δύνασθαι τὴν ἔχουσαν τρέφειν αὐτὸ διὰ τὸ παργυξῆσθαι, ὅθεν σπανίζον τροφῆς ἀπαίρει καὶ τὴν κεφαλὴν κάτω ἴσχει. τοῦτο δὲ γίνεται αὐτοῖς εἰκότως· καθάπερ γὰρ ἐκ [τοῦ] ζυγοῦ τοῦ ὀμφαλοῦ ἠρτημένα
f.14r ὀφείλει ῥέπειν κατὰ τὴν | κίνησιν ἐπὶ τὰ βαρύτερα καὶ ὀγκωδέστερα τὰ περὶ τὴν κεφαλὴν καὶ τὰ στήθη μέρη· ὅθεν καὶ ὁ πόρος ἐστὶ τοῖς κατὰ φύσιν τικτομένοις ἐπὶ ταῦτα.

(84) Ἄρσενα δέ φησιν ἢ θήλεα γίνεσθαι παρὰ τὸ πεπέφθαι ὑπὸ θερμοῦ ἢ ἄπεπτον εἶναι τὸ τοῦ ἀνδρὸς σπέρμα. ἀκολουθεῖ γὰρ τῷ μὲν πεπεμμένῳ περιττώματι θερμὸν εἶναι, τῷ δὲ ἀπέπτῳ ψυχρὸν ὑπάρχειν. διὸ δὴ τὰ μὲν ἄρρενα ὑπὸ τοῦ θερμοῦ καὶ πεπεμμένου σπέρματος, τὰ δὲ θήλεα ὑπὸ τοῦ ἀπέπτου καὶ ψυχροῦ. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, σημεῖα τὰ

---

2 ἐσχημάτισται] Arist. hist. anim. H 8 p. 586a34 σχῆμα δ' ἔχει ἐν τῇ ὑστέρᾳ τὰ μὲν τετράποδα πάντα ἐκτεταμένα, καὶ τὰ ἄποδα πλάγια, οἷον ἰχθύς, τὰ δὲ δίποδα συγκεκαμμένα, οἷον ὄρνις καὶ ἄνθρωπος συγκεκαμμένος· ῥῖνα μὲν μεταξὺ τῶν γονάτων, ὀφθαλμοὺς δ' ἐπὶ τοῖς γόνασιν, ὦτα δ' ἐκτός 6 ἐκτίκτεται] Arist. gener. anim. Δ 8 p. 777a22 ὅταν γὰρ διὰ τὸ μέγεθος μηκέτι ἱκανὴ ᾖ τῷ κυουμένῳ ἡ διὰ τοῦ ὀμφαλοῦ τροφή, ἀλλὰ τὸ γάλα γίνεται χρήσιμον πρὸς τὴν γινομένην τροφὴν καὶ οὐκ εἰσιούσης διὰ τοῦ ὀμφαλοῦ τροφῆς, συμπίπτουσιν αἱ φλέβες περὶ ἃς ὁ καλούμενος ὀμφαλός ἐστι χιτών, καὶ διὰ ταῦτα καὶ τότε συμβαίνει θύραζε ἡ ἔξοδος. cf. hist. anim. H 8 p. 586b23 αὐξανομένων (τῶν ὑμένων) δ' ἀεὶ μᾶλλον συμπίπτουσιν αὗται αἱ φλέβες 9 καὶ τὴν κεφαλὴν] Arist. gener. anim. Δ 9 p. 777a28 ἐπὶ κεφαλὴν δ' ἡ γένεσίς ἐστι τοῖς ζῴοις πᾶσιν ἡ κατὰ φύσιν διὰ τὸ τὰ ἄνω τοῦ ὀμφαλοῦ μείζω ἔχειν ἢ τὰ κάτω. καθάπερ οὖν ἐν ζυγοῖς ἠρτημένα ἐξ αὐτοῦ ῥέπει ἐπὶ τὸ βάρος 14 ἄρσενα] Arist. gener. anim. Δ 1 p. 766a16 τούτων δ' ὑποκειμένων ἴσως ἂν ἤδη μᾶλλον εἴη φανερόν, δι' ἣν αἰτίαν γίνεται τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν. ὅταν γὰρ μὴ κρατῇ ἡ ἀρχὴ μηδὲ δύνηται πέψαι δι' ἔνδειαν θερμότητος μηδ' ἀγάγῃ εἰς τὸ ἴδιον εἶδος τὸ αὐτοῦ, ἀλλὰ ταύτῃ ἡττηθῇ, ἀνάγκη εἰς τοὐναντίον μεταβάλλειν. ἐναντίον δὲ τῷ ἄρρενι τὸ θῆλυ, καὶ ταύτῃ ᾗ τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ 15 ἀκολουθεῖ] Arist. gener. anim. Δ 1 p. 766b12 διαφέρει δὲ τὸ τοῦ ἄρρενος σπέρμα, ὅτι ἔχει ἀρχὴν ἐν ἑαυτῷ τοιαύτην οἵαν κινεῖν καὶ ἐν τῷ ζῴῳ καὶ διαπέττειν τὴν ἐσχάτην τροφήν, τὸ δὲ τοῦ θήλεος ὕλην μόνον. κρατῆσαν μὲν οὖν εἰς αὐτὸ ἄγει, κρατηθὲν δ' εἰς τοὐναντίον μεταβάλλει ἢ εἰς φθοράν. ἐναντίον δὲ τῷ ἄρρενι τὸ θῆλυ. θῆλυ δὲ τῇ ἀπεψίᾳ καὶ τῇ ψυχρότητι τῆς αἱματικῆς τροφῆς 18 ὅτι] Arist. gener. anim. Δ 2 p. 766b28 τεκμήρια δὲ τὰ συμβαίνοντα τοῖς εἰρημένοις. τά τε γὰρ νέα θηλυτόκα μᾶλλον τῶν ἀκμαζόντων, καὶ γηράσκοντα μᾶλλον· τοῖς μὲν γὰρ οὔπω τέλειον τὸ θερμόν, τοῖς δ' ἀπολείπει

---

1 καὶ ὑποπέλιδνος Rose: καὶ ὑπο,πέλιδνος P. scribendum καὶ ὑπὸ πέλυκος, glossema verborum ὑπὸ σιδήρου cf. Arist. ad p. 24, 20 cit. 2 ἀνὰ λόγον Sauppe: ἀνάλογον P 6 ἀπολυομένων scripsi: ἀπολομένων P 7 ὑμένων τῶν addidi ἐκ τῆς Rose: ἐκτὸς P ἔτι scripsi: ἔστι P 9 κάτω scripsi: ἄνω P 10 τοῦ (post ἐκ) delendum puto ἠρτημένα Rose: ἠρτϋμένα P 11 βαρύτερα Sauppe: βραδύτερα P 16 τῷ δὲ Rose: τὸ δὲ P 18 θήλεα Rose: θήλεια P ὅτι Rose: ὅτε P

συμβαίνοντα. οἵ τε γὰρ νέοι λίαν καὶ οἱ πρεσβύτεροι θηλυγόνοι ὡς ἐπὶ 33
πολύ· οἱ μὲν γὰρ διὰ τὸ ἐκλείπειν αὐτοῖς τὸ θερμόν, ὃ ἦν τῆς πέψεως
αἴτιον, οἱ δὲ διὰ τὸ μηδέπω τέλειον αὐτὸ ἔχειν. ἀμέλει δὲ καὶ τὰ ὑγρὰ
τῶν σωμάτων καὶ γυναικωδέστερα θηλυγόνα μᾶλλον· ἧττον γὰρ τὸ σπέρμα
αὐτῶν ἐστι θερμόν, καὶ αὐτὰ τὰ θηλυκὰ σώματα ψυχρὰ πέφυκεν εἶναι·
ἀναλογεῖν γὰρ ὀφείλει ἀφ' ὧν καὶ ἐγένετο. (85) μαρτυρεῖ δὲ τῇ ψυχρότητι 34
τῶν θηλειῶν καὶ ἡ τῶν καταμηνίων γινομένη αὐταῖς ἔκκρισις· μὴ δυναμένη
γὰρ αὐταῖς ἡ φύσις τὸ παρακείμενον περίττωμα πέψαι τὴν ἔκκρισιν ποιεῖται
οἷον ἀποδιωθουμένη τὸ ἀλλότριον. καὶ τὰ λίαν δὲ ψυχρὰ τῶν ὑδάτων καὶ
οἱ λίαν κατάψυχροι τόποι ἄγονοι. (86) ἔστιν οὖν τις ἀνεκλάλητος καὶ
ὡρισμένη θερμοῦ ποσότης ἡ γεννῶσα τὸ ἄρρεν καὶ ψυχροῦ τὸ θῆλυ· οὔτε
γὰρ τὸ λίαν πυρῶδες δύναται πέψαι ἀλλὰ τὸ ποσόν, οὔθ' ἡ λίαν ψυχρότης
ποιῆσαι τὸ θῆλυ. δεῖ οὖν συμμετρίας τινὸς τῆς θερμότητος καὶ τῆς
ψυχρότητος τῆς περὶ τὸ σπέρμα πρὸς τὸ ποιεῖσθαι ἄρρεν ἢ θῆλυ καὶ τὸ
ὅλον συντελεσθῆναι ζῷον. (87) εἰσὶ δὲ τῇ φύσει ἄνδρες θηλυγόνοι,
* * * οἷον καὶ περὶ τοῦ Ἡρακλέους μυθολογεῖται· οὗτος γὰρ ἐν ἑβδομή-
κοντα καὶ δύο τέκνοις μίαν θυγατέρα ἐποίησε. (88) δίδυμά τε καὶ τρί-

---

3 ἀμέλει] Arist. gener. anim. Δ 2 p. 766ᵇ31 καὶ τὰ μὲν ὑγρότερα τῶν σωμάτων καὶ γυναικικώτερα θηλυγόνα μᾶλλον, καὶ τὰ σπέρματα τὰ ὑγρὰ τῶν συνεστηκότων· πάντα γὰρ ταῦτα γίνεται δι' ἔνδειαν θερμότητος φυσικῆς  5 καὶ αὐτὰ] Arist. gener. anim. Δ 6 p. 775ᵃ14 ἀσθενέστερα γάρ ἐστι καὶ ψυχρότερα τὰ θήλεα τὴν φύσιν  6 μαρτυρεῖ] Arist. gener. anim. Δ 2 p. 766ᵇ35 τὸ δὲ πλεῖον περίττωμα δυσπεπτότερον· διὸ τοῖς μὲν ἄρρεσιν ὑγρότερον τὸ σπέρμα, ταῖς δὲ γυναιξὶν ἡ τῶν καταμηνίων ἔκκρισις. cf. Arist. gener. anim. Δ 1 p. 765ᵇ21 sqq.  9 καὶ τὰ λίαν] Arist. gener. anim. Δ 2 p. 767ᵃ28 διαφέρει δὲ καὶ χώρα χώρας εἰς ταῦτα καὶ ὕδωρ ὕδατος διὰ τὰς αὐτὰς αἰτίας. ποιὰ γάρ τις ἡ τροφὴ γίνεται μάλιστα καὶ τοῦ σώματος ἡ διάθεσις, διά τε τὴν κρᾶσιν τοῦ περιεστῶτος ἀέρος καὶ τῶν εἰσιόντων, μάλιστα δὲ διὰ τὴν τοῦ ὕδατος τροφήν· τοῦτο γὰρ πλεῖστον εἰσφέρονται, καὶ ἐν πᾶσίν ἐστι τροφὴ τοῦτο, καὶ ἐν τοῖς ξηροῖς. διὸ καὶ τὰ ἀτέραμνα ὕδατα καὶ ψυχρὰ τὰ μὲν ἀτεκνίαν ποιεῖ, τὰ δὲ θηλυτοκίαν  10 ἔστιν] Arist. gener. anim. Δ 2 p. 767ᵃ17 τὸ δὲ θερμὸν λίαν μὲν κρατοῦν ξηραίνει τὰ ὑγρά, πολὺ δὲ ἐλλεῖπον οὐ συνίστησιν, ἀλλὰ δεῖ πρὸς τὸ δημιουργούμενον ἔχειν τὸν τοῦ μέσου λόγον. εἰ δὲ μή, καθάπερ ἐν τοῖς ἑψομένοις προσκάει μὲν τὸ πλεῖον πῦρ, οὐχ ἕψει δὲ τὸ ἔλαττον, ἀμφοτέρως δὲ συμβαίνει μὴ τελειοῦσθαι τὸ γινόμενον, οὕτω καὶ ἐν τῇ τοῦ ἄρρενος μίξει καὶ τοῦ θήλεος δεῖ τῆς συμμετρίας  15 εἰσὶ δὲ] Arist. hist. anim. Η 6 p. 585ᵇ21 εἰσὶ δὲ καὶ ἄνδρες θηλυγόνοι καὶ γυναῖκες ἀρρενογόνοι (ἄνδρες καὶ γυναῖκες θηλυγόνοι καὶ ἀρρενογόνοι Schneider: καὶ ἄνδρες θηλυγόνοι καὶ γυναῖκες, οἱ δ' ἀρρενογόνοι Aubert-Wimmer), οἷον καὶ κατὰ τοῦ Ἡρακλέους μυθολογεῖται, ὃς ἐν δύο καὶ ἑβδομήκοντα τέκνοις θυγατέρα μίαν ἐγέννησεν  17 δίδυμα] cf. Plut. de plac. V 10 (Doxogr. p. 421,25) Ἐμπεδοκλῆς δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος... Ἐρασίστρατος διὰ τὰς ἐπισυλλήψεις... ὅταν γὰρ ἡ μήτρα εἴη κεκαθαρμένη, τότε ἐπισύλληψιν δέχεσθαι. οἱ Στωϊκοὶ παρὰ τοὺς ἐν τῇ μήτρᾳ τόπους· ὅταν γὰρ εἰς πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις ⟨καὶ τὰ δίδυμα⟩ καὶ τρίδυμα

---

7 αὐταῖς Rose: αὐτοῖς P  9 ὑδάτων scripsi: σωμάτων P: πωμάτων coni. Diels  11 ψυχροῦ Rose: ψυχρὸν P  13 συμμετρίας τινὸς Sauppe: συμμετρίαν τινὰ P: συμμετρίαν τινὰ εἶναι Rose  15 post ἄνδρες addam καὶ γυναῖκες  post θηλύγονοι add. οἱ δ' ἀρρενογόνοι Rose cf. Arist. supra cit.  17 δίδυμά Rose: διάδυμά P

δυμα γίνεται ἃ μὲν κατ' ἐπισύλληψιν, ἔστι δ' ὅτε, φησί, καὶ κατὰ σχίσιν. 34 ὅταν μὲν ἅμα ἐκτεχθῇ ἄρρεν καὶ θῆλυ, ἀνάγκη ταῦτα κατ' ἐπισύλληψιν | f.14v γεγονέναι, ἅτε τοῦ ἄρρενος μὲν ἐκ πεπεμμένου γεγονότος, τοῦ δὲ θήλεος ἐξ ἀπέπτου, ὥστε ὑπὸ δύο ταῦτα καταβολὰς γεγενῆσθαι. τὰ δὲ ὑπὸ μίαν καταβολὴν τοιαῦτα γινόμενα τὸ μὲν ἐκ κατεψυγμένου γίνεται σπέρματος ὑπομεμενηκότος περὶ τὸν περίνεον, τὸ δὲ ἀπὸ κατενηνεγμένου καὶ οὕτως ὁμοῦ ἀμφοτέρων ἐμπεπτωκότων. ὅταν δὲ ὑπὸ μίαν καταβολὴν δύο ἄρρενα ἢ δύο θήλεα γένηται, ταῦτα σχισθέντος ἐν τῇ μήτρᾳ τοῦ σπέρματος γίνεται, τοῦ μὲν πεπεμμένου εἰς δύο ἄρρενα, τοῦ δὲ ἀπέπτου εἰς δύο θήλεα. ὅτι δὲ κατ' ἐπισύλληψιν ἀρέσκει αὐτῷ γίνεσθαι ⟨δῆλον⟩· αὐτὸς γὰρ οὕτω φησί· "συνέβη γάρ τινα δούλην περὶ Τρίκκην ἐκ τοῦ δεσπότου καὶ τοῦ 35 ἐπιτρόπου τῇ αὐτῇ ἡμέρᾳ πλησιάσασαν τεκνῶσαι δύο, ὧν τὸ μὲν ἦν τῷ ἐπιτρόπῳ ὅμοιον, τὸ δὲ τῷ δεσπότῃ". καὶ μὴν ὅτι κατὰ σχίσιν τοῦ σπέρματός τινα γίνεται, οὕτως φησί· "τὰ δὲ διδυμοτοκοῦντα ἀπὸ μιᾶς καταβολῆς δοκεῖ ἀρρενοτοκεῖν ἢ θηλυτοκεῖν, ὅτι τὸ σπέρμα τοῦ ἄρρενος ἰσχυρόν ἐστιν, ὥστε μεριζομένου εἰς δύο ἢ εἰς πλείονα τρόφιμα γίνεσθαι".

(89) Τὰς δὲ ὁμοιότητας οἴεται συμβαίνειν παρὰ τὰς ἀπεψίας καὶ εὐπεψίας τῶν σπερμάτων· οἴεται γὰρ καὶ τὰ καταμήνια σπέρματα ἄπεπτα εἶναι. ὅταν μὲν οὖν ἄπεπτος γένηται ἡ ἐν τοῖς καταμηνίοις ὑπόληψις, καθ' ἑαυτὴν ποιήσει ⟨ἡ⟩ θήλεια τὴν μορφήν, ἐάν τε ἄρρεν ἐάν τε θῆλυ. εὐπέπτων δὲ μᾶλλον γενομένων τῶν καταμηνίων, κατὰ τὸν πατέρα γεννη-

10. 11 οὕτω φησί] „cf. Arist. ⟨hist. anim. H 4⟩ p. 585a12 ἐὰν δ' ἐγγὺς ἡ σύλληψις ἐγένετο, τὸ ἐπικυηθὲν ἐξήνεγκαν καὶ τίκτουσιν ὥσπερ δίδυμα˼ γόνῳ, καθάπερ καὶ τὸν Ἰφικλέα καὶ τὸν Ἡρακλέα μυθολογοῦσιν. γέγονε γὰρ καὶ τοῦτο φανερόν· μοιχευομένη γάρ τις τὸ μὲν τῶν τέκνων τῷ ἀνδρὶ ἐοικὸς ἔτεκε τὸ δὲ τῷ μοιχῷ. sed unde pleniora illa? unde quae sequuntur p. 35,4 (= p. 27,13)? ex Aristophanis puto epitoma (cum tota hac de didymotocia narratione). ceterum de episyllepsi cf. Arist. Pseud. p. 383. de Tricca Thessalica et Asclepii Triccaei medicina Strabo VIII, p. 374 Cas. cf. p. 360“ Rose
17 τὰς δὲ ὁμοιότητας] Arist. gener. anim. Δ 3 p. 767a36 αἱ δ' αὐταὶ αἰτίαι καὶ τοῦ τὰ μὲν ἐοικότα γίνεσθαι τοῖς τεκνώσασι, τὰ δὲ μὴ ἐοικότα, καὶ τὰ μὲν πατρί, τὰ δὲ μητρί
18 οἴεται] Arist. gener. anim. Δ 5 p. 774a2 ἔστι γὰρ τὰ καταμήνια σπέρμα ἄπεπτον
19 ὅταν μὲν οὖν] Arist. gener. anim. Δ 3 p. 767b15 εὐπέπτου μὲν γὰρ οὔσης τῆς περιττώσεως ἐν τοῖς καταμηνίοις τῆς σπερματικῆς, καθ' αὑτὴν ποιήσει τὴν μορφὴν ἡ τοῦ ἄρρενος κίνησις ... ὥστε κρατούσης μὲν ἄρρεν τε ποιήσει καὶ οὐ θῆλυ, καὶ ἐοικὸς τῷ γεννῶντι, ἀλλ' οὐ τῇ μητρί· μὴ κρατῆσαν δέ, καθ' ὁποίαν ἂν μὴ κρατήσῃ δύναμιν, τὴν ἔλλειψιν ποιεῖ κατ' αὐτήν. sed in epitome differentia insunt et pleniora quaedam, quae non Aristotelica esse videntur

1 σχίσιν Rose (ex Arist. gener. anim. Δ 4 p. 772b18 ἢ σχισθέντος τοῦ κυήματος πλείω γίνεσθαι): σχέσιν P 2 ἐκτεχθῇ scripsi: ἐκτεθῇ P 5 τὸ μὲν ἐκ scripsi: τὰ μὲν ἐκ P: τοῦ μὲν Rose 6 ὑπομεμενηκότος περὶ τὸν περίνεον Rose (cf. Arist. gener. anim. 1 4?): ὑπομιμνήσκοντος περὶ τὸν νέον P τὸ δὲ ἀπὸ κατενηνεγμένου scripsi: τοῦ δὲ ἐπικατενηνεγμένου P 10 δῆλον addidi γὰρ P: delevit Rose 11 Τρίκκην Sauppe: Τρίκην P 12 πλησιάσασαν Sauppe: πλησιασάσῃ P: πλησιασάντων Rose 13 σχίσιν Rose: σχέσιν P 16 μεριζομένου scripsi: μεριζόμενον P τρόφιμα P: γόνιμον proposuit Sauppe 19 ἄπεπτος scripsi: εὔπεπτος P 20 ἡ θήλεια scripsi: θήλειαν P 21 εὐπέπτων scripsi: ἀπέπτων P

θήσεται ἡ μορφή, ἐάν τε ἄρρεν ἐάν τε θῆλυ. ἐὰν δὲ ἀμφοτέρων πεπεμ- 35 μένων, ἄρρεν, ὅμοιον δὲ τῇ μητρί. ἐὰν δὲ ἀμφοτέρων ἀπέπτων, γενήσεται θῆλυ καὶ ὅμοιον τῷ πατρί.

(90) Τὰ δὲ τερατώδη καὶ πλεονάσαντα ἢ ἐλλείποντα τοῖς μορίοις οἷον δακτύλοις ἢ ποσὶν ἢ ἄλλοις παρὰ τὴν τῆς ὕλης γίνεται ἢ ἔλλειψιν ἢ πλεονασμόν. ἐὰν μὲν γὰρ πλείων ὑπάρχῃ ἡ ὕλη ἢ ὅσον δεῖ καθ' ἕκαστον μόριον, τοῦτο πλεονάσαν διπλοῦν ἢ τριπλοῦν γίνεται. ἐὰν δὲ ἧττον ἢ ἐλλεῖπον, κατὰ τοῦτο τὸ μόριον γίνεται ἐφ' οὗ καὶ ἐνέλιπεν ἡ ὕλη μορίου, οἷον χειρὸς ἢ δακτύλου ἢ τῶν ἄλλων, ὥστε τῇ ὕλῃ τῆς θηλείας τὴν αἰτίαν f.15r τῶν τεράτων ἀπολιπεῖν. (91) γίνεται δὲ ὡς ἐπὶ πολὺ ταῦτα | τοῖς πολυτόκοις τῶν ζῴων, διὸ μάλιστα ἐν ταῖς ἀλεκτορίσιν, ἧττον δὲ ἀνθρώπῳ· μονοτόκον γὰρ ὡς τὸ πολὺ ἡ γυνή· ⟨ἐπεὶ⟩ εἴ που πολυτόκοι ⟨αἱ⟩ γυναῖκες ὡς ἐν Αἰγύπτῳ, ἐκείναις τερατώδη ἐπιχωριάζει γίνεσθαι. (92) τέρατα δέ ἐστιν οὐ μόνον τὰ πλεονάζοντα ἢ ἐλλείποντα τοῖς ἐκτὸς μορίοις, ἀλλὰ καὶ τοῖς ἐντός. καὶ γὰρ δύο σπλῆνάς τινα ὦπται ἔχοντα καὶ ἕνα νεφρὸν καὶ δύο ἥπατα, ἀκάρδιον δὲ οὐδὲν ὦπται οὐδὲ δικάρδιον. τῶν δὲ ἐναίμων 36 ἤδη ὦπταί τινα τῶν ἐντὸς καὶ διηλλαγμένα σπλάγχνα ἔχοντα, οἷον σπλῆνα μὲν ἐν τοῖς δεξιοῖς, τὸ δὲ ἧπαρ ἐν τοῖς εὐωνύμοις.

(93) Βοᾶν δὲ οἴεται εὐθέως τὰ τικτόμενα κατὰ συστολὴν τῶν ἀγγείων καὶ κατὰ σπασμὸν διὰ τὴν τοῦ περιεσχηκότος αὐτὰ ἀέρος ψυχρότητα· ἐκ

---

4 τὰ δὲ τερατώδη] Arist. gener. anim. Δ 4 p. 772b13 τῶν δὲ πλεοναζόντων μορίων παρὰ φύσιν τὸ αὐτὸ αἴτιον καὶ τῆς διδυμοτοκίας. ἤδη γὰρ ἐν τοῖς κυήμασι συμβαίνει τὸ αἴτιον, ἐὰν πλείω ὕλην συστήσῃ ἢ κατὰ τὴν τοῦ μορίου φύσιν. τότε γὰρ συμβαίνει μὲν μόριον μεῖζον τῶν ἄλλων ἔχειν, οἷον δάκτυλον ἢ χεῖρα ἢ πόδα ἤ τι τῶν ἄλλων ἀκρωτηρίων ἢ μελῶν, ἢ σχισθέντος τοῦ κυήματος πλείω γίνεσθαι, καθάπερ ἐν τοῖς ποταμοῖς αἱ δῖναι. καὶ γὰρ ἐν τούτοις τὸ φερόμενον ὑγρὸν καὶ κίνησιν ἔχον ἂν ἀντικρούσῃ, δύο ἐξ ἑνὸς γίνονται συστάσεις, ἔχουσαι τὴν αὐτὴν κίνησιν· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν κυημάτων συμβαίνει. cf. p. 770a6. 770b28. 772b35 10 γίνεται] Arist. gener. anim. Δ 4 p. 770a7 διὸ καὶ γίνονται τὰ τοιαῦτα τῶν τεράτων ἐν μὲν τοῖς μονοτόκοις σπάνια πάμπαν, ἐν δὲ τοῖς πολυτόκοις μᾶλλον, καὶ μάλιστ' ἐν ὄρνισι, τῶν δ' ὀρνίθων ἐν ταῖς ἀλεκτορίσιν 11 ἧττον] Arist. gener. anim. Δ 4 p. 770a32 διὸ ἐν ἀνθρώπῳ ἧττον· ὡς γὰρ ἐπὶ τὸ πολὺ μονοτόκον ἐστὶ καὶ τελειογόνον, ἐπεὶ καὶ τούτων ἐν οἷς τόποις πολύγονοι αἱ γυναῖκές εἰσι, τοῦτο συμβαίνει μᾶλλον, οἷον περὶ Αἴγυπτον cf. hist. anim. H 4 p. 584b6 sqq. cf. Birt *de Halieuticis Ovidio falso adscriptis* p. 157 13 τέρατα] Arist. gener. anim. Δ 4 p. 770b37 γίνονται δὲ μεταβολαὶ καὶ πηρώσεις καὶ περὶ τὰ ἐντὸς μόρια, τῷ ἢ μὴ ἔχειν ἔνια ἢ κεκολοβωμένα ἔχειν καὶ πλείω καὶ μεθεστῶτα τοὺς τόπους. καρδίαν μὲν οὖν οὐθὲν πώποτε ἐγένετο ζῷον οὐκ ἔχον, σπλῆνα δ' οὐκ ἔχον, καὶ δύο ἔχον, καὶ νεφρὸν ἕνα· ἧπαρ δ' οὐκ ἔχον μὲν οὐθέν, οὐχ ὅλον δὲ ἔχον. cf. gener. anim. Δ 4 p. 773a8. part. anim. Γ 7 p. 669b34 16 τῶν δὲ ἐναίμων] Arist. gener. anim. Δ 4 p. 771a7 ἤδη δ' ἐγένετο καὶ μεθεστηκότα κατὰ τόπον, τὸ μὲν ἧπαρ ἐν τοῖς ἀριστεροῖς, ὁ δὲ σπλὴν ἐν τοῖς δεξιοῖς 19 βοᾶν] Arist. hist. anim. H 10 p. 587a27 ἐξελθόντα δ' εὐθὺς φθέγγεται 19 κατὰ συστολὴν] unde haec?

---

2 γενήσεται P: γεννήσεται Rose 11 ἀνθρώπῳ Rose: ἀνθρώπων P 12 ἐπεὶ addidit Rose πολυτόκοι αἱ Rose: πρωτότοκοι P 14 τοῖς ἐκτὸς P: τὰ τοῖς ἐκτὸς exhibet Rose ἀλλὰ Sauppe: ἀλλ' ἢ P 15 σπλῆνας Rose: πλῆνας P 17 διηλαγμένα P 20 αὐτὰ scripsi: αὐτὸ P

τε γὰρ θερμοῦ εἰς ψυχρὸν τὸ πᾶν ἀφῖκται, ἐκ τοῦ συνήθους εἰς ἀσυνήθη 36 καὶ εἰς σκληρὸν ἐκ μαλακοῦ.

(94) Τὸ δὲ γάλα τὸ γινόμενον ἐν ταῖς κυούσαις ἄχρηστον εἶναι οἴεται, ἐὰν μὴ ἑπταμηνιαῖον γένηται τὸ κύημα· καὶ τότε εὔτροφον τὸ γάλα. ἄριστον δὲ γάλα οἴεται εἶναι τὸ παχύτατον καὶ κιρρότατον, τὸ δὲ λεπτότατον καὶ λευκὸν ἀτροφώτατον· τὸ μὲν γὰρ λιπαρόν, τὸ δὲ ξηρόν. δῆλον δὲ ἐπὶ τῶν τυρῶν· οἱ γὰρ κιρροὶ καὶ λιπαροὶ καὶ τρόφιμοι, οἱ δὲ λευκοὶ ἄθρεπτοί εἰσιν, ὅθεν καὶ ἧττον τρόφιμοι.

(95) Λέγει δὲ ⟨παύεσθαι⟩ τὰ καταμήνια ταῖς γυναιξὶ περὶ τεσσαράκοντα γινομέναις ἔτη· ἐὰν δὲ ὑπερβάλῃ ταῦτα, παραμένει μέχρι τῶν πεντήκοντα. καὶ ἤδη τινὲς ἐκύησαν περὶ τὰ πεντήκοντα γεγονυῖαι ἔτη. οἱ δὲ ἄνδρες οἱ μὲν πλεῖστοι γεννῶσι μέχρις ἐτῶν ἑξήκοντα, ἤδη δέ τινες ἐγέννησαν γεγονότες ἑβδομηκονταετεῖς. (96) συμβαίνει δὲ καὶ ἄνδρας καὶ γυναῖκας συμβιοῦντας ἀλλήλοις μὴ τεκνοποιεῖν, μεταζευχθέντας δὲ γεννᾶν. ὀρεκτικώτεροι δὲ ἀλλήλων πρὸς τὰς συνουσίας εἰσὶν οἱ μὲν ἄνδρες χειμῶνος, αἱ δὲ θήλειαι θέρους.

(97) Καὶ περὶ μὲν γενέσεως ἐν ἐπιδρομῆς μέρει οὕτως. περὶ δὲ τῆς ἱστορίας καθολικώτερον ἐπιτρέχοντες οὕτως ἂν λέγοιμεν.

(98) Μόνη τῶν διπόδων γυνὴ ζῳοτοκεῖ τὰ δὲ ἄλλα δίποδα ᾠοτοκεῖ. μόνη ἡ γυνὴ τῶν ζῳοτόκων ὑπηνέμια τίκτει τὸν λεγόμενον Ὄσιριν ἐν |
f.15v Αἰγύπτῳ. μαρτυρεῖ δὲ Θεόφραστος λέγοντι Ἀριστοτέλει ἄνευ ὀχείας γίνεσθαι τὸν λεγόμενον Ὄσιριν ἐν τῷ πέμπτῳ τῶν Περὶ ζῴων. (99) μόνη γυνὴ ἠπιωτέρα καὶ πραοτέρα μετὰ τὸ τεκεῖν, τὰ δὲ ἄλλα ζῷα δεινὰ καὶ

---

3 τὸ δὲ γάλα] Arist. hist. anim. Η 5 p. 585a29 τὸ δὲ γάλα τὸ γινόμενον πρότερον τῶν ἑπτὰ μηνῶν ἄχρηστόν ἐστιν· ἀλλ' ἅμα τά τε παιδία γόνιμα καὶ τὸ γάλα χρήσιμον. cf. gener. anim. Δ 8 p. 776a23 5 ἄριστον] Aristoteles de lacte pluribus verbis in hist. anim. Γ 20 sqq. p. 521b17 disseruit, ex quibus conferenda sunt p. 523a9—12 cum hoc loco. sed quae pleniora hic leguntur unde sumpta sint non liquet 9 λέγει] Arist. hist. anim. Η 5 p. 585b2 παύεται δὲ ταῖς γυναιξὶ ταῖς μὲν πλείσταις τὰ καταμήνια περὶ τετταράκοντα ἔτη, αἷς δ' ἂν ὑπερβάλῃ τὸν χρόνον τοῦτον, διαμένει μέχρι τῶν πεντήκοντα ἐτῶν, καὶ ἤδη τινὲς ἔτεκον· πλείω δὲ χρόνον οὐδεμία. οἱ δ' ἄνδρες οἱ μὲν πλεῖστοι γεννῶσι μέχρι ἑξήκοντα ἐτῶν, ὅταν δ' ὑπερβάλῃ ταῦτα, μέχρι ἑβδομήκοντα· καὶ ἤδη τινὲς γεγεννήκασιν ἑβδομήκοντα ἐτῶν ὄντες 13 συμβαίνει] Arist. hist. anim. Η 6 p. 585b8 συμβαίνει δὲ πολλοῖς καὶ πολλαῖς γυναιξὶ καὶ ἀνδράσι μετ' ἀλλήλων μὲν συνεζευγμένοις μὴ δύνασθαι τεκνοποιεῖσθαι, διαζευχθεῖσι δέ 14 ὀρεκτικώτεροι] Arist. hist. anim. Ε 8 p. 542a32 ὀργᾷ δὲ πρὸς τὴν ὁμιλίαν τῶν ἀνθρώπων τὸ μὲν ἄρρεν ἐν τῷ χειμῶνι μᾶλλον, τὸ δὲ θῆλυ ἐν τῷ θέρει
18 μόνη] Arist. hist. anim. Ε 1 p. 539a14 ζῳοτόκα δ' ἐστὶ τῶν τετραπόδων ἔνια, καὶ ἄνθρωπος τῶν διπόδων μόνον 20 Ἀριστοτέλει] non extat locus 21. 22 μόνη γυνή] Arist. problem. Ι 35 p. 894b12 διὰ τί τῶν ζῴων τὰ μὲν χαλεπά ἐστι μετὰ τὸν τόκον, οἷον κύων καὶ ὗς, τὰ δὲ οὐδὲν ἐπιδήλως, οἷον γυνή, πρόβατον; ἢ ὅτι ὅσα μὲν περιττωματικὰ πραέα; ἀπέρχεται γὰρ ἐν τῷ τόκῳ τὰ λυποῦντα. cf. hist. anim. Ζ 4 p. 562b22

---

1 συνήθους (sic) P: στήθους Rose 2 σκληρὸν Rose: κληρὸν P 8 ἄθρεπτοί εἰσιν, ὅθεν Rose: ἀθρεπτεῖς· ὅθεν P τρόφιμοι Rose: τρόφιμον ut videtur P 9 παύεσθαι addidit Rose 10 γινομέναις ἔτη Rose: γινομένας ἔστι P 14 μεταζευχθέντας P: διαζευχθέντας ex Arist. supra cit. Sauppe ὀρεκτικώτεροι Sauppe (cf. p. 30, 13): ὀρεκτότεροι P 14. 15 ἀλλήλων Sauppe: ἀλλήλοις P 21 τῶν scripsi: τῷ P

δυσχερῆ καὶ ἀπρόσιτα. (100) μόνη γυνὴ κύουσα ὀχείαν ἐπιδέχεται, τὰ 37
δ' ἄλλα ζῷα οὐκέτι. (101) μόνη γυνὴ ἐπαμφοτερίζει· καὶ γὰρ μονοτόκος καὶ διδυμοτόκος καὶ πολυτόκος. (102) μόνη τὸν λεγόμενον μύλον τίκτει γυνή. τρὶς δὲ τεκοῦσα ἡ γυνὴ οὐκέτι αὔξεται. (103) ἡ γυνὴ πλείονα κάθαρσιν φέρει τῶν ἄλλων ζῴων. αἱ γλαυκαὶ τῶν γυναικῶν ὑγρότεραι, αἱ δὲ μέλαιναι ἧττονες. (104) αἱ ὕπανδροι κατακορεῖς πρὸς τὰ ἀφροδίσια, αἱ δὲ τρυφεραὶ ἧττονες. (105) ὅσαι τῶν γυναικῶν κύουσαι πλεονάκις μετ' ἀνδρὸς γίνονται, αὗται καὶ εὐμαρέστερον τίκτουσι.

(106) Μόνος ἄνθρωπος τῶν ζῴων νεῖν μανθάνει. μόνος ἄνθρωπος τὰ ὦτα οὐ κινεῖ, εἰ καὶ σπανιάκις ἐστὶ κίνησις. μόναι αἱ τρίχες τοῦ ἀνθρώπου μακρότεραι γίνονται τῶν ἄλλων ζῴων.

(107) Οἱ λευκοὶ καὶ λεῖοι τῶν ἀνθρώπων πολυγονώτεροι τῶν μελαντέρων. οἱ δασεῖς καὶ δασέα στήθη καὶ πλατέα ἔχοντες ὀρεκτικοὶ μᾶλλον πρὸς τὰς συνουσίας. οἱ γέροντες καὶ οἱ νέοι θηλυγόνοι ὡς ἐπὶ τὸ πολύ. οἱ τὰ στήθη ψιλὰ καὶ στενὰ ἔχοντες εὐαδίκητοι ὑπὸ τῶν συνουσιῶν. (108) τῶν κατακόρως συνουσιαζόντων ⟨αἷμα⟩ ἀπορρεῖ. (109) οἱ ἀραιοὺς

1 μόνη] Arist. hist. anim. H 4 p. 585 a 3 δέχεται δ' ὀχείαν κύοντα μάλιστα τῶν ζῴων γυνὴ καὶ ἵππος 2 μόνη] Arist. gener. anim. Δ 4 p. 772 a 37 ὁ δὲ ἄνθρωπος ἐπαμφοτερίζει πᾶσι τοῖς γένεσιν· καὶ γὰρ μονοτοκεῖ καὶ πολυτοκεῖ καὶ ὀλιγοτοκεῖ ποτε, μάλιστα δὲ μονοτόκον τὴν φύσιν ἐστί. cf. hist. anim. H 4 p. 584 b 27 3 μόνη] Arist. gener. anim. Δ 7 p. 775 b 27 τίκτουσι γὰρ ὃ καλοῦσι μύλην. cf. 776 a 13 4 τρὶς] Arist. hist. anim. H 1 p. 582 a 24 δοκεῖ γὰρ οὐδ' ἡ αὔξησις ἔτι γίνεσθαι μετὰ τοὺς τρεῖς τόκους ἡ γυνὴ] Arist. hist. anim. Z 18 p. 572 b 29 καθάρσεις δὲ γίνονται μὲν καταμηνίων, οὐ μὴν ὅσαι γε ταῖς γυναιξὶν οὐθενὶ τῶν ἄλλων ζῴων 5 αἱ γλαυκαὶ] Arist. hist. anim. H 2 p. 583 a 10 καὶ ἐν ταῖς ὁμιλίαις δὲ τῶν ἀφροδισίων αἱ λευκότεραι τὴν φύσιν ἐξικμάζουσι μᾶλλον τῶν μελαινῶν (v. l. μελάνων Aa Ca) 6 αἱ ὕπανδροι] unde haec? 7 ὅσαι] Arist. hist. anim. H 4 p. 584 a 30 αἱ δὲ πλησιάζουσαι πρὸ τῶν τόκων τοῖς ἀνδράσι θᾶττον τίκτουσιν 9 μόνος ἄνθρωπος] haec nova esse videntur μόνος] Arist. hist. anim. A 11 p. 492 a 22 ἀκίνητον δὲ τὸ οὖς ἄνθρωπος ἔχει μόνος τῶν ἐχόντων τοῦτο τὸ μόριον. cf. 28 10 εἰ καὶ] nova μόναι] Arist. part. anim. B 14 p. 658 b 2 τὴν δὲ κεφαλὴν ἄνθρωπός ἐστι τῶν ζῴων δασύτατον. cf. hist. anim. B 1 p. 498 b 18 12 οἱ λευκοὶ] Arist. hist. anim. H 2 p. 583 a 4 πλεῖστον γὰρ ὡς κατὰ τὸ μέγεθος ἀφίησι σπέρμα τῶν ἄλλων ζῴων ἄνθρωπος (διὸ καὶ λειότατον τῶν ζῴων ἐστὶν ἄνθρωπος), καὶ αὐτῶν δ' οἱ ὑγρότεροι τὰς φύσεις καὶ μὴ πολύσαρκοι λίαν, καὶ οἱ λευκότεροι δὲ τῶν μελάνων (v. l. πολύσαρκοι λεῖοι καὶ λευκότεροι τῶν Da) 13 οἱ δασεῖς] Arist. gener. anim. Δ 5 p. 774 b 1 τῶν ἀνθρώπων οἱ δασεῖς ἀφροδισιαστικοὶ καὶ πολύσπερμοι μᾶλλόν εἰσι τῶν λείων. cf. probl. Δ 31 p. 880 a 34 14 οἱ γέροντες] Arist. gener. anim. Δ 2 p. 766 b 29 τά τε γὰρ νέα θηλυτόκα μᾶλλον τῶν ἀκμαζόντων, καὶ γηράσκοντα μᾶλλον 15 οἱ τὰ στήθη] Arist. physiogn. 6 p. 812 b 17 οἱ τὰ στήθη ψιλὰ ἄγαν ἔχοντες ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας 16 τῶν κατακόρως] Arist. gener. anim. A 19 p. 726 b 7 ὅταν τις προσβιάζηται πλεονάκις χρώμενος τῷ ἀφροδισιάζειν, ἐνίοις αἱματῶδες ἤδη προελήλυθεν οἱ ἀραιοὺς] Arist. hist. anim. B 3 p. 501 b 22 ὅσοι δὲ πλείους ἔχουσι (ὀδόντας), μακροβιώτεροι ὡς ἐπὶ τὸ πολύ εἰσιν, οἱ δ' ἐλάττους καὶ ἀραιόδοντες ὡς ἐπὶ τὸ πολὺ βραχυβιώτεροι. cf. probl. I 48 p. 896 a 30

1 ὀχείαν scripsi: ὠχρίαν P 5 γλαυκαὶ P: desideres λευκαὶ (cf. Arist. supra cit.), sed cf. problem. I 11 p. 892 a 1 διὰ τί οἱ λευκοὶ ἄνθρωποι καὶ ἵπποι ὡς ἐπὶ τὸ πολὺ γλαυκοί; 6 μέλαιναι Sauppe: μέλανες P ἧττονες P: an ἧττον itemque v. 7? 15 στήθη (non στῆθα) P 16 αἷμα addidit Rose ἀραιοὺς Rose: ἀρεοὺς P

τοὺς ὀδόντας ἔχοντες καὶ ἐλάσσονας τῶν τριακονταδύο ὡς ἐπὶ πολὺ ὀλι- 37
γοχρόνιοι γίνονται. (110) μόνος ἄνθρωπος καὶ κύων ἐμεῖ. (111) τῶν
ἀνθρώπων ἡ καρδία κεῖται ὑπὸ τὸν ἀριστερὸν μαστόν, τοῖς δὲ ἄλλοις ζῴοις
ἐν μέσοις τοῖς στήθεσι. τοῦ ἀνθρώπου ἡ καρδία τρεῖς κοιλίας ἔχει, τῶν
ἄλλων ζῴων δύο. (112) μόνου τοῦ ἀνθρώπου μέλλοντος μεταλλάσσειν
οἱ ἐν τῇ κεφαλῇ φθεῖρες γίνονται. (113) μόνου τοῦ ἀνθρώπου τεθνη-
κότος αἱ τρίχες αὔξονται. μόνου τοῦ ἀνθρώπου ζῶντος ὁ ἐγκέφαλος
θιγγανόμενος ψυχρότατός ἐστι, τῶν δὲ ἄλλων ζῴων θερμός. (114) οὐδὲν
τῶν γαμψωνύχων ζῴων οὔτε πίνει οὔτε οὐρεῖ οὔτε συναγελάζεται.
(115) τὰ δὲ πλείονας ἔχοντα πόδας τῶν τεσσάρων ἄναιμά ἐστι καὶ
ἄσπλαγχνα πλὴν τοῦ κατοικιδίου κόρεως· οὗτος γὰρ μόνος πολύπους
f.16r ὑπάρχων αἷμα ἔχει. (116) τὰ ᾠοτοκοῦντα τῶν διπόδων | ἢ τετρα-
πόδων ἐντὸς ἔχει πρὸς τὴν ὀσφὺν τοὺς ὄρχεις, καθάπερ τῶν διπόδων 38
ἀλεκτρυών, τῶν δὲ τετραπόδων σαῦρος. (117) τὰ μακροσκελῆ ζῷα
ὑγροκοίλιά ἐστι, τὰ δὲ πιλώδη καὶ πλατέα τὰ στήθη ἔχοντα ἐμετικά.
(118) τὰ μώνυχα μονοτόκα ἐστὶ καὶ οὐκ ἐπικυΐσκεται.

---

2 μόνος] Arist. hist. anim. I 6 p. 612a5 καὶ αἱ κύνες δ' ὅταν τι πονῶσιν, ἔμετον ποιοῦνται φαγοῦσαί τινα πόαν. cf. 48 p. 632b10. Ael. nat. anim. IV 20 p. 87,21 H. V 46. VIII 9
3 ἡ καρδία] Arist. part. anim. Γ 4 p. 666b6 ἔστι δ' ἡ καρδία τοῖς μὲν ἄλλοις ζῴοις κατὰ μέσον τοῦ στηθικοῦ τόπου, τοῖς δ' ἀνθρώποις μικρὸν εἰς τὰ εὐώνυμα παρεκκλίνουσα. cf. Ael. nat. anim. IV 20 p. 87,22 H. 5 μόνου] Apoll. mirab. 27 Ἀριστοτέλης ἐν τοῖς Ζωϊκοῖς· (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν Περὶ ζῴων, ἡ δὲ Περὶ τῶν ζωϊκῶν), οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις μελλόντων τελευτᾶν τῶν πασχόντων, ἀλλ' ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται προλελοιπότες τὴν κεφαλήν 6 μόνου] Arist. gener. anim. B 6 p. 745a17 αὐξάνονται δ' αἱ τρίχες καὶ τεθνεώτων, οὐ μέντοι γίνονται γ' ἐξ ὑπαρχῆς 7 μόνου] aliter Arist. hist. anim. A 16 p. 495a4 ἄναιμος δ' ὁ ἐγκέφαλος ἅπασι, καὶ οὐδεμίαν ἔχων ἐν αὐτῷ φλέβα, καὶ θιγγανόμενος κατὰ φύσιν ψυχρός. cf. gener. anim. E 3 p. 783b28 8 οὐδὲν] Ael. IV 20 p. 87,24 H. γαμψώνυχον δὲ ἄρα οὐδὲ ἓν οὔτε πίνει οὔτε οὐρεῖ οὔτε μὴν συναγελάζεται ἑτέροις. cf. Arist. hist. anim. Θ 3 p. 593b29. 18 p. 601a32
10 τὰ δὲ πλείονας] Arist. hist. anim. E 31 p. 557a26 πάντα δὲ πολύποδα ταῦτ' ἐστί· καὶ ἄναιμα τὰ ἔντομα. cf. mot. anim. 16 p. 713a26 11 οὗτος] unde haec? Aristoteles quidem (hist. anim. E 31 p. 556b26 conl. 557a26) cimicem inter πολύποδα et ἄναιμα rettulit 12 τὰ ᾠοτοκοῦντα] Arist. gener. anim. A 3 p. 716b17 τὰ δ' ἔχει μὲν ὄρχεις, ἐντὸς δ' ἔχει τούτους πρὸς τῇ ὀσφύι κατὰ τὴν τῶν νεφρῶν χώραν ... οἷον οἵ τε ὄρνιθες πάντες καὶ τὰ ᾠοτοκοῦντα τετράποδα τῶν δεχομένων τὸν ἀέρα καὶ πλεύμονα ἐχόντων. καὶ γὰρ ταῦτα πάντα ἐντὸς ἔχει πρὸς τῇ ὀσφύι τοὺς ὄρχεις, καὶ δύο πόρους ἀπὸ τούτων ὁμοίως τοῖς ὄφεσιν, οἷον σαῦροι καὶ χελῶναι καὶ τὰ φολιδωτὰ πάντα 14 τὰ μακροσκελῆ] Arist. hist. anim. I 48 p. 632b10 ἔστι δὲ τὰ μὲν μακροσκελῆ τῶν ζῴων ὑγροκοίλια, τὰ δ' εὐρυστήθη ἐμετικὰ μᾶλλον 16 μώνυχα] Arist. gener. anim. Δ 4 p. 771b2 ὡς μὲν ἐπὶ τὸ πολὺ τὰ μὲν μώνυχα μονοτόκα. gener. anim. Δ 5 p. 773b1 τά τε γὰρ μώνυχα οὐκ ἐπικυΐσκεται καὶ τὰ τούτων μείζονα

---

1 ἐλάσσονας Rose: ἐλάσσονες P 2 ἐμεῖ Rose: νέμει P 4 ἐν μέσοις Rose: ἐνμέσως P 6 γίνονται Roseo suspectum. fortasse scribendum οὐ σίνονται
10 πλείονας Rose: πλείονα P 11 κόρεως Rose: κόρρεως P 15 ὑγροκοίλιά Rose: ὑγρόκοιλά P πιλώδη Rose: παλώδη P 16 μόνυχα P

(119) Οὐδὲν τῶν ἐντόμων ζῴων οὔτε σπλάγχνα ἔχει οὔτε ἀναπνεῖ. 38 (120) πάντα τὰ ἔντομα καὶ πάντα τὰ κολεόπτερα ἐλαίου αὐτοῖς ἐπιχεομένου ἀποθνήσκει, ὅθεν καὶ τῇ μελίσσῃ πολέμιοι, ὥσπερ εἶπον, οἱ μεμυρισμένοι. (121) τὰ πόδας μὴ ἔχοντα τῶν ζῴων οὔτε ὄρχεις ἔχει οὔτε αὐχένα οὔτε κύστιν οὔτε βλέφαρα, ὡς τὸ τῶν ὄφεων καὶ ἰχθύων πᾶν γένος. (122) τὰ ζῳοτοκοῦντα κύστιν ἔχει, τὰ δὲ ᾠοτοκοῦντα οὐκ ἔχει, διὸ οὐδὲ οὐρεῖ. (123) τὰ πιμελώδη ζῷα ἀγονώτερα. (124) ὅσα τρίχας ἔχει πάντα ζῳοτοκεῖ πλὴν τινων θαλασσίων οἷον δελφῖνος φώκης καὶ τῶν σελαχωδῶν· ταῦτα γὰρ τρίχας ⟨οὐκ⟩ ἔχοντα ὅμως [οὐ] ζῳοτοκεῖ. (125) οὐδὲν τῶν καρχαροδόντων ἔχει κέρας. (126) τὰ ἄρσενα τῶν θηλειῶν ἐνίοτε πλείους ἔχει ὀδόντας. (127) οὐδεὶς ἰχθὺς λαλεῖ, μόνος δὲ

1 οὐδὲν] Arist. de spir. 9 p. 475a29 ὅτι δ' οὐκ ἀναπνεῖ τὰ ἔντομα τῶν ζῴων, εἴρηται μὲν καὶ πρότερον. cf. hist. anim. Δ 9 p. 535b5 σπλάγχνα] Arist. hist. anim. Δ 7 p. 532b7 σπλάγχνον δ' οὐδὲν ἔχει τῶν τοιούτων οὐδὲ πιμελήν, ὥσπερ οὐδ' ἄλλο τῶν ἀναίμων οὐδέν 2 πάντα] Arist. hist. anim. Θ 27 p. 605b19 πάντα δὲ τὰ ἔντομα ἀποθνήσκει ἐλαιούμενα· τάχιστα δ', ἄν τις τὴν κεφαλὴν ἀλείψας ἐν τῷ ἡλίῳ θῇ 4 τὰ πόδας μὴ ἔχοντα] Arist. part. anim. Δ 13 p. 697a9 ὄρχεις δ' οὐδεὶς ἔχει ἰχθὺς οὔτ' ἐκτὸς οὔτ' ἐντός, οὐδ' ἄλλο τι τῶν ἀπόδων οὐδέν, διὸ οὐδ' οἱ ὄφεις. πόρον δὲ τοῦ περιττώματος καὶ τῶν περὶ τὴν γένεσιν τὸν αὐτόν, καθάπερ καὶ τἆλλα ᾠοτόκα πάντα καὶ τετράποδα, διὰ τὸ μὴ ἔχειν κύστιν μηδὲ γίνεσθαι περίττωμ' αὐτοῖς ὑγρόν. cf. 1 p. 676a22. part. anim. Γ 3 p. 664a19 διὸ τὰ μὴ ἔχοντα πλεύμονα οὐκ ἔχουσιν οὐδ' αὐχένα, οἷον τὸ τῶν ἰχθύων γένος. Δ 11 p. 691b29 ἥκιστα τῶν τοιούτων ὁ ὄφις δόξειεν ἂν ἔχειν αὐχένα, ἀλλὰ τὸ ἀνάλογον τῷ αὐχένι. B 13 p. 657b29 οἱ δ' ἰχθύες καὶ τὰ ἔντομα καὶ τὰ σκληρόδερμα διαφέροντα μὲν ἔχουσι τὰ ὄμματα, βλέφαρον δ' οὐδὲν αὐτῶν ἔχει 6 τὰ ζῳοτοκοῦντα] Arist. hist. anim. B 16 p. 506b24 νεφροὺς δὲ καὶ κύστιν τὰ μὲν ζῳοτόκα τῶν τετραπόδων πάντ' ἔχει· ὅσα δὲ ᾠοτοκεῖ, τῶν μὲν ἄλλων οὐθὲν ἔχει 7 τὰ πιμελώδη] Arist. hist. anim. Γ 18 p. 520b6 ἔστι δ' ἀγονώτερα τὰ πιμελώδη καὶ ἄρρενα καὶ θήλεα ὅσα τρίχας ἔχει] Arist. gener. anim. A 9 p. 718b27 ἔχει δὲ καὶ τὰ ζῳοτοκοῦντα πρὸς ἄλληλα διαφοράν. τὰ μὲν γὰρ οὐ μόνον θύραζε ζῳοτοκεῖ ἀλλὰ καὶ ἐν αὑτοῖς, οἷον ἄνθρωποί τε καὶ ἵπποι καὶ κύνες καὶ πάντα τὰ τρίχας ἔχοντα, καὶ τῶν ἐνύδρων δελφῖνές τε καὶ φάλαιναι καὶ τὰ τοιαῦτα κήτη. τὰ δὲ σελάχη καὶ οἱ ἔχεις θύραζε μὲν ζῳοτοκοῦσιν, ἐν αὑτοῖς δ' ᾠοτοκοῦσι πρῶτον. cf. hist. anim. A 5 p. 489a35 ζῳοτόκα μὲν οἷον ἄνθρωπος καὶ ἵππος καὶ φώκη καὶ τὰ ἄλλα ὅσα ἔχει τρίχας, καὶ τῶν ἐνύδρων τὰ κητώδη, οἷον δελφίς, καὶ τὰ καλούμενα σελάχη cf. ibid. Γ 10 p. 517b4 τρίχας μὲν ἔχει τῶν ζῴων ὅσα πεζὰ καὶ ζῳοτόκα 10 οὐδὲν τῶν καρχαροδόντων] Arist. hist. anim. B 1 p. 501a19 ἅμα δὲ χαυλιόδοντα καὶ κέρας οὐδὲν ἔχει ζῷον, οὐδὲ καρχαρόδουν καὶ τούτων θάτερον τὰ ἄρσενα] Arist. hist. anim. B 3 p. 501b19 ἔχουσι δὲ πλείους οἱ ἄρρενες τῶν θηλειῶν ὀδόντας καὶ ἐν ἀνθρώποις καὶ ἐπὶ προβάτων καὶ αἰγῶν καὶ ὑῶν· ἐπὶ δὲ τῶν ἄλλων οὐ τεθεώρηταί πω 11 οὐδεὶς] Arist. hist. anim. Δ 9 p. 535b14 οἱ δ' ἰχθύες ἄφωνοι μέν εἰσιν (οὔτε γὰρ πνεύμονα οὔτε ἀρτηρίαν καὶ φάρυγγα ἔχουσι), ψόφους δέ τινας ἀφιᾶσι καὶ τριγμοὺς οὓς λέγουσι φωνεῖν. Athen. VIII 331d Μνασέας δ' ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ τοὺς ἐν τῷ Κλείτορι ποταμῷ φησὶν ἰχθῦς φθέγγεσθαι, καίτοι μόνους εἰρηκότος Ἀριστοτέλους φθέγγεσθαι σκάρον καὶ τὸν ποτάμιον χοῖρον. Rose Arist. Pseudepigr. p. 297

1 σπλάγχνα scripsi cf. Arist. supra cit.: σπλῆνα P 2 κολεόπτερα Rose: κολοιόπτερα P 3 ὥσπερ εἶπον] supra § 37 3. 4 μεμυρισμένοι Rose: μεμερισμένοι P 7 ἀγονώτερα Rose: ἀπονώτερα P fortasse scribendum ὅσα ζῳοτοκεῖ τρίχας ἔχει πάντα 8 οἷον δελφῖνος scripsi: πλὴν δελφῖνος P: δελφῖνος Rose 9 τρίχας οὐκ ἔχοντα ὅμως ζῳοτοκεῖ scripsi ex Arist. l. c.: τρίχας ἔχοντα ὅμως οὐ ζωοτοκεῖ P

ὁ λεγόμενος σκάρος καὶ ὁ ποτάμιος χοῖρος. (128) τὰ μηρυκίζοντα πάντα 38 ζῷα τέσσαρας ἔχει κοιλίας, ὧν τὸ μὲν ἐκ τοῦ στόματος ἠρτημένον κοιλία καλεῖται, ἐκ δὲ τούτου ὁ καλούμενος κεκρύφαλος ἤρτηται, ἐχόμενος δὲ καθεῖται ὁ προσαγορευόμενος ἐχῖνος, μετὰ δὲ τοῦτον τὸ πρός τινων ἤνυστρον καλούμενον· ἀκριβέστερον δὲ ἐν τῷ δευτέρῳ ἐκθήσομαι. (129) τὰ μηρυκίζοντα ζῷα πυτίαν ἔχει, τὰ δὲ ἄλλα οὐκ ἔχει· τί δέ ἐστι καὶ ποῦ κεῖται καὶ τίνος χάριν ἐν τῷ δευτέρῳ διασαφήσω. (130) τὰ μὴ πετόμενα τῶν ὀρνέων ταῦτα καὶ ὑπηνέμια τίκτει. (131) οὐδὲν τῶν ἀμφοδόντων ἐν τῇ μήτρᾳ κοτυληδόνας ἔχει, ὅθεν οὐδὲ ἄνθρωπος. (132) τὰ ἄναιμα ζῷα πολὺν χρόνον ὀχεύει· ψυχρὰ γάρ ἐστι. (133) μόνος τῶν ὀστρακοδέρμων ὦπται συνδυαζόμενος ὁ κοχλίας· τὰ γὰρ ἄλλα τὰς ὀχείας καὶ τὰς γενέσεις ἐξ ἰλύος ἔχει. (134) ὁ πῶλυψ δύο κοτυληδόνας ἔχει, ἡ δὲ ἐλεδώνη μονοκότυλός ἐστι. (135) τὰ διχηλὰ πάντα ἀστραγάλους 39

1 τὰ μηρυκίζοντα] Arist. hist. anim. B 17 p. 507a34 πρῶτον μὲν γὰρ τῶν τετραπόδων καὶ ζῳοτόκων ὅσα μή ἐστιν ἀμφώδοντα τῶν κερατοφόρων τέτταρας ἔχει τοὺς τοιούτους πόρους· ἃ δὴ καὶ λέγεται μηρυκάζειν. διήκει γὰρ ὁ μὲν στόμαχος ἀπὸ τοῦ στόματος ἀρξάμενος ἐπὶ τὰ κάτω παρὰ τὸν πλεύμονα, ἀπὸ τοῦ διαζώματος ἐπὶ τὴν κοιλίαν τὴν μεγάλην· αὕτη δ' ἐστὶ τὰ ἔσω τραχεῖα καὶ διειλημμένη. συνήρτηται δ' αὐτῇ πλησίον τῆς τοῦ στομάχου προσβολῆς ὁ καλούμενος κεκρύφαλος ἀπὸ τῆς ὄψεως· ἔστι γὰρ τὰ μὲν ἔξωθεν ὅμοιος τῇ κοιλίᾳ, τὰ δ' ἐντὸς ὅμοιος τοῖς πλεκτοῖς κεκρυφάλοις· μεγέθει δὲ πολὺ ἐλάττων ἐστὶν ὁ κεκρύφαλος τῆς κοιλίας. τούτου δ' ἔχεται ὁ ἐχῖνος, τὰ ἐντὸς ὢν τραχὺς καὶ πλακώδης, τὸ δὲ μέγεθος παραπλήσιος τῷ κεκρυφάλῳ. μετὰ δὲ τοῦτον τὸ καλούμενον ἤνυστρόν ἐστι, τῷ μὲν μεγέθει τοῦ ἐχίνου μεῖζον, τὸ δὲ σχῆμα προμηκέστερον· ἔχει δ' ἐντὸς πλάκας πολλὰς καὶ μεγάλας καὶ λείας 6 πυτίαν] Arist. hist. anim. Γ 21 p. 522b8 ἔχει δὲ πυετίαν τὰ μὲν μηρυκάζοντα πάντα, τῶν δ' ἀμφωδόντων δασύπους 7. 8 τὰ μὴ πετόμενα] Arist. hist. anim. Z 1 p. 558b30 τίκτουσι δὲ τὰ μὲν ἄλλα ἐν νεοττιαῖς, τὰ δὲ μὴ πτητικὰ οὐκ ἐν νεοττιαῖς, οἷον αἵ τε πέρδικες καὶ οἱ ὄρτυγες, ἀλλ' ἐν τῇ γῇ, ἐπηλυγαζόμενα ὕλην. ὡσαύτως δὲ καὶ κόρυδος καὶ τέτριξ. ταῦτα μὲν οὖν ὑπηνέμους ποιεῖται τὰς νεοττεύσεις 8 οὐδὲν] Arist. gener. anim. B 7 p. 745b30 τὰ μὲν οὖν μὴ ἀμφώδοντα πάντα καὶ τῶν ἀμφωδόντων ὅσων ἡ ὑστέρα μὴ μίαν φλέβα μεγάλην ἔχει διατείνουσαν ἀλλ' ἀντὶ μιᾶς πυκνὰς πολλάς, ταῦτα ἐν ταῖς ὑστέραις ἔχει τὰς καλουμένας κοτυληδόνας 9. 10 τὰ ἄναιμα] Arist. gener. anim. Γ 8 p. 758a3 γίνεται δὲ ὁ συνδυασμὸς τούτων (τῶν μαλακίων) χρονιώτερος πάντων, ὥσπερ τῶν ἐντόμων, εὐλόγως· ἄναιμα γάρ ἐστι, διόπερ ψυχρὰ τὴν φύσιν 10 μόνος] Arist. gener. anim. Γ 11 p. 762a27 ἐν δὲ τῇ θαλάττῃ πολὺ τὸ γεῶδες ἔνεστιν· διόπερ ἐκ τῆς τοιαύτης συστάσεως ἡ τῶν ὀστρακοδέρμων γίνεται φύσις . . . μόνον δὲ τῶν τοιούτων συνδυαζόμενον ἑώραται τὸ τῶν κοχλιῶν γένος. εἰ δ' ἐκ τοῦ συνδυασμοῦ ἡ γένεσις αὐτῶν ἐστιν ἢ μή, οὔπω συνῶπται ἱκανῶς. cf. hist. anim. E 15 p. 546b16 12 ὁ πῶλυψ] Arist. hist. anim. Δ 1 p. 525a13 ἔστι δὲ γένη πλείω πολυπόδων . . . ἥ τε καλουμένη ἐλεδώνη, μήκει τε διαφέρουσα τῷ τῶν ποδῶν καὶ τῷ μονοκότυλον εἶναι μόνην τῶν μαλακίων 13 τὰ δίχηλα] Arist. part. anim. Δ 10 p. 690a21 τὰ δὲ διχηλὰ ἔχει ἀστράγαλον (κουφότερα γὰρ τὰ ὄπισθεν) . . . τὰ δὲ πολυδάκτυλα οὐκ ἔχει ἀστράγαλον

1 μηρυκίζοντα Rose: μυρικίζοντα P 4 καθεῖται scripsi: καλεῖται P: κεκρυφάλου ἐστὶν Sauppe τοῦτον Rose: τούτου P ἤνυστρον Rose: ἤναστρον P 5. 6 μυρικίζοντα P 6 πυτίαν Rose: πιτύαν P 9 ἔχει (non ἴσχει) P 10 μόνος Rose: ὄνος (M, ut rubro scribatur, omisso) P 12 πῶλυψ Rose: πόλυψ P δύο κοτυληδόνας Rose: δυσηρτυλϊδόνας P 13 ἡ δὲ ἐλεδώνη μονοκότυλός Rose: ἡ δὲ χελιδὼν μονοκοτύλϊδός P

ἔχει ἐν τοῖς ὀπισθίοις ποσί, τὰ δὲ ἄλλα οὐκ ἔχει. (136) τὰ ὀστρακό- 39
f.16v δερμα πάντα δεξιά ἐστι, καθάπερ κήρυκες πορφύραι, | καὶ κινεῖται οὐκ ἐπὶ τὴν ἕλικα ἀλλ' ἐπὶ τὸ καταντικρύ. (137) ἐχῖνοι ⟨οἱ⟩ θαλάττιοι εὐθέως γεννώμενοι πέντε ᾠὰ ἔχουσι· λέγεται δὲ ὡς διαιρούμενος κατὰ μέρος καὶ ἀφιόμενος εἰς τὴν θάλασσαν δύναται ζῆν καὶ νέμεσθαι. (138) μόνος τῶν ζῴων ὁ τέττιξ στόμα οὐκ ἔχει, ἀλλ' ἐξοχήν τινα γλωσσοειδῆ, ᾗ ἀναλαμβάνων τὴν δρόσον τρέφεται· λέγεται δὲ ὡς οὐδὲ περίττωμα ἔχει. (139) αἱ ἀκρίδες οὐ φθέγγονται τῷ στόματι, τὰ δὲ πτερὰ παρατρίβουσαι ψόφον ἀποτελοῦσι. (140) τῶν ἐνύδρων τὰ θήλεα τῶν ἀρρένων μείζονά ἐστι. (141) τῶν πτηνῶν αἱ αἴθυιαι καὶ ὁ χαραδριὸς κωφά ἐστιν· οὔτε γὰρ φθέγγεται οὔτε ἀκούει. (142) μόνος ὁ ὄφις τὴν κεφαλὴν εἰς τὰ ὀπίσω στρέφει τοῦ ὅλου σώματος ἀκινητίζοντος. (143) μόνη ἡ πάρδαλις τὸ ἄκρον τῆς οὐρᾶς κινεῖ τῆς ὅλης οὐρᾶς ἀκινητιζούσης. (144) ἡ ἔχις μόνη τῶν ὄφεων ζῳοτοκεῖ. (145) τὰ μέλανα ζῷα τῶν λευκῶν ἰσχυρότερά ἐστι. (146) τὰ ἄναιμα τῶν ζῴων διαιρούμενα μᾶλλον τῶν ἐναίμων

---

1. 2 τὰ ὀστρακόδερμα] Arist. mot. anim. 5 p. 706a13 τὰ στρομβώδη τῶν ὀστρακοδέρμων δεξιὰ πάντ' ἐστίν. οὐ γὰρ ἐπὶ τὴν ἑλίκην κινεῖται, ἀλλ' ἐπὶ τὸ καταντικρὺ πάντα προέρχεται, οἷον πορφύραι καὶ κήρυκες 3 ἐχῖνοι] Arist. hist. anim. Δ 5 p. 530a34 ἔστι δὲ γένη πλείω τῶν ἐχίνων, ἓν μὲν τὸ ἐσθιόμενον· τοῦτο δ' ἐστὶν ἐν ᾧ τὰ καλούμενα ᾠὰ μεγάλα ἐγγίνεται καὶ ἐδώδιμα, ὁμοίως ἐν μείζοσι καὶ ἐλάττοσιν· καὶ γὰρ εὐθὺς ἔτι μικροὶ ὄντες ἔχουσι ταῦτα. 5 p. 530b29 ὑπὸ δὲ τὴν κοιλίαν ἐν ἄλλῳ ὑμένι τὰ καλούμενα ᾠά ἐστιν, ἴσα τὸν ἀριθμὸν ὄντα ἐν πᾶσιν· πέντε γάρ ἐστι τὸ πλῆθος καὶ περιττά. cf. p. 530a29 4 λέγεται] Ael. nat. anim. IX 47 p. 235,7 H. τοὺς ἐχίνους ἔτι ζῶντας καὶ ἐν τοῖς ὀστράκοις ὄντας καὶ προβεβλημένους τὰ κέντρα εἴ τις συντρίψας καὶ διαρρίψας ἐς τὴν θάλατταν ἄλλο ἄλλῃ τρύφος καταλίποι, τὰ δὲ ἄρα συνέρχεται αὖθις καὶ ἑνοῦται καὶ τὸ συγγενὲς θρύμμα ἀνέγνω, καὶ προσπλακέντα συνέφυ. καὶ ὁλόκληροι γίνονται φύσει τινὶ θαυμαστῇ καὶ ἰδίᾳ αὖθις. cf. Opp. Hal. I 318 5 μόνος] Arist. hist. anim. Δ 7 p. 532b10 ὁ δὲ τέττιξ μόνον τῶν τοιούτων καὶ τῶν ἄλλων ζῴων στόμα οὐκ ἔχει, ἀλλ' οἷον τοῖς ὀπισθοκέντροις τὸ γλωττοειδές, τοῦτο μακρὸν καὶ συμφυὲς καὶ ἀδιάσχιστον, δι' οὗ τῇ δρόσῳ τρέφεται μόνον· ἐν δὲ τῇ κοιλίᾳ οὐκ ἴσχει περίττωμα 8 αἱ ἀκρίδες] Arist. hist. anim. Δ 9 p. 535b11 αἱ δ' ἀκρίδες τοῖς πηδαλίοις τρίβουσαι ποιοῦσι τὸν ψόφον 9 τῶν ἐνύδρων] Arist. hist. anim. Δ 11 p. 538a25 ἐν δὲ τοῖς ᾠοτόκοις καὶ τοῖς σκωληκοτόκοις, οἷον ἔν τε τοῖς ἰχθύσι καὶ ἐπὶ τῶν ἐντόμων μείζω τὰ θήλεα τῶν ἀρρένων ἐστίν 10 τῶν πτηνῶν] unde haec? aliter Arist. hist. anim. I 1 p. 615a1 ἔστι δ' ὁ χαραδριὸς καὶ τὴν χρόαν καὶ τὴν φωνὴν φαῦλος 11 μόνος] Arist. hist. anim. Δ 11 p. 691b31 ἴδιον δὲ πρὸς τὰ συγγενῆ τῶν ζῴων ὑπάρχει τοῖς ὄφεσι τὸ στρέφειν τὴν κεφαλὴν εἰς τοὔπισθεν ἠρεμοῦντος τοῦ λοιποῦ σώματος. cf. B 12 p. 504a16 12 μόνη] cf. B § 251 13 ἡ ἔχις] Arist. hist. A 6 p. 490b24 οἱ μὲν ἄλλοι ᾠοτοκοῦσιν ὄφεις, ἡ δ' ἔχιδνα μόνον ζῳοτοκεῖ 14 τὰ μέλανα] Arist. de color. p. 798b1 τὰ πλεῖστα τῶν ζῴων ἀσθενέστερα γίνεται τὰ λευκὰ τῶν μελάνων 15 τὰ ἄναιμα] Arist. mot. anim. 7 p. 707a24 τῶν μὲν γὰρ ἐναίμων οὐδὲν εἰς πλείω διαιρούμενον δύναται ζῆν οὐθένα χρόνον ὡς εἰπεῖν ... τῶν δ' ἀναίμων τε καὶ πολυπόδων ἔνια διαιρούμενα δύναται ζῆν πολὺν χρόνον ἑκάστῳ τῶν μερῶν καὶ κινεῖσθαι τὴν αὐτὴν ἥνπερ καὶ πρὶν διαιρεθῆναι κίνησιν

---

2 κήρυκες πορφύραι P: κήρυκες καὶ πορφύραι Sauppe 3 τὴν ἕλικα Sauppe: τὸν ἕλικα P: τὸν ἕλικα Rose ἐπὶ τὸ Rose: ἐπὶ τὸν P οἱ addidit Rose 10 αἴθυαι P 10. 11 οὔτε γὰρ P: οὐδὲ γὰρ exhibet Rose 15 ἄναιμα Rose: ἔναιμα P

ζῇ. (147) τὰ βλητικὰ τῶν ζῴων οὐ διὰ τὸ ἀφιέναι τι διὰ τοῦ κέντρου 39 τὴν ὀδύνην παρέχει ἀλλὰ διὰ τὴν λεπτότητα τοῦ κέντρου, ὅθεν καὶ τὰ μάλιστα λεπτοὺς ἔχοντα τοὺς ὀδόντας ταῦτα καὶ τὴν ὀδύνην χαλεπωτέραν ποιεῖ. (148) τὰ μαλάκια πάντα πᾶσαν ὥραν ὀχεύει ἀλλ' οὐχ ἑστῶτας τοὺς καιροὺς τῆς ὀχείας ἔχει, καθάπερ [καὶ] οἱ ἰχθύες. (149) τῶν ἰχθύων οἱ μὲν ᾠοτοκοῦντες τῷ ἔαρι λιπαροί, οἱ δὲ ζῳοτοκοῦντες τὸ μετόπωρον. (150) οὐδέποτε ὀστρακόδερμον ἢ μαλάκιον ἐν τῷ Πόντῳ γίνεται, λέγεται δὲ ὡς οὐδὲ θηρίον τῶν δυναμένων ἀδικεῖν τοὺς ἰχθῦς. (151) τὰ λεπίδας ἔχοντα ᾠοτοκεῖ. (152) μόνη χελώνη τῶν ᾠοτοκούντων κύστιν ἔχει. (153) οὐδὲν τῶν ὀστρακοδέρμων οὔτε θῆλύ ἐστιν οὔτε ἄρρεν. (154) τῶν ἐντόμων ἐν τῇ ὀχείᾳ τὸ θῆλυ εἰς τὸ ἄρρεν ἐνίησι τὸ αἰδοῖον εἰς τὸ ἀναλογοῦν τῷ αἰδοίῳ.

(155) Ὅσα μὲν οὖν δυνατὸν ἀναλεξάμενον ὡς ἐν ἐπιδρομῆς μέρει 40 καθολικώτερον εἰπεῖν σχεδὸν εἴρηται. ἐν δὲ τῷ ἐχομένῳ, ὡς προεῖπον, κατ' εἶδος ἑκάστου ζῴου τάς τε πράξεις καὶ τοὺς βίους, ἔτι δὲ τὰ ἤθη καὶ πόσα δύναται ἕκαστον ζῆν ἔτη ἀναγραφῆς ἀξιώσας ἀναθήσομαί σοι: —

## ⟨B⟩

(1) Ἐν τῇδε τῇ συντάξει, τὸν ἀριθμὸν οὔσῃ δευτέρᾳ, πειράσομαι, f. 335r προγράφων περὶ οὗ ἐστιν ὁ λόγος ζῴου ὄνομα, προσυποτάσσειν τούτῳ ὅσα τὸ προταχθὲν ζῷον μόρια κέκτηται, εἶτα περὶ τῆς ὀχείας αὐτοῦ καὶ πόσους

---

1 τὰ βλητικὰ] ex Aristotele haec non sumpta sunt. ex Theophrasti Zoicis sumpto putat Sauppe, cum βλητικὸς Aristotelicum non sit, sed ex illius Zoicis citetur ab Athen. VII p. 314 B cf. Laert. Diogen. V 43 et Ael. N. A. III 32 4 τὰ μαλάκια] unde haec? cf. Arist. gener. anim. Γ 8 p. 757b31 sqq. 5. 6 τῶν ἰχθύων] Arist. hist. anim. I 37 p. 621b19 ἀκμάζουσι δὲ τῶν ἰχθύων οἱ μὲν ᾠοφόροι τοῦ ἔαρος, μέχρι οὗ ἂν ἐκτέκωσιν, οἱ δὲ ζῳοτόκοι τοῦ μετοπώρου 7 οὐδέποτε] Arist. hist. anim. Θ 28 p. 606a10 καὶ ἐν μὲν τῷ Πόντῳ οὔτε τὰ μαλάκια γίνεται οὔτε τὰ ὀστρακόδερμα, εἰ μὴ ἔν τισι τόποις ὀλίγα 8 λέγεται] Arist. hist. anim. Θ 13 p. 598b1 ἔξω γὰρ δελφῖνος καὶ φωκαίνης οὐδέν ἐστιν ἐν τῷ Πόντῳ. cf. supra § 38 cum adnotatis 8. 9 τὰ λεπίδας ἔχοντα] Arist. hist. anim. B 13 p. 505b2 εἰσὶ δ' αὐτῶν (τῶν ἰχθύων) οἱ μὲν ᾠοτόκοι, οἱ δὲ ζῳοτόκοι, οἱ μὲν λεπιδωτοὶ πάντες ᾠοτόκοι, τὰ δὲ σελάχη πάντα ζῳοτόκα πλὴν βατράχου 9 μόνη] Arist. hist. anim. Γ 15 p. 519b14 ἔχει δὲ κύστιν οὐ πάντα, ἀλλὰ τὰ μὲν ζῳοτόκα πάντα, τῶν δ' ᾠοτόκων ἡ χελώνη μόνον. cf. gener. anim. A 13 p. 720a5 10 οὐδὲν] Arist. hist. anim. Δ 11 p. 537b24 ἔστι δ' οὐθὲν ἄρρεν καὶ θῆλυ ἐν τοῖς μονίμοις, οὐδ' ὅλως ἐν τοῖς ὀστρακοδέρμοις. cf. gener. anim. A 23 p. 731b8—14 11 τῶν ἐντόμων] Arist. hist. anim. E 8 p. 541b34 τὰ δ' ἔντομα συνέρχεται μὲν ὄπισθεν, εἶτ' ἐπιβαίνει τὸ ἔλαττον ἐπὶ τὸ μεῖζον· τοῦτο δ' ἐστὶ τὸ ἄρρεν. ἐναφίησι δὲ τὸν πόρον κάτωθεν τὸ θῆλυ εἰς τὸ ἄρρεν τὸ ἐπάνω, ἀλλ' οὐ τὸ ἄρρεν εἰς τὸ θῆλυ, ὥσπερ ἐπὶ τῶν ἄλλων

---

5 καὶ delevit Schöne 9 χελόνη P 15 ἔτι δὲ τὰ ἤθη Rose: ἔτη δὲ τὰ ἔθη P 14 ὡς προεῖπον] supra § 53 17 B addidi 20 προταχθὲν scripsi: προταθὲν D

κύειν δύναται μῆνας, περί τε τῆς ἐκτέξεως ποῖα καὶ πόσα ὑπομένει τίκτειν βρέφη· ἐπὶ πᾶσι δὲ τίς ὁ βίος τοῦ προγραφέντος ζῴου καὶ ποῖον τὸ ἦθος καὶ πόσα δύναται ζῆν ἔτη. τοῦτο δὲ ἐπειράσθην ποιῆσαι, ἵνα μὴ διῃρημένην ἐν πολλοῖς τὴν ὑπὸ Ἀριστοτέλους περὶ ζῴων πραγματείαν ἐπιπορεύῃ, συνηγμένην δὲ ὁμοῦ πᾶσαν τὴν ἐφ' ἑνὶ ἑκάστῳ ζῴῳ ἱστορίαν ἔχῃς.

(2) Ἐπεὶ οὖν ἃ μὲν τῶν ζῴων ζῳοτοκεῖ, ἃ δὲ ᾠοτοκεῖ, ἃ δὲ σκωληκοτοκεῖ, πειράσομαι μὲν ἐν τούτῳ περὶ μόνων τῶν ζῳοτοκούντων τὸν λόγον ποιήσασθαι, ἀρξάμενος ἀπὸ τῶν πολυσχιδῶν, ἐχομένως δὲ περὶ τῶν διχηλῶν, εἶτα περὶ τῶν μωνύχων, ἐπὶ πᾶσι δὲ δηλώσω καὶ περὶ τῶν σελαχωδῶν λεγομένων ἰχθύων, ἐπειδὴ καὶ αὐτοὶ δοκοῦσι ζῳοτοκεῖν, ἀλλ' οὐκ ᾠοτοκεῖν. (3) ἐν δὲ ταῖς ἐχομέναις ταύτῃ δυσὶ συντάξεσι περὶ τῶν ᾠοτοκούντων ὁμοιοειδῶς τούτοις τὸν λόγον ποιήσομαι, τὴν ἀρχὴν λαβὼν ἀπὸ τῶν ἐνύδρων, τὸ δὲ [περὶ] τῶν σκωληκοτοκούντων εἶδος ὡς λεπτὸν καὶ ἀσθενὲς καὶ οὐκ ἄξιον ἱστορίας παραιτήσομαι.

(4) Ἐπειδὴ δὲ ὁ ἄνθρωπος περιττότερος τῶν ἄλλων ζῴων ὑπάρχει καὶ ἔστι πολυσχιδής, ἀρκτέον ἀπὸ τούτου. (5) ὁ μὲν οὖν Ἀριστοτέλης χάριν τοῦ μηδὲν παριδεῖν ἐπὶ πολὺ περὶ τούτου ἐν τῷ πρώτῳ τῶν Ἱστοριῶν ἐκλελάληκε, πρῶτον μὲν διαιρῶν εἰς τὰ ἀξιολογώτατα μέρη τὸν ἄνθρωπον, εἶτα ταῦτα τέμνων εἰς μόρια, οἷον οὕτως· κεφαλή ἐστι | τὸ ἐπὶ τῷ f. 335v αὐχένι ἐπικείμενον, μόρια δὲ ταύτης βρέγμα, κορυφή, ἰνίον καὶ τἆλλα· καὶ πρόσωπόν ἐστι τὸ ὑπὸ τὸ κρανίον ὑποκείμενον, μέρη δὲ αὐτοῦ ῥίς, ὦτα, σιαγόνες καὶ τὰ ἄλλα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν λοιπῶν πεποίηκε καὶ τὰ μέλη εἰς μέρη τέμνων ὑποδεικνύειν πειρᾶται. (6) ὅθεν ἐγὼ τὸ μὲν εἰς τὰ γινωσκόμενα πᾶσι μόρια τῶν ἀνθρώπων διαιρεῖν καὶ τὸ ὅμοιον Ἀριστοτέλει ποιεῖν περισσὸν ἥγημαι· τὰ δὲ ἰδίως συμβεβηκότα τῷ ἀνθρώπῳ καὶ τὰ ἄλλα ὅσα ἱστορίας ἄξιά ἐστιν, ἐκπίπτει δὲ τοὺς πολλούς, ὑποδεικνύειν πειράσομαι.

(7) Ἔστιν οὖν ὁ ἄνθρωπος ἀμφόδους, πολυσχιδὴς καὶ μόνος τῶν διπόδων ζῳοτοκῶν. (8) ἔχει δὲ ὁ μὲν ἄρρην ἐπὶ τοῦ κρανίου ῥαφὰς

---

17 μηδὲν παριδεῖν] Arist. hist. anim. A 6 p. 491a24 ἕνεκεν τοῦ μὴ παραλιπεῖν πρώτῳ τῶν Ἱστοριῶν] Arist. hist. anim. A 6—17 p. 491a24—497b2 19 κεφαλή] Arist. l. c. A 7 p. 491a30 κεφαλῆς μὲν οὖν μέρη τὸ μὲν τριχωτὸν κρανίον καλεῖται. τούτου δὲ μέρη τὸ μὲν πρόσθιον βρέγμα, ὑστερογενές (τελευταῖον γὰρ τῶν ἐν τῷ σώματι πήγνυται ὀστῶν), τὸ δ' ὄπισθεν ἰνίον, μέσον δ' ἰνίου καὶ βρέγματος κορυφή 21 πρόσωπόν ἐστι] Arist. l. c. A 8 p. 491b9 τὸ δ' ὑπὸ τὸ κρανίον ὀνομάζεται πρόσωπον ἐπὶ μόνου τῶν ἄλλων ζῴων ἀνθρώπου al. 28 ἀμφόδους] Arist. l. c. B 17 p. 507b15 τὰ δ' ἀμφώδοντα . . . οἷον ἄνθρωπος, ὗς, κύων, ἄρκτος, λέων, λύκος. cf. supra p. 2,13 πολυσχιδὴς] Arist. l. c. B 1 p. 499b6 τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ζῳοτόκων τὰ μέν ἐστι πολυσχιδῆ, ὥσπερ αἱ τοῦ ἀνθρώπου χεῖρες καὶ οἱ πόδες al. 28. 29 μόνος τῶν διπόδων] Arist. l. c. E 1 p. 539a14 ζῳοτόκα δ' ἐστὶ τῶν τετραπόδων ἔνια, καὶ ἄνθρωπος τῶν διπόδων μόνον 29 ἔχει] Arist.

---

8 πολυσχιδῶν scripsi: πολυσχεδῶν D. πολυσχεδὴς constanter exhibet D cf. p. 1,18 11 ταύτῃ scripsi: ταύταις D 13 περὶ delendum puto 17 Ἱστοριῶν scripsi: μορίων D 20 ἰνίον scripsi: ἠνίον D 21 ὑποκείμενον scripsi: ἐπικείμενον D

τρεῖς συναπτούσαις ἀλλήλαις, τριγωνοειδεῖς, ἡ δὲ θήλεια κύκλῳ μόνον τοῦ κρανίου τὴν ῥαφήν, ᾧ καὶ γινώσκεται τὸ θῆλυ. ἤδη μὲν οὖν ὤφθη ἀνδρὸς κεφαλὴ μὴ ἔχουσα ῥαφήν. (9) σπονδύλους δὲ ἔχει τοὺς πάντας εἰκοσιεννέα, ὧν ὁ μὲν τράχηλος ἐκ τεσσάρων συνέστηκε, ἡ δὲ ῥάχις ἐξ εἴκοσιν, ἡ δὲ ὀσφὺς ἐκ πέντε. (10) πλευρὰς δὲ ἔχει δεκαέξ, ἑκατέρου μέρους ὀκτὼ σὺν ταῖς λεγομέναις νόθαις πλευραῖς. (11) ὀδόντας δὲ ἔχει τοὺς πάντας τριακονταδύο, ὧν δεκαὲξ ἄνω καὶ ἴσοι κάτω· οἱ δὲ αὐτοὺς ἀραιοὺς ἔχοντες ὀλιγοχρόνιοι, φησί.

(12) Διοιχθεὶς δὲ ἐγκέφαλον ἔχει ὑγρότερον καὶ μείζονα τῶν καθ' ἑαυτὸν ζῴων. περὶ δὲ τοῦτον ὑμήν ἐστι δερματικὸς ὃς καλεῖται μῆνιγξ. ἔχει δὲ τὴν λεγομένην παρεγκεφαλίδα μόνος ὁ ἄνθρωπος, ἥτις ἐσχάτη τοῦ ἐγκεφάλου κεῖται, μέρος αὐτοῦ οὖσα. ἔστι δὲ ὁ ἐγκέφαλος ἄναιμος καὶ θιγγανόμενος τοῦ ἀνθρώπου ζῶντος ψυχρός. (13) γλῶττα σὰρξ μανή, ἧς τὸ ἄκρον αἰσθητικώτερον τοῦ μέσου· εἶτα ἡ ἐπιλεγομένη ἐπιγλωττίς· προσπέφυκε δὲ ταύτῃ ὁ λεγόμενος οἰσοφάγος. εἰλήφει δ' οὗτος τὴν ὁμωνυμίαν ἀπὸ τοῦ περὶ αὐτὸν μήκους καὶ τῆς στενότητος. (14) ἔμπροσθεν δὲ τοῦ λεγομένου οἰσοφάγου ἡ λεγομένη τραχεῖα ἀρτηρία κεῖται καὶ αὐτὴ τὴν ἀρχὴν ἔχουσα ἀπὸ τῆς ἐπιγλωττίδος, ἄνω δὲ μᾶλλον νεύουσα κατὰ

---

hist. anim. A 7 p. 491b2 ἔχει δὲ ῥαφὰς (τὸ κρανίον) τῶν μὲν γυναικῶν μίαν κύκλῳ, τῶν δ' ἀνδρῶν τρεῖς εἰς ἓν συναπτούσας ὡς ἐπὶ τὸ πολύ· ἤδη δ' ὠμμένη ἐστὶ κεφαλὴ ἀνδρὸς οὐδεμίαν ἔχουσα ῥαφήν. Γ 7 p. 516a18 τὸ μὲν θῆλυ κύκλῳ ἔχει τὴν ῥαφήν, τὸ δ' ἄρρεν τρεῖς ῥαφὰς ἄνωθεν συναπτούσας, τριγωνοειδεῖς· ἤδη δ' ὤφθη καὶ ἀνδρὸς κεφαλὴ οὐκ ἔχουσα ῥαφάς 3 σπονδύλους] non sunt Aristotelica 5 πλευρὰς] Arist. l. c. A 15 p. 493b14 κοινὸν δὲ τοῦ ἄνω καὶ κάτω (θώρακος) πλευραί, ἑκατέρωθεν ὀκτώ 7 ἀραιοὺς] Arist. l. c. B 3 p. 501b22 ὅσοι δὲ πλείους ἔχουσι, μακροβιώτεροι ὡς ἐπὶ τὸ πολύ εἰσιν, οἱ δ' ἐλάττους καὶ ἀραιόδοντες ὡς ἐπὶ τὸ πολὺ βραχυβιώτεροι. cf. A 109 9 ἐγκέφαλον] Arist. hist. anim. A 16 p. 494b28 μέγεθος δ' ὁμοίως ἔχει ἄνθρωπος πλεῖστον ἐγκέφαλον καὶ ὑγρότατον. cf. de sensu 5 p. 444a30. part. anim. B 14 p. 658b8 10 περὶ δὲ τοῦτον] Arist. hist. anim. A 16 p. 495a7 ἡ δὲ περὶ αὐτὸν μῆνιγξ φλεβώδης· ἔστι δ' ὑμὴν δερματικὸς ἡ μῆνιγξ ὁ περιέχων τὸν ἐγκέφαλον 11 παρεγκεφαλίδα] Arist. l. c. p. 494b31 καὶ ἐπὶ τούτου ἡ καλουμένη παρεγκεφαλὶς ἔσχατον 12 ἐγκέφαλος ἄναιμος] Arist. l. c. p. 495a4 ἄναιμος δ' ὁ ἐγκέφαλος ἅπασι καὶ οὐδεμίαν ἔχων ἐν αὐτῷ φλέβα, καὶ θιγγανόμενος κατὰ φύσιν ψυχρός 13 γλῶττα] Arist. l. c. A 11 p. 492b33 ἔστι δ' ἡ γλῶττα σὰρξ μανὴ καὶ σομφή 14 ἧς τὸ ἄκρον] Arist. l. c. p. 492b27 ἡ δ' αἴσθησις ἐν τῷ ἄκρῳ ἐπιγλωττίς] Arist. l. c. p. 492b34 ταύτης (τῆς γλώττης) τι μέρος ἐπιγλωττίς 15 οἰσοφάγος] Arist. l. c. A 16 p. 495a18 ἐντὸς δὲ τοῦ αὐχένος ὅ τε οἰσοφάγος καλούμενός ἐστιν, ἔχων τὴν ἐπωνυμίαν ἀπὸ τοῦ μήκους καὶ τῆς στενότητος, καὶ ἡ ἀρτηρία 17 ἀρτηρία] Arist. l. c. p. 495a24 κεῖται δ' ἐπὶ μὲν τὰ ἄνω πρὸς τὸ στόμα κατὰ τὴν ἐκ τῶν μυκτήρων σύντρησιν εἰς τὸ στόμα, ᾗ καὶ ὅταν πίνοντες ἀνασπάσωσί τι τοῦ ποτοῦ, χωρεῖ ἐκ τοῦ στόματος διὰ τῶν μυκτήρων ἔξω

---

1 τριγωνοειδεῖς scripsi ex Arist.: γωνοειδεῖς D κύκλῳ scripsi: κύκλον D 2 τὴν ῥαφὴν scripsi: τῇ ῥαφῇ D 3 σπονδίλους D 7 αὐτοὺς scripsi: τοὺς D 10 τοῦτον scripsi: τούτων D μῆνιξ D 11 παρ' ἐγκεφαλίδα D 13 μανή scripsi: μόνη D 15 ὑσοφάγος D 16 αὐτὸν scripsi: αὐτὸ D 17 ὑσοφάγου D itemque p. 38, 3 18 ἔχουσα scripsi: ἔχει D

τὴν τῶν μυκτήρων ἔκκρισιν· διὸ καὶ ὅταν ἀθρόως | πίνωμεν, ἀνασπῶμεν f. 336r μέρος τι τοῦ ὑγροῦ διὰ τῶν μυκτήρων. ἔστι δὲ φύσει ⟨ἡ⟩ ἀρτηρία χονδρώδης καὶ ὀλίγαιμος. μέση οὖν κεῖται τῶν στομάτων τοῦ οἰσοφάγου καὶ τῆς τραχείας ἀρτηρίας ἡ ἐπιγλωττίς, ἥτις ἐν τῷ καταπίνειν τὴν ξηρὰν τροφὴν ἐπιπωματίζει τὴν ἀρτηρίαν κωλύουσα ὧν οὐ δέον αὐτήν ἐστι λαμβάνειν. συμβαίνει δὲ ἐμπνευματουμένης τῆς ἀρτηρίας ὑπὸ τοῦ ἐκτὸς πνεύματος εὐθέως διίστασθαι καὶ εἰς τὸν πνεύμονα διαδίδοσθαι· διαδίδοται γὰρ τὸ πνεῦμα εἰς τὰς τούτου ὀπάς. ἔχει γὰρ ὁ πνεύμων διαφύσεις χονδρὰς εἰς ὀξὺ συναγομένας, ἐκ δὲ τῶν διαφύσεων τὰ τρήματα ἐκ μεγάλων εἰς ἐλάχιστα διαδιδόμενα· ἔχει δὲ καὶ ἐκφύσεις ἡ προειρημένη ἀρτηρία προσηνωμένας τῇ καρδίᾳ, ἰνώδεις ⟨καὶ χονδρώδεις⟩ καὶ πιμελώδεις· καθ' ἃ δὲ μέρη συνήνωται, κοιλία ἐστίν. ὅθεν ἐμπνευματουμένης τῆς κοιλίας συνδιίσταται ἡ καρδία, δῆλον ὡς δεχομένη τὸ πνεῦμα παρ' αὐτῆς. τοῦτο δὲ τεθεώρηται ἐπὶ τῶν μειζόνων ἀνατομῶν. (15) ἡ μὲν οὖν ἀρτηρία τοῦτον ἔχει τὸν τρόπον καὶ οὕτως δέχεται τὸ πνεῦμα καὶ ἀφίησιν· ἄλλο δὲ οὔτε ὑγρὸν οὐδὲν οὔτε ξηρὸν ἐπιδέχεται· ἡ δὲ δεξαμένη πόνον παρέχει ἕως οὗ ἀναβήξῃ καὶ ἀναβάλῃ τὸ κατελθόν.

(16) Ὁ δὲ στόμαχος καὶ αὐτὸς ἄνωθεν ἔχων ἀπὸ τῆς ἐπιγλωττίδος, ὡς προεῖπον, ἔχεται τῆς τραχείας ἀρτηρίας, συνεχὴς ὢν τῇ ῥάχει ὑμέσι λεπτοῖς, ἀποτελευτᾷ δὲ διὰ τοῦ ζώματος εἰς τὴν κοιλίαν τὴν λεγομένην ἄνω, νευρώδης ὢν τῇ φύσει καὶ τάσιν ἔχων. (17) ἡ δὲ ἄνω κοιλία ὁμοία ἐστὶ τῇ κυνείᾳ κοιλίᾳ· οὐ γὰρ πολλῷ τοῦ ἐντέρου ἡμῶν εὐρυτέρα ἐστίν, ἀλλ' οἷον ἔντερον εὖρος ἔχον ἐστί. διὰ δὲ τὸ τοιαύτην ἔχειν ἡμᾶς τὴν ἄνω κοιλίαν μόνος ὁ ἄνθρωπος καὶ ὁ κύων ἐμεῖ. στενῆς γὰρ οὔσης

2 ἔστι] Arist. hist. anim. A 16 p. 495a23 ἔστι δ' ἡ μὲν ἀρτηρία χονδρώδης τὴν φύσιν καὶ ὀλίγαιμος 3 μέση] Arist. l. c. p. 495a27 μεταξὺ δ' ἔχει τῶν τρήσεων τὴν ἐπιγλωττίδα καλουμένην, ἐπιπτύσσεσθαι δυναμένην ἐπὶ τὸ τῆς ἀρτηρίας τρῆμα τὸ εἰς τὸ στόμα τεῖνον 6 συμβαίνει] Arist. l. c. p. 495b8 φυσωμένης δὲ τῆς ἀρτηρίας διαδίδωσιν εἰς τὰ κοῖλα μέρη τοῦ πλεύμονος τὸ πνεῦμα. ταῦτα δὲ διαφύσεις ἔχει χονδρώδεις εἰς ὀξὺ συνηκούσας· ἐκ δὲ τῶν διαφύσεων τρήματα διὰ παντός ἐστι τοῦ πλεύμονος, ἀεὶ ἐκ μειζόνων εἰς ἐλάττω διαδιδόμενα. συνήρτηται δὲ καὶ ἡ καρδία τῇ ἀρτηρίᾳ πιμελώδεσι καὶ χονδρώδεσι καὶ ἰνώδεσι δεσμοῖς· ᾗ δὲ συνήρτηται κοῖλόν ἐστιν 12 ἐμπνευματουμένης] Arist. l. c. p. 495b14 φυσωμένης δὲ τῆς ἀρτηρίας ἐν ἐνίοις μὲν οὐ κατάδηλον ποιεῖ, ἐν δὲ τοῖς μείζοσι τῶν ζῴων δῆλον ὅτι εἰσέρχεται τὸ πνεῦμα εἰς αὐτήν. ἡ μὲν οὖν ἀρτηρία τοῦτον ἔχει τὸν τρόπον, καὶ δέχεται μόνον τὸ πνεῦμα καὶ ἀφίησιν, ἄλλο δ' οὐθὲν οὔτε ξηρὸν οὔθ' ὑγρόν, ἢ πόνον παρέχει, ἕως ἂν ἐκβήξῃ τὸ κατελθόν 18 ὁ δὲ στόμαχος] Arist. l. c. p. 495b19 ὁ δὲ στόμαχος ἤρτηται μὲν ἄνωθεν ἀπὸ τοῦ στόματος, ἐχόμενος τῆς ἀρτηρίας, συνεχὴς ὢν πρός τε τὴν ῥάχιν καὶ τὴν ἀρτηρίαν ὑμενώδεσι δεσμοῖς, τελευτᾷ δὲ διὰ τοῦ διαζώματος (ζώματος Ca) εἰς τὴν κοιλίαν, σαρκοειδὴς ὢν τὴν φύσιν, καὶ τάσιν ἔχων καὶ ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος. ἡ δὲ κοιλία ἡ τοῦ ἀνθρώπου ὁμοία τῇ κυνείᾳ ἐστίν· οὐ πολλῷ γὰρ τοῦ ἐντέρου μείζων, ἀλλ' ἐοικυῖα οἱονεὶ ἐντέρῳ εὖρος ἔχοντι· εἶτα ἔντερον ἁπλοῦν εἱλιγμένον, εἶτα ἔντερον ἐπιεικῶς πλατύ 24 μόνος ὁ ἄνθρωπος . . . ἐμεῖ] vide notas ad p. 31,2

2 τί D ἡ addidi 11 καὶ χονδρώδεις addidi ex Arist. 17 ἀναβήξῃ ex ἀναβήξει correxit D[1] 18 post ἔχων fortasse τὴν ἀρχὴν addendum 19 ὡς προεῖπον] an A 111?

καὶ ὀρθῆς καὶ κόλπον μὴ ἐχούσης, ἡ ἐπάνοδος ἡ τῶν σιτίων κατ' εὐθυπορίαν ἐπὶ τὸν στόμαχον εὐκόπως παραγίνεται· τοῖς δὲ ἔχουσιν εὐρείας καὶ σκολιὰς τὰς κοιλίας οὐ ῥᾳδίως συμβαίνει. (18) ὑπόκειται δὲ τὸ ἔντερον τῇ κοιλίᾳ διπλοῦν εἰλιγμένον, ἐπιεικῶς πλατύ· περὶ δὲ τοῦ μεγέθους αὐτοῦ οὐδὲν εἴρηκεν ὁ Ἀριστοτέλης.

(19) Ἡ δὲ λεγομένη κάτω κοιλία ἐκπέφυκε μὲν | ἐκ τοῦ ἐντέρου, f. 336v
ὁμοία δέ ἐστι τῷ σχήματι τῇ ὑείᾳ· πλατεῖα γάρ ἐστι καὶ κοίλη. τὸ δ' ἀπ' αὐτῆς πρὸς τὴν ἕδραν παχὺ καὶ βραχὺ ὑπάρχει, ὃ δὴ καὶ ἀρχὸν καλοῦσι. (20) τὸ δὲ λεγόμενον ἐπίπλοον ἀπὸ μὲν τῆς ἄνω κοιλίας ἤρτηται, ἔστι δὲ τὴν φύσιν ὑμὴν πιμελώδης. ὑπεράνω δὲ τῶν ἐντέρων τὸ μέσον ὑμενῶδές ἐστι καὶ πῖον, ἐξήρτηται δὲ ἐκ τῆς μεγάλης φλεβὸς καὶ τῆς καλουμένης ἀορτῆς, καὶ διὰ τούτου φλέβες πολλαὶ καὶ λεπταὶ κατατείνουσι πρὸς τὴν τῶν ἐντέρων φύσιν. τὰ μὲν οὖν περὶ τὸν στόμαχον καὶ ἀρτηρίαν καὶ ἔτι περὶ τὴν κοιλίαν καὶ ἔντερα τοιοῦτον ἔχει τὸν τρόπον.

(21) Ἡ δὲ καρδία κεῖται μὲν παρὰ τὸν ἀριστερὸν μαστόν, τοῖς δ' ἄλλοις ζῴοις ἐν μέσῳ πᾶσι κεῖται, ἔστι δὲ στρογγυλωτέρα τῶν ἄλλων, καὶ ἔχει τὸ ὀξὺ αὐτῆς ἔμπροσθεν. ἔχει δὲ ἐν αὐτῇ, φησί, κοιλίας τρεῖς, ἀλλ' οὐ καθάπερ οἱ πολλοὶ ἔφασαν τῶν ἰατρῶν δύο, ὧν τὴν μὲν μεγίστην ἐν τοῖς δεξιοῖς, τὴν δὲ ἐλαχίστην ἐν τοῖς ἀριστεροῖς, σύμμετρον δὲ τὴν μέσην. κάτωθεν δὲ ἐκ τῆς προσφύσεως τῆς καρδίας κατὰ μὲν τὴν μεγίστην αὐτῆς

---

6 κάτω κοιλία] Arist. hist. anim. A 16 p. $495^{b}27$ ἡ δὲ κάτω κοιλία ὁμοία τῇ ὑείᾳ· πλατεῖά τε γάρ ἐστι, καὶ τὸ ἀπὸ ταύτης πρὸς τὴν ἕδραν παχὺ καὶ βραχύ 9 ἐπίπλοον] Arist. l. c. p. $495^{b}29$ τὸ δ' ἐπίπλοον ἀπὸ μέσης τῆς κοιλίας ἤρτηται, ἔστι δὲ τὴν φύσιν ὑμὴν πιμελώδης 10 ὑπεράνω] Arist. l. c. p. $495^{b}31$ ὑπὲρ δὲ τῶν ἐντέρων τὸ μεσεντέριόν ἐστιν· ὑμενῶδες δ' ἐστὶ τοῦτο καὶ πλατύ, καὶ πῖον γίνεται. ἐξήρτηται δὲ ἐκ τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀορτῆς, καὶ δι' αὐτοῦ φλέβες πολλαὶ καὶ πυκναὶ κατατείνουσαι (κατατείνουσι $D^{a}$ cf. Aubert) πρὸς τὴν τῶν ἐντέρων θέσιν (φύσιν P $D^{a}$), ἄνωθεν ἀρξάμεναι μέχρι κάτω. τὰ μὲν οὖν περὶ τὸν στόμαχον καὶ τὴν ἀρτηρίαν οὕτως ἔχει, καὶ τὰ περὶ τὴν κοιλίαν 15 καρδία] Arist. l. c. A 17 p. $496^{a}14$ κεῖται δὲ τὴν θέσιν ἐν μὲν τοῖς ἄλλοις κατὰ μέσον τὸ στῆθος, ὅσα ἔχει στῆθος, τοῖς δ' ἀνθρώποις ἐν τοῖς ἀριστεροῖς μᾶλλον, μικρὸν τῆς διαιρέσεως τῶν μαστῶν ἐγκλίνουσα εἰς τὸν ἀριστερὸν μαστὸν ἐν τῷ ἄνω μέρει τοῦ στήθους. καὶ οὔτε μεγάλη, τό τε ὅλον αὐτῆς εἶδος οὐ πρόμηκές ἐστιν, ἀλλὰ στρογγυλώτερον· πλὴν τὸ ἄκρον εἰς ὀξὺ συνῆκται. ἔχει δὲ κοιλίας τρεῖς, ὥσπερ εἴρηται, μεγίστην μὲν τὴν ἐν τοῖς δεξιοῖς, ἐλαχίστην δὲ τὴν ἐν τοῖς ἀριστεροῖς, μέσην δὲ μεγέθει τὴν ἀνὰ μέσον· καὶ εἰσὶν εἰς τὸν πνεύμονα τετρημέναι πᾶσαι. ἀμφοτέρας δὲ ἔχει τὰς δύο μικράς, καὶ εἰς τὸν πλεύμονα τετρημένας ἁπάσας. κατάδηλον δὲ κατὰ μίαν τῶν κοιλιῶν κάτωθεν ἐκ τῆς προσφύσεως· κατὰ μὲν τὴν μεγίστην κοιλίαν ἐξήρτηται τῇ μεγίστῃ φλεβί, πρὸς ἣν καὶ τὸ μεσεντέριόν ἐστι, κατὰ δὲ τὴν μέσην τῇ ἀορτῇ. φέρουσι δὲ καὶ εἰς τὸν πλεύμονα πόροι ἀπὸ τῆς καρδίας, καὶ σχίζονται τὸν αὐτὸν τρόπον ὅνπερ ἡ ἀρτηρία, κατὰ πάντα τὸν πλεύμονα παρακολουθοῦντες τοῖς ἀπὸ τῆς ἀρτηρίας 18 οἱ πολλοὶ ἔφασαν τῶν ἰατρῶν] Hippocr. de cord. I 486 K. Aristotelem refutat Galenus I 621 K.

---

4 διπλοῦν D: ἁπλοῦν scribendum ex Arist. εἰλιγμένον D 6 ἐντέρου scripsi: ἑτέρου D 13 φύσιν D: scribendum θέσιν ex Arist. 14 τοιοῦτον scripsi: τοσοῦτον D 15 ante ἡ δὲ καρδία lemma praefigit Καρδία D 17 αὐτῆς scripsi: αὐτοῖς D 18 τὴν μὲν μεγίστην scripsi: τὸ μὲν μεγίστοις D 20 προσφύσεως scripsi ex Arist.: φύσεως D

κοιλίαν, λέγω δὴ τὴν ἐν τοῖς δεξιοῖς, προσήρτηται ἡ μεγάλη λεγομένη φλέψ, κατὰ δὲ τὴν μέσην αὐτῆς κοιλίαν προσήρτηται ἡ καλουμένη ἀορτὴ φλέψ. (22) φέρουσι δὲ καὶ εἰς τὸν πνεύμονα πόροι λεπτοὶ ἀπὸ τῆς καρδίας, καὶ σχίζονται κατὰ πάντα τὸν πνεύμονα, οἵτινες τῇ καρδίᾳ, ὡς προεῖπον, διαδιδόασι τὸ πνεῦμα. ἔχει δὲ ἐν ἑκάστῃ κοιλίᾳ ἡ καρδία αἷμα πολὺ καὶ παχύ. λεπτότατον δέ ἐστι τὸ ἐν τῇ μέσῃ.

(23) Ὁ δὲ πνεύμων προσήρτηται μὲν τῇ ῥάχει, νεύει δὲ μᾶλλον εἰς τὰ ἀριστερά, ὅμοιος δέ ἐστι κατὰ τὸ κύρτωμα βοείῳ. οὔτε πολυσχιδής ἐστιν οὔτε λεῖος, ἀλλὰ πολλὰς ἀνωμαλίας ἐν ἑαυτῷ ἔχων κινεῖται συνεχῶς. πῇ μὲν γὰρ διίσταται, πῇ δὲ συστέλλεται, ὅθεν καὶ ἀθεράπευτος· τῇ γὰρ πυκνοτέρᾳ κινήσει ἐναντία πᾶσα θεραπεία ἐπ' αὐτοῦ. (24) ἔχει δὲ ἐν ἑαυτῷ αἷμα πλεῖστον. οἱ δὲ νομίζοντες αὐτὸν εἶναι κενὸν διηπάτηνται θεωροῦντες τοὺς ἐξαιρουμένους ἐκ τῶν ἱερείων κενοὺς αἵματος, οὐ γινώσκοντες ⟨δ'⟩ ὅτι ὑπὸ τὴν σφαγὴν ἐκκρίνεται ἐξ αὐτῶν τὸ αἷμα. (25) ὑπὸ δὲ τὸν | πνεύμονά ἐστι τὸ διάζωμα· οἱ δὲ διάφραγμα, ἄλλοι δὲ φρένας f. 337r προσαγορεύουσιν· ὑμὴν νευρώδης. καὶ πρὸς μὲν τὰς πλευρὰς ἀμφοτέρας καὶ τὸ ὑποχόνδριον καὶ τὴν ῥάχιν συνηρτημένος ἐστίν, ἐν μέσῳ δὲ ἔχων λεπτά. (26) ὑπὸ δὲ τοῦτο ἐν τοῖς δεξιοῖς κεῖται τὸ ἧπαρ, τῷ σχήματι στρογγύλον μᾶλλον καὶ οὐ μακρόλοβον, τὸ δὲ ποσάλοβόν ἐστιν οὐκ ἔτι εἴρηκεν ὁ Ἀριστοτέλης. καὶ ἐπὶ μὲν πολλῶν φησιν οὐκ ἔχον ἐφ' ἑαυτῷ χολὴν τεθεώρηται, ἀλλὰ παρὰ τῷ ἐντέρῳ· ἐπὶ δὲ ὀλίγων τοῦτο ὦπται. ἐκ δὲ τῶν εὐωνύμων σπλὴν μέλας, λεπτός, ἄνισος, πλατύς.

---

5 ἔχει] Arist. hist. anim. A 17 p. 496b9 ἐν ἑκάστῃ γὰρ ἔχει αἷμα τῶν κοιλιῶν, λεπτότατον δ' ἐστὶ τὸ ἐν τῇ μέσῃ    8 οὔτε πολυσχιδής] Arist. l. c. A 16 p. 495b1 ἔστι δ' οὐ πολυσχιδὴς ὁ τοῦ ἀνθρώπου, ὥσπερ ἐνίων ζῳοτόκων, οὐδὲ λεῖος, ἀλλ' ἔχει ἀνωμαλίαν    11 ἔχει] Arist. l. c. A 17 p. 496a35 αἷμα δὲ πλεῖστον μὲν ὁ πλεύμων ἔχει τῶν ἐν τοῖς ζῴοις μορίων . . . ἀλλ' οἱ νομίζοντες εἶναι κενὸν διηπάτηνται, θεωροῦντες τοὺς ἐξῃρημένους ἐκ τῶν διαιρουμένων τῶν ζῴων, ὧν εὐθέως ἐξελήλυθε τὸ αἷμα ἀθρόον    14. 15 ὑπὸ δὲ τὸν πνεύμονα] Arist. l. c. p. 496b10 ὑπὸ δὲ τὸν πνεύμονά ἐστι τὸ διάζωμα τὸ τοῦ θώρακος, αἱ καλούμεναι φρένες, πρὸς μὲν τὰ πλευρὰ καὶ τὰ ὑποχόνδρια καὶ τὴν ῥάχιν συνηρτημέναι, ἐν μέσῳ δ' ἔχει τὰ λεπτὰ καὶ ὑμενώδη    15 διάφραγμα] cf. Galen. VIII 611 K. τὸ μὲν διάφραγμα παραφροσύνην ἑτοιμοτάτην φέρει, διόπερ καὶ προσαγορεύεσθαί φασιν αὐτὸ φρένας ὑπὸ τῶν ἰατρῶν. cf. XX 199. Schol. A D ad Iliad. Λ 579 φρένας ὁ ποιητὴς καὶ πάντες οἱ παλαιοὶ ἐκάλουν τὸ διάφραγμα. Arist. part. anim. Γ 10 p. 672b10 τοῦτο δὲ τὸ διάζωμα καλοῦσί τινες φρένας· ὃ διορίζει τόν τε πλεύμονα καὶ τὴν καρδίαν    18 ὑπὸ δὲ τοῦτο] Arist. hist. anim. A 17 p. 496b15 ὑπὸ δὲ τὸ διάζωμα ἐν μὲν τοῖς δεξιοῖς κεῖται τὸ ἧπαρ, ἐν δὲ τοῖς ἀριστεροῖς ὁ σπλήν . . . τὴν δ' ὄψιν ἐστὶν ὁ τοῦ ἀνθρώπου σπλὴν στενὸς καὶ μακρός, ὅμοιος τῷ ὑείῳ. τὸ δ' ἧπαρ ὡς μὲν ἐπὶ τὸ πολὺ καὶ ἐν τοῖς πλείστοις οὐκ ἔχει χολήν, ἐπ' ἐνίοις δὲ ἔπεστιν· στρογγύλον δ' ἐστὶ τὸ τοῦ ἀνθρώπου ἧπαρ καὶ ὅμοιον τῷ βοείῳ . . . ibid. B 15—16 p. 506a20 χολὴν δὲ τῶν ζῴων τὰ μὲν ἔχει τὰ δὲ οὐκ ἔχει ἐπὶ τῷ ἥπατι . . . p. 506b11 οἱ δὲ πρὸς τοῖς ἐντέροις ἔχουσιν, ἀποτεταμένην ἀπὸ τοῦ ἥπατος πόροις ἐνίοις πάνυ λεπτοῖς. ἡ μὲν οὖν ἀμία παρὰ τὸ ἔντερον παρατεταμένην ἰσομήκη ἔχει etc.

---

4. 5 ὡς προεῖπον] cf. p. 38,8—14    12 αὐτὸν scripsi: αὐτὸ D    14 δ' addidi
20 ἔχον scripsi: ἔχων D

(27) Οἱ δὲ νεφροὶ πρὸς τῇ ῥάχει κεῖνται, ὅμοιοι τοῖς ὑείοις. ἀνωτέρω δὲ ὁ δεξιὸς κεῖται, καὶ ψαύει ἄκρου τοῦ ἥπατος, καὶ ἐλάττω πιμελὴν ἔχει. ἔχουσι δὲ καὶ κοιλίαν ἐν ἑαυτοῖς. ἐκ δὲ τῶν κοιλιῶν τούτων καθήκουσιν εἰς τὴν κύστιν πόροι, δύο μὲν νεανικοί, ἄλλοι δὲ λεπτοὶ φλεβώδεις, καὶ ἐξήρτηνται ⟨φλέβες⟩ μέγεθος ἔχουσαι. τῷ δὲ ἐκ τῆς κύστεως τραχήλῳ συνήνωται τὸ αἰδοῖον, ἐκ δὲ τούτου ὄρχεις ἐν ὀσχέῳ κεῖνται.

(28) Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῇ θηλείᾳ πέφυκε πάντα τὰ αὐτὰ καὶ παραπλήσια· διαφέρει δὲ οὐδὲν ἢ ταῖς ὑστέραις. (29) ἔστι δὲ ἡ φύσις τῆς ὑστέρας νευρώδης, ὀλίγην σαρκὸς μοῖραν ἔχουσα ἐντός· ἡ δὲ θέσις αὐτῆς μεταξὺ ἀρχοῦ καὶ κύστεως, μικρὸν ὑπεράνω τῆς ἥβης· τὸ δὲ σχῆμα αὐτῆς ἐκ τῶν ὑπογραφῶν τῶν ἐν ταῖς ἀνατομαῖς θεωρεῖται. (30) συγκινεῖται δὲ ὁ τράχηλος τῆς μήτρας τῇ διανοίᾳ καθάπερ καὶ τὸ τοῦ ἀνδρὸς αἰδοῖον πρὸς τὰς ἐπιθυμίας ἀναχωροῦν, ἄνω καὶ κάτω. ἔστι δὲ ὅτε καὶ ἀπροαιρέτως καὶ εἰς τὰ δεξιὰ καὶ εἰς τὰ εὐώνυμα ἀναβαίνει οὐ μόνον ὁ τράχηλος αὐτῆς, ἀλλὰ καὶ τὸ ὅλον κύτος· εἰσὶ δὲ αἷς καὶ ἀνεδιπλώθη καὶ πρὸς τὴν ἐπιφάνειαν ἦλθεν. ἀλλὰ περὶ μὲν τῶν μορίων τῶν ἐντὸς καὶ ἐκτὸς ὡς ἐν ἐπιδρομῆς μέρει ἐπὶ τοσοῦτόν μοι ἐπιτετροχάσθω.

(31) Ἄρχεται δὲ ὁ ἄρρην φέρειν τὸ σπέρμα περὶ τὰ δεκατέσσαρα ἔτη γενόμενος, ὅτε καὶ ταῖς θηλείαις τὰ καταμήνια | δειγματίζει. (32) γεννᾷ f. 337v

1 νεφροὶ] Arist. hist. anim. A 17 p. 496b34 μετὰ δὲ ταῦτα οἱ νεφροὶ πρὸς αὐτῇ τῇ ῥάχει κεῖνται, ὅμοιοι τὴν φύσιν ὄντες τοῖς βοείοις. ἀνώτερος δὲ ὁ δεξιός ἐστιν ἐν πᾶσι τοῖς ζῴοις τοῖς ἔχουσι νεφρούς· καὶ ἐλάττω δὲ πιμελὴν ἔχει τοῦ ἀριστεροῦ καὶ αὐχμηρότερος ὁ δεξιός 3 ἔχουσι] Arist. l. c. p. 497a11 ἔχουσι δὲ κοιλίαν, ὥσπερ εἴρηται, μικράν. ἐκ δὲ τοῦ κοίλου τῶν νεφρῶν φέρουσιν εἰς τὴν κύστιν πόροι δύο νεανικοὶ καὶ ἄλλοι ἐκ τῆς ἀορτῆς ἰσχυροὶ καὶ συνεχεῖς. ἐκ μέσου δὲ τῶν νεφρῶν ἑκατέρου φλὲψ κοίλη καὶ νευρώδης ἐξήρτηται 5 τῷ δὲ ἐκ τῆς κύστεως] Arist. l. c. p. 497a24 πρὸς δὲ τὸν καυλὸν τὸν τῆς κύστεως συνήρτηται τὸ αἰδοῖον . . . τούτου δ' ἐξήρτηνται οἱ ὄρχεις τοῖς ἄρρεσι 6 ὄρχεις ἐν ὀσχέῳ] Arist. l. c. Γ 1 p. 510a11 οἱ μὲν αὐτῶν ἔχουσι καθ' αὑτοὺς τοὺς ὄρχεις, οἱ δ' ἐν τῇ καλουμένῃ ὀσχέᾳ, ὅσοι ἔξωθεν 7 τὸν αὐτὸν δὲ τρόπον] Arist. l. c. A 17 p. 497a30 τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ θήλει πάντα πέφυκεν· διαφέρει γὰρ οὐθενὶ τῶν ἔσω πλὴν ταῖς ὑστέραις. ὧν ἡ μὲν ὄψις θεωρείσθω ἐκ τῆς διαγραφῆς τῆς ἐν ταῖς ἀνατομαῖς, ἡ δὲ θέσις ἐστὶν ἐπὶ τοῖς ἐντέροις· ἐπὶ δὲ τῆς ὑστέρας ἡ κύστις. λεκτέον δὲ καὶ περὶ ὑστερῶν κοινῇ πασῶν ἐν τοῖς ἑπομένοις. cf. Γ 1 p. 510b5 9. 10 ἡ δὲ θέσις] Arist. gener. anim. Γ 1 p. 749a29 καὶ γὰρ τῶν ζῳοτοκούντων τὰ μὲν ἄνω πρὸς τῷ ὑποζώματι ἔχει τὰς ὑστέρας, τὰ δὲ κάτω πρὸς τοῖς ἄρθροις, ἄνω μὲν τὰ σελαχώδη, κάτω δὲ τὰ καὶ ἐν αὑτοῖς ζῳοτοκοῦντα καὶ θύραζε, οἷον ἄνθρωπος καὶ ἵππος καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων. cf. Galen. II 887 K. 16 περὶ μὲν τῶν μορίων] Arist. l. c. A 17 p. 497b1 τὰ μὲν οὖν μόρια καὶ τὰ ἐντὸς καὶ τὰ ἐκτὸς τοῦ ἀνθρώπου ταῦτα καὶ τοιαῦτα, καὶ τοῦτον ἔχει τὸν τρόπον 18 ἄρχεται] cf. supra p. 20, 3 cum notis 19 γεννᾷ] Arist. hist. anim. H 5 p. 585a34 ἀρχὴ δὲ ταῖς γυναιξὶ τοῦ τεκνοῦσθαι καὶ τοῖς ἄρρεσι τοῦ τεκνοῦν, καὶ παῦλα ἀμφοτέροις, τοῖς μὲν ἡ τοῦ σπέρματος πρόεσις ταῖς δ' ἡ τῶν καταμηνίων, πλὴν οὔτ' ἀρχομένων γόνιμα εὐθὺς οὔτ' ἔτι ὀλίγων γιγνομένων καὶ ἀσθενῶν. cf. H 1 p. 582a16 μέχρι μὲν οὖν τῶν τρὶς ἑπτὰ ἐτῶν τὸ μὲν πρῶτον ἄγονα τὰ σπέρματά ἐστιν

1 ὑείοις D: βοείοις scribendum ex Arist. 4 λεπτοὶ φλεβώδεις corruptum videtur 5 φλέβες addidi 6 συνένωται D. anne scribendum συνήρτηται? ὀσχέῳ scripsi: ὀσχίῳ D 9 ἔχουσα scripsi: ἔχουσαν D 15 αὐτῆς scripsi: ἑαυτῆς D 16 τῶν μορίων iterat D

δὲ ὁ μὲν ἄρρην εἰκοσαετής, ἡ δὲ θήλεια τεσσαρεσκαιδεκαετής. (33) ὀχεύει δὲ ὁ μὲν ἄρρην πᾶσαν ὥραν τοῦ ἔτους καὶ ἡ θήλεια ὀχεύεται, ἀλλ' οὐχ ἑστῶτές εἰσιν οἱ χρόνοι αὐτοῖς, καθάπερ καὶ τοῖς ἄλλοις ζῴοις· ὁρμητικώτεροι δέ εἰσιν οἱ μὲν ἄρρενες πρὸς συνουσίαν ἐν τῷ χειμῶνι, αἱ δὲ γυναῖκες τῷ θέρει. (34) χρόνοι δὲ ἱστάμενοι ταῖς κυούσαις καθάπερ τοῖς ἄλλοις ζῴοις οὐκ εἰσίν, ἀλλ' αἱ μὲν ἑπτὰ μῆνας κυήσασαι ἔτεκον, αἱ δὲ ἐννέα, αἱ δὲ δέκα καὶ τοῦ ἑνδεκάτου τινὲς προσέλαβον. ὅρος δὲ τοῦ γεννᾶν τοῖς μὲν ἀνδράσιν ἕως πεντήκοντα καὶ ἑξήκοντα ἐτῶν, γυναικὶ δὲ ἕως πέντε καὶ τεσσαράκοντα· ἤδη μὲν οὖν πεντηκονταετής τις γενομένη συνέλαβε. (35) τίκτει μὲν οὖν γυνὴ καὶ τέσσαρα καὶ πέντε καθάπερ ἐν Ἀθήναις ἡ τεκοῦσα πέντε τόκους ἀνὰ πέντε ἄρρενας.

(36) Καὶ περὶ μὲν κυήσεως καὶ χρόνου οὐκ ἀεὶ οὕτως, περὶ δὲ ἐκτέξεως καὶ διδύμων καὶ τερατωδῶν καὶ πῶς ἄρρεν ἢ θῆλυ καὶ περὶ τροφῆς βρέφους καὶ ἀπογαλακτίσεως καὶ καταμηνίων ἐπισχέσεως καὶ τὸ ὅλον τῆς τοῦ σπέρματος οὐσίας καὶ πόθεν φέρεται κατὰ τὸ οἰκεῖον ἐν τῷ πρὸ τούτου συντάγματι καταριθμήσας ἐξεθέμην.

(37) Ἔστι δὲ ὁ ἄνθρωπος καὶ μονήρης καὶ συναγελαστικός· ἐπαμφοτερίζειν γὰρ δύναται. λέγοι δ' ἂν τις καὶ αὐτὸν ἀμφίβιον εἶναι. καὶ γὰρ ἐν τῷ ξηρῷ καὶ ὑγρῷ παρὰ μέρος εἰσὶν οἳ διαιτῶνται καθάπερ ἐν Αἰγύπτῳ καὶ ἐν πολλοῖς τόποις· ἡμέρας μὲν γὰρ ἐν τῷ ὑγρῷ, νυκτὸς δὲ

---

1 ὀχεύει] Arist. hist. anim. E 9 p. 542a19 ὧραι δὲ καὶ ἡλικίαι τῆς ὀχείας ἑκάστοις εἰσὶν ὡρισμέναι τῶν ζῴων ... 26 ἄνθρωπος δὲ μάλιστα πᾶσαν ὥραν 3. 4 ὁρμητικώτεροι] Arist. l. c. E 8 p. 542a32 ὀργᾷ δὲ πρὸς τὴν ὁμιλίαν τῶν ἀνθρώπων τὸ μὲν ἄρρεν ἐν τῷ χειμῶνι μᾶλλον, τὸ δὲ θῆλυ ἐν τῷ θέρει 5 χρόνοι] Arist. l. c. H 4 p. 584a33 τὰ μὲν οὖν ἄλλα ζῷα μοναχῶς ποιεῖται τὴν τοῦ τόκου τελείωσιν· εἷς γὰρ ὥρισται τοῦ τόκου χρόνος πᾶσιν· ἀνθρώπῳ δὲ πολλοὶ μόνῳ τῶν ζῴων· καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα καὶ ἐννεάμηνα γίνεται καὶ δεκάμηνα τὸ πλεῖστον· ἔνιαι δ' ἐπιλαμβάνουσι καὶ τοῦ ἑνδεκάτου μηνός 7 ὅρος] Arist. l. c. H 5 p. 585b2 παύεται δὲ ταῖς γυναιξὶ ταῖς μὲν πλείσταις τὰ καταμήνια περὶ τετταράκοντα ἔτη, αἷς δ' ἂν ὑπερβάλῃ τὸν χρόνον τοῦτον διαμένει μέχρι τῶν πεντήκοντα ἐτῶν καὶ ἤδη τινὲς ἔτεκον· πλείω δὲ χρόνον οὐδεμία. οἱ δ' ἄνδρες οἱ μὲν πλεῖστοι γεννῶσι μέχρι ἑξήκοντα ἐτῶν, ὅταν δ' ὑπερβάλῃ ταῦτα, μέχρι ἑβδομήκοντα· καὶ ἤδη τινὲς γεγεννήκασιν ἑβδομήκοντα ἐτῶν ὄντες. cf. E 14 p. 545b26 γεννᾷ δ' ἄνθρωπος μὲν τὸ ἔσχατον μέχρι ἑβδομήκοντα ἐτῶν ὁ ἄρρην, γυνὴ δὲ μέχρι πεντήκοντα. ἀλλὰ τοῦτο μὲν σπάνιον· ὀλίγοις γὰρ γεννᾶται ἐν ταύταις ταῖς ἡλικίαις τέκνα· ὡς δ' ἐπὶ τὸ πολὺ τοῖς μὲν πέντε καὶ ἑξήκοντα ὅρος, ταῖς δὲ πέντε καὶ τετταράκοντα 10 τέσσαρα καὶ πέντε] Arist. l. c. H 4 p. 584b31 τίκτουσι δὲ καὶ τρία καὶ τέτταρα ... πλεῖστα δὲ τίκτεται πέντε τὸν ἀριθμόν· ἤδη γὰρ ὦπται τοῦτο καὶ ἐπὶ πλειόνων συμβεβηκός. μία δέ τις ἐν τέσσαρσι τόκοις ἔτεκεν εἴκοσιν· ἀνὰ πέντε γὰρ ἔτεκε, καὶ τὰ πολλὰ αὐτῶν ἐξετράφη. cf. Antig. hist. mirab. CXIX Phlegon de mirab. c. 28. Athenarum mentio nullo loco reperitur, unus Plinius VII 33 ex Trogo Peloponnesi meminit 15. 16 ἐν τῷ πρὸ τούτου συντάγματι] A 83—92 (p. 25,6—28,18)
17 ἔστι] Arist. hist. anim. A 1 p. 487b34 τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἀγελαῖα τὰ δὲ μοναδικά ... ὁ δ' ἄνθρωπος ἐπαμφοτερίζει

---

2. 3 οὐκ ἑστῶτες εἰσὶν D 3 αὐτοῖς scripsi: αὐτῆς D 5 καθαθάπερ D 8 πεντήκοντα sic D, fortasse scribendum πέντε ex Arist. l. c. 20 τόποις scripsi: τρόποις D

ἐπὶ τῆς χέρσου. τροφὴ δὲ αὐτοῖς ὅσα παρὰ τὸν ποταμὸν καὶ τὰ ἕλη φύεται.

(38) Ἔστι δὲ τὸ ἦθος ἡ γυνὴ ὡς ἐπὶ πολὺ ἀνδρὸς ἐλεημονεστέρα καὶ ἀριδάκρυον· ἔστι δὲ καὶ φθονερωτέρα καὶ μεμψίμοιρος καὶ φιλολοιδορωτέρα καὶ πληκτικωτέρα μᾶλλον. ἔστι δὲ καὶ δύσφημον τὸ θῆλυ καὶ δυσέλπιστον καὶ ἀναιδέστερον καὶ εὐαπατητότερον καὶ μνημονικώτερον καὶ ἀκινητότερον καὶ τροφῆς ἐλάττονος δεῖται. παρεκτικώτερον δὲ καὶ μεγαλοψυχότερον τὸ ἄρρεν. (39) γνωσθείη δὲ ἄμεινον καὶ ἐκ τοῦ προσώπου τὰ ἤθη οὕτως. μέτωπον τὸ μὲν μέγα βραδυνόου ἤθους σημεῖον, τὸ δὲ μικρὸν εὐκινήτου, τὸ δὲ πλατὺ ἐκστατικοῦ· τούτων δὲ τὸ μέσον ἄριστον. | ὀφρύες αἱ μὲν ἐπ' ὀρθοῦ κείμεναι μαλακὸν καὶ χρηστὸν ἦθος ὑπογράφουσιν, f. 338r αἱ δὲ πρὸς τὴν ῥῖνα κεκλασμέναι στρυφνόν, αἱ δὲ πρὸς τοὺς κροτάφους κεκλασμέναι εἴρωνα, αἱ δὲ κατεσπασμέναι φοβερόν. κανθοὶ οἱ μὲν μικροὶ καλοῦ ἤθους σημεῖον, οἱ δὲ κρεώδεις πρὸς τῷ μυκτῆρι πονηροῦ. καὶ ἐὰν μὲν ὅλος ὁ ὀφθαλμὸς ἔξω ἐξίσχῃ ἀναιδοῦς ἦθος· μικρὸς δὲ ὑπάρχων πανούργου καὶ ἀβεβαίου, ὁ δὲ μέσος ἄριστος. ἀλλὰ ταῦτα μὲν ὑπογραφῆς χάριν εἰρήσθω, πλειόνων δυναμένων λέγεσθαι.

(40) Ὅτι ἀνθρώπου ἀσίτου δῆγμα δυσίατον καὶ ἰχὼρ ἀνθρώπειος προσεγγίσας ἄλλῳ κακόν τι ποιεῖ. (41) πτύελον δὲ ἀνθρώπου ἀναιρεῖ καὶ θαλασσίους σκολοπένδρας. (42) ἐν δὲ Λιβύῃ γένος ἀνθρώπων ἐστὶν

1 τροφὴ] cf. Diod. III 8,6 τροφῇ δὲ χρῶνταί τινες μὲν λαμβάνοντες τὸν γεννώμενον ἐν τοῖς ὕδασι καρπὸν ὃς αὐτοφυὴς ἀνατέλλει περί τε τὰς λίμνας καὶ τοὺς ἑλώδεις τόπους 3 ἔστι δὲ] Arist. hist. anim. I 1 p. 608b8 διόπερ γυνὴ ἀνδρὸς ἐλεημονέστερον καὶ ἀρίδακρυ μᾶλλον, ἔτι δὲ φθονερώτερον καὶ μεμψιμοιρότερον καὶ φιλολοίδορον μᾶλλον καὶ πληκτικώτερον. ἔστι δὲ καὶ δύσθυμον μᾶλλον τὸ θῆλυ τοῦ ἄρρενος καὶ δύσελπι καὶ ἀναιδέστερον καὶ ψευδέστερον, εὐαπατητότερον δὲ καὶ μνημονικώτερον, ἔτι δὲ ἀγρυπνότερον καὶ ὀκνηρότερον καὶ ὅλως ἀκινητότερον τὸ θῆλυ τοῦ ἄρρενος καὶ τροφῆς ἐλάττονός ἐστιν. βοηθικώτερον δέ, ὥσπερ ἐλέχθη, καὶ ἀνδρειότερον τὸ ἄρρεν τοῦ θήλεός ἐστιν 9 μέτωπον] Arist. l. c. Α 8 p. 491b11 προσώπου δὲ τὸ μὲν ὑπὸ τὸ βρέγμα μεταξὺ τῶν ὀμμάτων μέτωπον. τοῦτο δὲ οἷς μὲν μέγα, βραδύτεροι, οἷς δὲ μικρόν, εὐκίνητοι· καὶ οἷς μὲν πλατύ, ἐκστατικοί, οἷς δὲ περιφερές, θυμικοί 11 ὀφρύες] Arist. l. c. Α 9 p. 491b14 ὑπὸ δὲ τῷ μετώπῳ ὀφρύες διφυεῖς· ὧν αἱ μὲν εὐθεῖαι μαλακοῦ ἤθους σημεῖον, αἱ δὲ πρὸς τὴν ῥῖνα τὴν καμπυλότητ' ἔχουσαι στρυφνοῦ, αἱ δὲ πρὸς τοὺς κροτάφους μωκοῦ καὶ εἴρωνος, αἱ δὲ κατεσπασμέναι φθόνου 13 κανθοὶ] Arist. l. c. p. 491b23 κανθοὶ δύο . . . οἳ ἂν μὲν ὦσι μακροί, κακοηθείας σημεῖον, ἐὰν δ' οἷον οἱ κτένες κρεῶδες ἔχωσι τὸ πρὸς τῷ μυκτῆρι, πονηρίας 15 ὀφθαλμὸς] Arist. l. c. Α 10 p. 492a7 τῶν δ' ὀφθαλμῶν οἱ μὲν μεγάλοι, οἱ δὲ μικροί, οἱ δὲ μέσοι· οἱ μέσοι βέλτιστοι. καὶ ἢ ἐκτὸς σφόδρα ἢ ἐντὸς ἢ μέσως· τούτων οἱ ἐντὸς μάλιστα ὀξυωπέστατοι ἐπὶ παντὸς ζῴου, τὸ δὲ μέσον ἤθους βελτίστου σημεῖον. καὶ ἢ σκαρδαμυκτικοὶ ἢ ἀτενεῖς ἢ μέσοι· βελτίστου δὲ ἤθους οἱ μέσοι, ἐκείνων δ' ὁ μὲν ἀναιδής, ὁ δ' ἀβέβαιος 18 ἀνθρώπου] cf. Ael. nat. anim. IX 15 (p. 223,12 H.) 19 πτύελον] cf. Ael. nat. anim. IV 22 p. 89,8 H. VII 26 p. 187,21 H. 20 ἐν δὲ Λιβύῃ] cf. Agatharchides apud Ael. l. c. XVI 27 p. 404,4—21 H.

4 ἀριδάκρυον scripsi: ἀειδάκρυον D 6 εὐαπατητότερον scripsi: εὐαπατικώτερον D 7 ἐλάττονος scripsi: ἔλαττον D 9 ἤθη scripsi: ἔθη D 13 κανθοὶ scripsi: Ξανθοί· errore rubricatoris D μικροὶ καλοῦ sic D, at cf. Arist. supra cit. 20 θαλασσίους sic D cf. Eurip. I. T. 236

οὐδὲν ἡμῶν διαφέρον, τὸ ⟨δὲ⟩ σῶμα ξένον τι ἔχει· τὰ γὰρ δάκνοντα τῶν θηρίων οὐδὲν αὐτοὺς ἀδικεῖ. ὄφεως γοῦν καὶ φαλαγγίου καὶ σκορπίου δακόντος αὐτούς, ἐκεῖνο μᾶλλον εἰς ἀναισθησίαν ὑπνοποιὸν κατολισθαίνει. ἐλέγχουσι δὲ καὶ τὰ νόθα τέκνα ἀπὸ τῶν γνησίων· προσφέρουσι γὰρ αὐτὰ τοῖς θηρίοις καὶ δάκνονται· καὶ τὰ μὲν γνήσια οὐ πάσχει, τὰ δὲ νόθα ξένης ὄντα γενέσεως ἀποθνήσκει φαρμασσόμενα.

(43) Ὅτι, φησί, πλησίον τῶν ἀδίψων ἰχθυοφάγων οἱ κατοικοῦντες ὥσπερ ἀπαραβάτων σπονδῶν μεταξὺ τεθέντων αὐτῶν τε καὶ τῶν φωκῶν, οὔτε αὐτοὶ τὰς φώκας σίνονται οὐδὲ ὑπ' ἐκείνων οὗτοι βλάπτονται, ἀλλὰ καὶ ἀλλήλων θήρας ἀνεπιβουλεύτους τῷ θηράσαντι ἑκάτερον γένος συντηρεῖ, καὶ συναναστρέφονται οὕτως ἀλλήλοις ὡς μόλις ἂν εὑρεθεῖεν πρὸς ἀνθρώπους συμβιοῦντες ἄνθρωποι.

(44) Ὅτι τῶν ἰχθυοφάγων οἱ μὲν σκηνώμασι τοῖς σπηλαίοις οὐ τετραμμένοις πρὸς μεσημβρίαν διὰ τὸ πνιγῶδες, ἀλλὰ τοῖς ἀπεστραμμένοις αὐτὴν χρῶνται· οἱ δὲ ὑπὸ ταῖς τῶν ἰχθύων πλευραῖς, φυκία ἐπιβάλλοντες αὐτοῖς· οἱ δὲ τὰς τῶν ἐλαιῶν κορυφὰς ἀλλήλαις συνάπτοντες, εἶτα χρῶνται σκηνώμασι. τὴν δὲ τοιαύτην ἐλαίαν καρπὸν φέρειν φησὶ κασταναϊκῷ καρύῳ προσεμφερῆ. τὸ δὲ τέταρτον | τῶν ἰχθυοφάγων γένος τὴν οἴκησιν ἔχει f. 338v τοιαύτην. ἄμμου φόρτος ἄπλετος ἐκ τοῦ παντὸς αἰῶνος, ὄρει παραπλήσιος, σεσώρευται, καὶ πᾶς οὗτος ὑπὸ τοῦ προσβάλλοντος ἀεὶ κύματος σκληρῶς πεπιλημένος, ὥστε ὁμογενοῦς ὄγκου καὶ μίαν φύσιν ἔχοντος διὰ τὴν μίξιν καὶ συμπλοκὴν τῆς ἄμμου μηδὲν παραλλάσσειν· εἶτα ὑπονόμους αὐτοῖς ἀνδρομήκεις ὀρύττουσι, τὸν μὲν κατὰ κορυφὴν ὄγκον ἐῶντες ὠχυρῶσθαι καὶ στέγην διὰ τῆς εἰρημένης συνδέσεως ἔχοντες, ἐκ δὲ τοῦ κάτωθεν ἐδάφους παραμήκεις αὐλῶνας κατασκευάζοντες, πρὸς ἀλλήλους πάντοθεν συντετρημένους, ἐν οἷς τέως μέν τινες τὰ πρὸς τὸν ἄνεμον φωτίσαντες ἄγουσιν ἡσυχίαν, ἐπὰν δὲ πλημμυρὶς ἐπέλθῃ, τὰ πρὸς τὴν ἄγραν ὡς προείρηται, παρασκευάζονται. τοὺς μέντοι τελευτῶντας αὑτῶν οὐδεμιᾶς ἀξιοῦσι προνοίας, ἀπαθῆ πρὸς τὸν ἐκ δόξης ἔλεον κεκτημένοι τὴν γνώμην· διὸ καὶ κεῖσθαι ἐρριμμένους ἐῶσιν, ἕως ἂν ἄμπωτις ἐπιγενομένη τροφὴν εἰς τὴν θάλασσαν κομίσῃ τούτοις τοῖς ἰχθύσι.

---

7 ὅτι, φησί] Agatharchides apud Photium Bibl. p. 450b 12—19. cf. Diod. Bibl. III 18,7 (ed. Dind. 1866) 13 ὅτι] Agath. apud Phot. Bibl. p. 450b 20—451, 3. cf. Diod. III 19

---

1 δὲ addidi 8 ἀπαραβάτων D: ἀβάτων codd. ς Phot. τεθέντων Phot.: τιθέντων D 9 σίνονται Phot.: σίνουσιν D οὐδὲ D: οὐδ' Phot. 13 ἰχθυοφάγων D: ἰχθυοφάγων, φησίν, Phot. desideres οὐ ⟨τοῖς⟩ sed om. etiam Phot. 20 σκληρῶς Phot.: σκληρῷ D 21 ὥστε Phot.: ὥσπερ D ὄγκου Phot.: ὄγκον D 22 ὑπονόμους Phot.: ὑπὸ νόμους D 23 ὠχυρῶσθαι Phot.: ὀχυρῶσθαι D 24 στέγην Diodorus: στέγης D: στέγειν Phot. 24 ἔχοντες scripsi: ἔχουσιν D: om. Phot. 25 κατασκευάζοντες scripsi: κατασκευάζουσι D: κατασκευαζόμενοι Phot. 26 τινες D. B cod. Phot.: τινος ed. Phot. 27 ὡς καὶ Phot. μέντοι γε Phot. αὑτῶν scripsi: αὐτῶν D Phot. 30 ἐριμμένους D ἄμπατις D 31 ἰχθύσιν Phot.

(45) Περὶ ἐνίων ἄπορον παρεχόντων τὸν ὅθεν ἐπῳκήκασι τρόπον. Ὅτι, φησίν, ἐνίους τῶν ἀπὸ τῆς θαλάττης σιτουμένων μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχειν παραδοξότερον καὶ εἰς λογικὴν καταχωρῆσαι πίστιν οὐ ῥᾴδιον. οὔτε γὰρ πόθεν εἰς τὸν χῶρον, ἐν ᾧ οἰκοῦσιν, ἀφίκοντο ἔστιν ἐπιγνῶναι οὔτε ὅπως, λισσῆς μὲν πέτρας ἄνωθεν ἐπεζευγμένης, ἐκ πλαγίου δὲ κρημνῶν ἀφαιρουμένων τὰς παρόδους, τὴν δὲ ἀπέναντι πᾶσαν ὁρίζοντος, ὃ καὶ πεζῇ μὲν ἐλθεῖν παντελῶς, ὡς εἶπον, ἀδύνατον, σχεδίαις δὲ ὁμοίως ἀπορίᾳ τῶν παρ' ἡμῖν ἐξ ἴσου ἄπορον. τούτων δὲ ὑφεστώτων, φησί, λοιπὸν εἰπεῖν ὡς αὐθιγενεῖς εἰσι μνήμην τοῦ πρώτου σπέρματος οὐ λαβόντες, ἀεὶ δὲ ὑπάρχοντες ὃν τρόπον ἔνιοι τῶν καλουμένων ὡρίσαντο φυσικῶν.

(46) Ὅτι τῶν στενῶν ἐπέκεινα, φησί, τῶν συγκλειόντων τὴν Ἀραβίαν καὶ τὴν ἀπέναντι χώραν νῆσοι κεῖνται σποράδες, ταπειναὶ πᾶσαι, μικραὶ τῷ μεγέθει, τὸ πλῆθος ἀμύθητοι, καρπὸν οὐδένα γεννῶσαι πρὸς τὸν βίον, οὔτε ἥμερον οὔτε ἄγριον, ἀπέχουσαι μὲν τῆς εἰρημένης ἠπείρου σταδίους ὡς ἑβδομήκοντα, τετραμμέναι δὲ πρὸς τὸ δοκοῦν πέλαγος παρεκτείνειν τὴν Ἰνδικὴν καὶ | Γεδρωσίαν. ἐνταῦθα κῦμα μὲν οὐ γίνεται, ἀλλ' ἄλλῃ μὲν f. 339r ἄλλης προκαθημένη τὸν κλύδωνα τοῖς ἀκρωτηρίοις λαμβάνει· ἀέρων δὲ τὸν ἄριστον δοκοῦσιν ἔχειν. ταύτας ἄνθρωποι κατανέμονται ζῶντες βίον τοιοῦτον. ἐν τῷ παρήκοντι πελάγει, τραχεῖ τε καὶ χειμερίῳ ὑπάρχοντι τελείως, γίνεται τῷ πλάτει καὶ τῷ μεγέθει πλῆθος ἄπιστον χελωνῶν ἃς θαλαττίας πάντες νομίζομεν. αὗται νυκτὸς μὲν ἐν τῷ βυθῷ νέμονται, καὶ ἡμέρας διὰ τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι κοιμῶνται, καὶ τοῦτο ποιοῦσι πρὸς τὸν ἥλιον μετέωροι, ταῖς κατεσκευασμέναις πορθμίσιν ὁμοιοπαθεῖς. ταύτας κατ' ἐκεῖνο καιροῦ ⟨οἱ⟩ ἐπιχώριοι τέχνῃ καὶ σπουδῇ καὶ μερίμναις εἰς τὴν χέρσον ἐκβαλόντες, τὰ μὲν ἐντὸς ἅπαντα σιτοῦνται βραχὺν παροπτήσαντες ἐν τῷ καύματι χρόνον, τοῖς δὲ κύτεσι χρῶνται τὰς

2 ὅτι] Agath. apud Phot. Bibl. p. 451a4—16. cf. Diod. III 20  11 ὅτι] Agath. apud Phot. Bibl. p. 451a17—451b1. cf. Diod. Sic. III 21

1 ερὶ omisso Π a rubricatore D  2 ὅτι Phot.: τι omisso Ὅ a rubricatore D  5 ἐπεζευγμένης Phot.: ἐπιζευγμένης D  6 παρόδους, τὴν δὲ Phot.: παρὰ τήνδε D  post πᾶσαν om. τοῦ πελάγους, quod habet Diod. D Phot.  7 ἐλθεῖν D Phot.: διελθεῖν Diod.  ὃ] δ' Phot.  8 φησί Phot.: φασὶ D  11 ἀρραβίαν D  13 ἀμύθητοι Phot.: ἀμύθητον D  14 ἄγριον, ἀπέχουσαι Phot.: ἄγιον. ἀπέχουσι D  15 τετραμμέναι Phot.: τετραμμέναις D  16 Γεδρωσίαν Phot.: γεδρασίαν D  ἄλλῃ μὲν D Phot.: μὲν expunxit Bekker  18 ταύτας D Bekker: ταύταις libri Phot.  κατανέμονται ἀριθμῷ μὲν [οὐ] σύμμετροι, ζῶντες δὲ Phot.  19 τε om. Phot.  20 τελέως Phot.  21. 22 καὶ ἡμέρας διὰ τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι D: ἡμέρας δὲ εἰς τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι Phot.: τὰς δ' ἡμέρας εἰς τὴν ἀνὰ μέσον τῶν νήσων θάλατταν φοιτῶσαι Diod.  23 κατεσκευασμέναις D Phot.: κατεστραμμέναις Diod.  24 ταύτας Phot.: τούτους D  οἱ addidi ex Phot.  25 μερίμναις D: μερμίθαις recte Phot. μέρμιθα Diod.  σιτοῦνται Phot.: σιτοῦντας D  26 κύτεσι Phot.: σκύτεσι D  ante τὰς habet πρὸς Diod., sed om. D Phot.

σκηνώσεις, καθιστῶντες οἱονεὶ καλύβας ἐφ' ὑψηλοῖς τόποις πρηνεῖς· καὶ πρὸς τοὺς διάπλους δὲ ὑδρείας ἕνεκα κέχρηνται αὐτοῖς, ὥστε εἶναι τὸ αὐτὸ ναῦν, οἰκίαν καὶ ἀγγεῖον καὶ τροφὴν τοῖς εἰρημένοις ἀνθρώποις.

(47) Ὅτι οὐ πολὺ διεστῶτες τοῦ εἰρημένου γένους σύμμετροι τῷ ἀριθμῷ βίον ἔχουσι τοιοῦτον. ἐκ τῶν ἐκριπτουμένων εἰς τὴν χέρσον κητῶν ἀποζῶσι, σπανιζούσης δὲ αὐτοῖς τῆς τοιαύτης σιτήσεως (γίνεται δὲ πολλάκις) ἐκ τῶν ὀστῶν τούς τε χόνδρους καὶ τὰ ἄκρα τῶν πλευρῶν κατεργαζόμενοι τὴν ἔνδειαν, εἰ καὶ χαλεπῶς, ὅμως παραμυθοῦνται. τὰ μὲν οὖν τῶν ἰχθυοφάγων γένη, φησίν, ἃ κατειλήφαμεν, μυρίων ὄντων ἃ τὴν ἡμῶν διέφυγε γνῶσιν, τοσαῦτα.

(48) Ὅτι τῆς ζωῆς ἡμῶν ἡμῖν ἐφεστώσης ἔν τε τοῖς περιττοῖς καὶ τοῖς ἀναγκαίοις, τὰ εἰρημένα γένη τῶν ἰχθυοφάγων τὰ μὲν ἄχρηστα περιγεγράφασι, τῶν δὲ καθηκόντων οὐδὲν ἐλλείπουσι, τῇ θείᾳ πρὸς τὸ ζῆν ὁδῷ βραβευόμενοι πάντες, οὐ τῇ παρασοφιζομένῃ ταῖς δόξαις τὴν φύσιν. οὐ γὰρ ἀρχῆς ἱμειρόμενοι τυχεῖν ἀγωνίᾳ φιλονείκῳ καὶ δυστυχεῖ συνέχονται, οὐδὲ πλεονεξίας ἐρῶντες πολλὰ μὲν ἄλλους δρῶσι, πολλὰ δὲ πάσχουσι τῶν οὐκ ἀναγκαίων | οὐδὲ † ἐχθροῖς ἀνθιστάμενοι μείζουσιν ἐπὶ βλάβῃ f. 339v σώματος χρῶνται πολεμίου, σφάλλονται δὲ ἐν εὐτυχίαις οἰκείων· οὐδὲ ναυτιλλόμενοι, κέρδους ἕνεκα τὸ ζῆν ὑπερτείναντες, προσπταίσμασι τοῦ βίου μετροῦσι τὴν λύπην, ἀλλὰ μικρῶν δεόμενοι ⟨μικρὰ καὶ πενθοῦσι, τὸ μὲν ἀρκοῦν κτώμενοι⟩, τὸ δὲ πλέον οὐ ζητοῦντες. ἐνοχλεῖ δὲ ἕκαστον οὐ τὸ ἀγνοούμενον, εἰ μὴ πάρεστιν, ἀλλὰ τὸ βουλητόν, ὅταν ὑστερίζῃ τοῦ καιροῦ τῆς [δὲ] ἐπιθυμίας σπευδούσης. οὐκοῦν ἐκεῖνος πάντ' ἔχων ἃ θέλει εὐτυχήσει κατὰ τὸν τῆς φύσεως λογισμόν, οὐ κατὰ τὸν τῆς δόξης. νόμοις δὲ οὐ διοικοῦνται· τί γὰρ δεῖ προστάγματι δουλεύειν τὸν χωρὶς γράμματος εὐγνωμονεῖν δυνάμενον;

(49) Ὅτι μετὰ τοὺς ἰχθυοφάγους παρὰ τὸν Ἀσταβάραν ποταμόν, ὃς φέρεται μὲν ἀπὸ τῆς Αἰθιοπίας καὶ τῆς Λιβύης, ἔστι δὲ τοῦ Νείλου πολλῷ ταπεινότερος, συμβάλλων δὲ τὴν οἰκείαν ὁρμὴν τῷ μείζονι ῥείθρῳ νῆσον ποιεῖ τῇ περιρρύσει τὴν Μερόην· παρὰ γοῦν τὸν εἰρημένον ποταμὸν ἐπ'

4 ὅτι] Agath. apud Phot. Bibl. p. 451b2—10. cf. Diod. III 21,6 11 ὅτι] Agath. apud Phot. Bibl. p. 451b11—30 27 ὅτι] Agath. apud Phot. Bibl. p. 451b31—452a11 cf. Diod. III 23,1

1 post πρηνεῖς iteravit καθιστῶντες Phot. 2 δὲ ὑδρίας D: καὶ ὑδρείας Phot. at cf. Diod. 3 οἰκίαν ἀγγεῖον τροφὴν Phot. 4 ὅτι scripsi: τι omisso Ὅ a rubricatore D 5 ἐκριπτουμένων Phot.: ἐρριπτουμένων D 6 σιτήσεως Phot.: κτήσεως D 12. 13 περιγεγράφασιν ἅπαντα, φησί Phot. 13 θείᾳ D Phot.: ἰθείᾳ coni. Bekker 17 οὐδ' ἔχθρας ἐνιστάμενοι μείζους ἐπὶ βλάβῃ σ. π. σφάλλονται [δ'] (expunxit Bekk.) ἐν ἀτυχίαις οἰκείων Phot.; turbae a δὲ illo Photii ortae latius serpserunt. excerptoris sententiam vix assequaris 18 χρῶνται sic D: om. Phot. 20 μικρὰ—κτώμενοι Phot.: om. homoeoteleuto deceptus D 23 τῆς δὲ D: τῆς Phot. 25 διοικοῦνται D: δικαιοῦνται Phot. 27 Ἀσταβάραν D Phot.: τὸν Ἄσαν καλούμενον Diod. 28 ἀπὸ D: διὰ Phot. 30 περιρύσει D

ἀμφοτέροις κατοικεῖ τοῖς χείλεσιν ὄχλος οὐ πολὺς μέν, τῷ δὲ βίῳ τοιοῦτος. ἐκ τοῦ παρήκοντος ἕλους τὰς ῥίζας τῶν καλάμων ὀρύττει, κἄπειτα πλύνας καθαρῶς ἐκκόπτει λίθοις πρὸς μέρος, ποιήσας δὲ λεῖον καὶ κολλῶδες † ἐνέπλασεν ἐκμαγίσας καὶ οὐ χειροπληθεῖς ὄγκους, εἶτα ἐν τῷ καύματι παροπτῶν, ταύτην ἔχει προσφοράν. ἔχουσι δὲ οὗτοι κακὸν ἄφυκτον, τοὺς ἐν τοῖς ἕλεσι λέοντας ἐπιτιθεμένους αὐτοῖς. ὑπὸ δὲ τὴν ἐπιτολὴν τοῦ κυνὸς γίνεταί τι κωνώπων πλῆθος ἄπλετον, τηλικαύτην ἔχον δύναμιν ὥστε τὸν λαὸν εἰς τὰς λιμνώδεις ὑγρασίας ἀπελθόντα ἐκεῖ μένειν ἀφανῆ. ὑφ᾽ ὧν καὶ οἱ λέοντες ἐκτοπίζονται οὐχ οὕτως ὑπὸ τοῦ δηγμοῦ δηλούμενοι, καίπερ ὄντος ἐπαχθοῦς, ὡς τὸν ἀπὸ τῆς φωνῆς ἦχον ἀλλόφυλον ἀδυνατοῦντες φέρειν. ἀλλὰ ταῦτα μὲν ἀπηγγέλθω τοῦ παραδόξου χάριν· τί γὰρ ἰδιώτερον ⟨ἢ⟩ λέοντας μὲν ἐκχωρεῖν κώνωψιν, ἀνθρώπους δὲ σώζεσθαι ὑπὸ τοιούτου κινδύνου;

(50) Ὅτι τοῖς εἰρημένοις, φησί, τὸ τῶν ὑλοφάγων καὶ τῶν τὰ σπέρματα σιτουμένων ἐγγίζει γένος, βραχεῖαν ἔχον τὴν παραλλαγήν. οἱ μὲν γὰρ τὸν πίπτοντα καρπὸν ἀπὸ τῶν δένδρων σιτοῦνται | ὑπὸ τὴν θερείαν, f. 340r
τὸ δὲ λοιπὸν τῆς πόας ἅπτονται τῆς ἐν τοῖς σκιεροῖς ἄγκεσι γινομένης στερεᾶς τε τὴν φύσιν καὶ καυλὸν ἐκτρεφούσης παρόμοιον ταῖς καλουμέναις βουνιάσιν· οἱ δὲ τῆς ὕλης τὴν ἁπαλὴν σιτοῦνται. οὗτοι τὰς μὲν νύκτας κοιμῶνται τόπον ἀπὸ τῶν ἐκεῖ θηρίων πρὸς ὀχύρωσιν ἐκλελεγμένοι καὶ φυλακήν· ἅμα δὲ ἡλίῳ μετὰ τέκνων καὶ γυναικῶν ἐπὶ τὰ δένδρα πάντες ἀναβαίνουσι, σπουδῇ καταλαβεῖν ζητοῦντες τοὺς ἄκρους κλῶνας· κἀκεῖθεν τὴν ἁπαλωτάτην ὕλην ἀμέλγοντες εὐμαρῶς σιτοῦνται. τοιαύτην δὲ ἐκ τοῦ παντὸς βίου περιπεποίηνται τὴν ἕξιν, ὥστε καὶ τὰ τῆς ἀναδρομῆς ἄπιστον ἔχειν τὴν θέαν καὶ τὴν συντονίαν οὐ χειρῶν μόνον καὶ δακτύλων καὶ ποδῶν, ἀλλὰ καὶ τῶν μερῶν τῶν ὑπολοίπων ἁπλῶς. μεταπηδῶσι γὰρ εὐπόρως ἀπ᾽ ἄλλου πρὸς ἕτερον ἀκρεμόνα, καὶ τοὺς κλάδους ἀλλήλων πολλάκις ἐν τοῖς ἐπισφαλεστάτοις τόποις ἀφαιροῦνται, καὶ τοιαῦτα ἐνδείκνυνται, ὥστε τὸν ἰδόντα αὐτὸν μὲν ἐκπλήττεσθαι, μὴ μέντοι θαρρεῖν εἰς τοὺς ἀπείρους ἐξαγγέλλειν. καὶ πάντα δὲ κλάδον τοῖς ὀδοῦσιν ἔγχυλον ἀπεργάζονται, καὶ ταῖς κοιλίαις εὐπόρως πέττουσι· καὶ τὸ σφαλὲν ἄνωθεν σῶμα

14 ὅτι] Agath. ap. Phot. Bibl. p. 452a 12—40. cf. Diod. III 24

4 ἐνέπλασεν ἐκμαγίσας, καὶ οὐ corrupte D: ἀνέπλασεν ἐκ μαγίδος εἰ καὶ οὐ (sic) Phot., quod verum videtur, si εἰκαίου pro εἰκαίας non deficiente analogia dictum esse Dielesio credas: Diod. simpliciter περιπλάσαντες χειροπληθιαίους (χειροπληθεῖς codd. vulgares) ὄγκους
9 δηλούμενοι Phot.: δειλούμενοι D et B Phot.: ὑπὸ τοῦ δήγματος κακουχουμένους Diod. 10 ἀπὸ τῆς D Diod.: ὑπὸ τῆς Phot. 12 ἢ Phot.: om. D 14 τοῖς εἰρημένοις Phot.: τοὺς εἰρημένους D τὰ Phot.: om. D 16 ὑπὸ D: καὶ ὑπὸ Phot.: καὶ expunxit Bekker θερείαν Phot. Diod.: θεωρίαν D 17 ἄγκεσι Phot.: ἕλεσι D: συναγκείαις Diod. 18 στερεᾶς τε Phot.: στερεοῦνται D 20 ἐκλελεγμένοι D: ἐξειλεγμένοι Phot. 22 καταλαβεῖν Phot.: καταβαλεῖν D 24 περιπεποίηνται D: πεποίηνται Phot. 25 συντονίαν Phot.: συντομίαν D 26 ἁπλῶς Phot.: ἁπαλοῖς D 30 ἔγχυλον D Phot. Diod.: forsitan ἔγκοιλον 30. 31 ἀπεργάζονται D: κατεργάζονται Phot.

διὰ τὴν ἰσχνότητα οὐ βαρείας τυγχάνει τῆς πληγῆς. οὗτοι δὲ γυμνοὶ μέν εἰσι πάντες, κοιναῖς δὲ χρῶνται καὶ γυναιξὶ καὶ τέκνοις, πολεμοῦσι δὲ περὶ τῶν τόπων ἀλλήλοις, μεταλλάττουσι δὲ οἱ πλεῖστοι λιμῷ πιεζόμενοι, γλαυκωμάτων περὶ τὰ πεντήκοντα ἔτη τοῖς ὄμμασιν ἐπιτρεχόντων.

(51) Ὅτι μετὰ τοὺς εἰρημένους εἰσὶν οἱ παρὰ τοῖς ἐγχωρίοις λεγόμενοι κυνηγέται. οὗτοι δὲ διὰ τὴν τῶν θηρίων φοράν, ἣν ὁ τόπος ἄπλετον φέρει, ἐν τοῖς δένδρεσι μὲν σκηνοῦσιν, ἐξ ἐνέδρας δὲ ἀγρεύοντες τὰ θηρία τροφὴν ἑαυτοῖς ταῦτα ποιοῦνται. εἰσὶ καὶ τοξείας ἐπιστήμονες. ἐπὰν δὲ θήρας ἀπορῶσι, τοῖς δέρμασι τῶν προτεθηραμένων τὴν ἔνδειαν ἀναπληροῦσι, βρέξαντες τὰς βύρσας καὶ ἐπ' ἀνθρακιὰν κούφην ἐπιβαλόντες, εἶτα σποδιάσαντες καὶ εἰς διαίρεσιν ἀγαγόντες.

(52) Ὅτι μετὰ τοὺς εἰρημένους, πολὺ τούτων ἀφεστῶτες καὶ πρὸς ἑσπέραν μᾶλλον ἀνατείνοντες, εἰσὶν οἳ ἐκ τῆς τῶν ἐλεφάντων θήρας τὸν βίον ποιοῦνται. οἱ μὲν ἀπὸ δένδρων ἐφ' ὧν κάθηνται σκοποῦντες τὰς | παρόδους τῶν θηρίων, ταῖς μὲν χερσὶ τῆς οὐρᾶς λαβόμενοι, τοῖς ποσὶ δὲ f. 340v πρὸς τὸν μηρὸν τὸν ἀριστερὸν ἐπιβαίνουσιν· εἶτα πελέκει, ὃν ἐπιτήδειον καὶ ἕτοιμον ἔχουσι, τὴν δεξιὰν ἰγνὺν πυκναῖς ταῖς πληγαῖς χρώμενοι νευροκοποῦσιν· οὕτω δὲ ἐκτενῶς τῇ μὲν καταφέροντες τῇ δὲ τῆς οὐρᾶς κρατοῦντες ὡς ἄθλου προκειμένου τῆς ψυχῆς· ἢ γὰρ ἀποκτεῖναι ἐχρῆν ἢ τελευτᾶν, ἄλλην τοῦ καιροῦ διέξοδον οὐκ ἔχοντος. ἐπὰν δὲ τὸ ζῷον ἐκ τῆς πληγῆς καὶ τῆς αἱμορραγίας πέσῃ, οἱ συνθηραταὶ παραγίνονται ἐπὶ τὸ πτῶμα, καὶ τοῦ θηρίου ζῶντος ἔτι παρατέμνοντες ἐκ τῶν ὀπισθίων τὰς σάρκας εὐωχοῦνται, τὸν ἔσχατον τοῦ καταπονηθέντος οὕτως ὑπομένοντος θάνατον. ἀλλ' οἱ μὲν μετὰ τοῦ ἐσχάτου κινδύνου ἐλεφαντοθῆραι οὗτοι· ἕτεροι δὲ θηρῶσιν αὐτοὺς οὕτως. τρεῖς ἄνδρες ἓν μὲν ἔχοντες τόξον, ὀϊστοὺς δὲ πλείους, κεχρισμένους τῇ χολῇ τῶν ὄφεων, ἑστᾶσιν ἐν δρυμῷ παρὰ τὰς τῶν θηρίων διεξόδους. ἐπὰν οὖν προσάγῃ τὸ ζῷον, ὁ μὲν εἷς κατέχει τὸ τόξον τῷ ποδὶ προσβεβηκώς, οἱ δὲ δύο τὴν νευρὰν ἑλκύσαντες ἐκ τῆς ἁπάσης βίας ἀφῆκαν τὸ βέλος, ἕνα σκοπὸν ἔχοντες, ἐπὶ μέσην τὴν πλευράν, ὥστε διελάσαι τῆς περιοχῆς ἐντὸς καὶ τοὺς κυρτοὺς τεμεῖν καὶ τρῶσαι τόπους. ἐκεῖθεν τὸ τηλικοῦτον θηρίον ἐλαυνόμενόν τε καὶ σπαραττόμενον διαλύεται καὶ πίπτει. (53) τρίτον δέ ἐστι γένος ἐλεφαντοφάγων οἵ,

---

5 ὅτι] Agath. ap. Phot. Bibl. p. 452a40—452b7. cf. Diod. III 25 12 ὅτι] Agath. ap. Phot. Bibl. p. 452b8—34. cf. Diod. III 26 32 τρίτον] Agath. ap. Phot. Bibl. p. 452b34—453a15 cf. Diod. III 27. Strab. XVI p. 772

---

1 οὗτοι Phot.: οὕτω D 2 χρῶνται δὲ κοινοῖς καὶ τέκνοις καὶ γυναιξὶ Phot. 6 κυνηγέται D Phot.: κυνηγοὶ Diod. δὲ D: om. Phot. 10. 11 σποδιάσαντες D: σποδίσαντες Phot. Diod. 12 πολὺ Phot.: πολλοὶ D 13 ἑσπέραν Phot.: ἐέσπέραν D 14 δένδρων ἐφ' ὧν D: δένδρου ἐφ ᾧ Phot. 16 πρὸς Phot. Diod.: ὡς D ἐπιβαίνουσιν D Phot.: scribendum ἐπιβαίνοντες 18 τῇ μὲν Phot.: τὴν μὲν D 19 ἄθλου προκειμένου Phot.: ἄθλους προκειμένους D χρὴ Phot. 20 δι' ἔξοδον D 24 ἐλεφαντοθῆραι Phot.: ἐλεφαντόθηρες D οὗτοι D: τοιοῦτοι Phot. 30 διελάσαι D: διανύσαι Phot. 32 οἵ D: ὅ Phot.

ἐπειδὰν οἱ ἐλέφαντες τῆς νομῆς ἐμφορηθέντες πρὸς ὕπνον τραπέσθαι ζητῶσιν, (οὐκ ἐπὶ γῆς δὲ ἀναπεσόντες ὑπνοῦσιν, ἀλλὰ τοῖς παχυτάτοις καὶ μεγίστοις δένδρεσι προσανακλίναντες ἑαυτούς, ὥστε τοὺς μὲν δύο πόδας ⟨τοὺς πλησίον⟩ τοῦ στελέχους πρὸς τὴν γῆν ἐλαφρῶς ὑπερείδεσθαι, τὴν δὲ πλευρὰν τὸ πᾶν σῶμα ἐκδεχομένην ὀχεῖσθαι πρὸς τῇ φύσει τοῦ ξύλου, καὶ τοῦτον τὸν τρόπον τῆς καταφορᾶς τυγχάνειν οὐκ εἰλικρινοῦς, ἀλλὰ παρεψευσμένης, διὰ τὸ προσκεῖσθαι τοῖς βαθέσιν ὕπνοις ἀγωνίαν ἰσχυράν, φθορᾶς ὑποκειμένης παραχρῆμα τῷ σφαλέντι διὰ τὴν ἔκλυσιν τὴν φυσικήν)· οἱ οὖν ἀπὸ τῆς τούτων θήρας τὸν βίον ποιούμενοι, τοὺς δρυμοὺς περιπλανώμενοι καὶ τὴν τοῦ θηρίου κοίτην ἐπισημηνάμενοι, ἐκ τῶν ὄπισθεν τοῦ δένδρου τόπων πρίζουσιν ἕως ἂν μήτε | κλίνοιτο πᾶν μήτε ἰσχῦον f. 341r ἄγαν καὶ ἰσχυρὸν ἀπολείποιτο, μένει δὲ ἑστηκὸς ἐπὶ βραχείας ῥοπῆς. τὸ δὲ ζῷον ἀπὸ τῆς νομῆς ἐπὶ τὸν συνήθη τόπον τῆς κοίτης ἀνακλινόμενον αἰφνίδιόν τε πίπτει τοῦ ξύλου κλασθέντος, καὶ πρόκειται τοῖς θηρευταῖς δεῖπνον ἕτοιμον. τὰς γὰρ ὀπισθίους κόψαντες οὗτοι σάρκας, καὶ ποιήσαντες ἔξαιμον τὸ ζῷον, εἶτα νεκρόν, πρὸς τὴν ἑαυτοῦ χρείαν ἕκαστος τὰ μέλη διαιροῦσιν.

(54) Ὅτι Πτολεμαῖος ὁ βασιλεὺς πολλὰ τοῖς ἐλεφαντοφάγοις ὑποσχόμενος οὐκ ἔπεισεν ἀποσχέσθαι τῆς βρώσεως αὐτῶν.

(55) Ὅτι τούτους τοὺς κυνηγοὺς Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεύς, ἀποσχέσθαι τοῦ φόνου τῶν ἐλεφάντων παραινῶν ἵν' ἔχῃ αὐτοὺς ζῶντας καὶ πολλὰ καὶ θαυμαστὰ αὐτοῖς ὑπισχνούμενος, οὐ μόνον οὐκ ἔπεισεν, ἀλλ' οὐδὲ ἂν τὴν ὅλην ἀλλάξασθαι βασιλείαν πρὸς τὸν ἐφεστῶτα βίον εἰπόντων ἀπόκρισιν ἤκουσεν.

(56) Ὅτι τῶν κυνηγῶν τούτων, οὓς οἱ νομάδες Ἀκαθάρτους καλεῖν εἰώθασι τὸ μὲν πρὸς ἑσπέραν ἀπόσπασμα Αἰθιόπων νέμονται οὓς καλοῦσι Σιμούς, τὰ δὲ πρὸς μεσημβρίαν οὐ μέγα ἔθνος οἱ καλούμενοι Στρουθοφάγοι, οἳ ταύτας τέχνῃ καὶ δόλῳ καὶ ῥοπάλοις θηρεύοντες, ἐκ τούτων βιοῦσι, σιτούμενοι μὲν τὰς σάρκας, ἐνδύσει δὲ καὶ στρωμνῇ τοῖς αὐτῶν χρώμενοι δέρμασι. πολεμούμενοι δὲ ὑπὸ τῶν Σιμῶν οὗτοι, τοῖς τῶν ὀρύγων κέρασιν ὅπλοις χρῶνται, μεγάλοις καὶ τμητικοῖς οὖσι· τρέφει δὲ ἡ χώρα πολυπληθὲς τὸ ζῷον τοῦτο.

---

18 ὅτι] unde haec? 20 ὅτι τούτους] Agath. apud Phot. Bibl. p. 453a16—21
25 ὅτι] Agath. apud Phot. Bibl. p. 453a22—31. cf. Diod. III 28. Strab. XVI p. 772

---

1. 2 ζητῶσιν Phot.: ζητοῦσιν D 3 προσανακλίνοντες Phot. 4 τοὺς πλησίον addidi ex Phot. στελέχους Phot.: στελέχου D 5 πρὸς] fortasse πως 11 πρίζουσιν D: πρίουσιν Phot. κλίνοιτο D: κλίνῃ τὸ Phot. 12 καὶ ἰσχυρὸν D Phot.: expunxit Bekker ἀπολείποιτο Phot.: ἀπολίποιτο D μένει D et Phot.: μένῃ Phot. cod. B et ed. 13 τόπον τῆς κοίτης scripsi (τῆς κοίτης τόπον Phot.): τόπον τῆς νομῆς D 14 θηρευταῖς D: θηράσασι Phot. 15 ὀπισθίας praeter cod. B Phot. 16 ἑαυτοῦ Phot.: αὑτοῦ D 21 ἔχῃ D et codd. Phot.: ἔχοι ed. Phot. αὐτὸς Phot. 23 οὐδ' Phot. ἐφεστῶτα D Phot.: ἐνεστῶτα recte ed. Phot. 26 νέμονται D: νέμεται Phot. 27 Σιμούς D Phot. Diod.: Σίλλους appellat Strabo 29 δὲ Phot.: τὲ D

(57) Ὅτι τῶν εἰρημένων οὐ πολὺ διεστῶτές εἰσιν οἱ ἀκριδοφάγοι· τὸ ⟨δὲ⟩ ἔθνος βραχύτεροι μὲν τῶν λοιπῶν, ἰσχνοὶ δὲ τοῖς εἴδεσι, μέλανες δὲ ἐξαισίως. ὑπὸ δὲ τὴν ἐαρινὴν ἰσημερίαν, ὅτε λίβες παρ' αὐτοῖς καὶ ζέφυροι πνέουσι παμμεγέθεις, ἀκρίδων πλῆθος ἀμύθητον ἐκ τῆς ἀνιστορήτου μετὰ τῶν ἀνέμων παραγίνεται χώρας, τῇ μὲν δυνάμει τῆς πτήσεως τῶν ὀρνίθων μικρὸν παραλλάττον, μακρὸν δὲ τῷ σώματι. ἀπὸ τούτων τῶν ζῴων τρέφονται πάντα τὸν χρόνον, ἄλλως τε τούτοις καὶ τεταριχευμένοις χρώμενοι. καπνῷ δὲ ταῦτα θηρῶσιν, ἐκ τοῦ ἀέρος ἐπὶ γῆν καταφέροντες. οὗτοι κοῦφοι μὲν εἶναι λέγονται καὶ τοῖς | ποσὶν ὀξύτεροι· ζῶσι δὲ οὐ πλείω f. 341v τῶν τεσσαράκοντα ἐτῶν, ξηρᾶς κοινωνοῦντες τελείως τροφῆς. τελευτῶσι δὲ τοῦ ζῆν ⟨ἀθλιώτερον· ἅμα γὰρ τῷ πλησιάζειν τὸ γῆρας⟩ ἐγγίνεται τοῖς σώμασιν αὐτῶν πτερωτὰ γένη φθειρῶν, ὅμοια μὲν τῷ τύπῳ τοῖς κρότωσι, βραχὺ δὲ ἐλάττω τῶν ἐν τοῖς κυσὶ φαινομένων, ἀρχόμενα μὲν ἀπὸ τοῦ στήθους καὶ τῆς κοιλίας, ἐπινεμόμενα δὲ συντόμως μετὰ τοῦ παντὸς προσώπου τὴν ἐπιφάνειαν. οἳ τὰ μὲν πρῶτα τοῖς ὑπὸ ψώρας ἠρεθισμένοις ὁμοίως διάκεινται, ὕστερον δὲ ἐπιπόνως ἑαυτοὺς σπαράττουσιν· εἶτα τοῦ πάθους εἰς ἀκμὴν ἑλκομένου καὶ μετὰ τῆς τῶν θηρίων ἐκφύσεως καὶ λεπτῶν ἀναχεομένων ἰχώρων, ἀκαρτερήτους ὑφίστασθαι τοὺς ἀθλίους τὰς δριμυτάτας συμβαίνει ὀδύνας. οὗτοι μὲν ⟨οὖν⟩, εἴτε τοὺς χυμούς, εἴτε τὴν τροφήν, εἴτε τὸν ἀέρα ἔχοντες αἴτιον, οὕτως ἀπόλλυνται.

(58) Ὅτι τῶν ἀκριδοφάγων, φησίν, ἀστυγείτων χώρα πολλὴ καὶ νομὰς ἔχουσα ποικιλίᾳ διαφερούσας, ἔρημος δὲ τελείως καὶ πᾶσι τοῖς περιοίκοις ἄβατος, οὐκ ἀπ' ἀρχῆς σπανίσασα ἀνθρωπίνου γένους, ἀλλ' ὑπὸ πλήθους σκορπίων καὶ φαλαγγίων, ἃς τετραγνάθους ὀνομάζουσιν ἔνιοι. τοῦτο γὰρ τὸ φῦλον ἔκ τινος ἐπομβρίας λέγουσιν ἐπιπολάσαι. καὶ τῶν ἐνοικούντων πρὸς τὸ κακὸν ἀντισχεῖν οὐ δυναμένων, ἀλλὰ φυγῇ τῶν ἐκπεσόντων τοῦ ὀλέθρου τὴν σωτηρίαν ἀντὶ τῆς πατρίδος ἑλομένων, ἔρημον ἐξ ἐκείνου γένους ἀνθρώπων τὴν χώραν ἀπολειφθῆναι. καὶ μυῶν πλῆθος ἀρουραίων, ὡς τοῖς περὶ Ἰταλίαν, καὶ στρουθοὶ τὰ σπέρματα κατεσθίοντες, ὡς περὶ Μηδίαν, καὶ βάτραχοι, ὃ γέγονε περὶ τοὺς Αὐταριάτας, καὶ ὑπὸ λεόντων ἐπιπολασάν-

1 ὅτι] Agath. apud Phot. Bibl. p. 453a32—453b17. cf. Diod. III 29. Strab. XVI p. 772
21 ὅτι] Agath. apud Phot. Bibl. p. 453b18—34. cf. Diod. III 30. Strab. XVI p. 772—773

2 δὲ addidi ex Phot. βραχύτεροι Phot.: βραχύτατον D 3 ὅτε Phot.: οἵ τε D 4 παμμεγέθεις D Diod.: παμμεγεθῶν Phot. ζέφυροι πνέοντες μεγάλοι Strab. ἐκ τῆς ἀνιστορήτου . . . χώρας (5)] ἐκ τῆς ἐρήμου Diod. 6 ἀπὸ τούτων τῶν ζώων D: ἀπὸ τούτου τοῦ ζῴου Phot.: ἐκ τούτου Diod. 8 ταῦτα D A Phot.: ταύτας Phot. 9. 10 πλείω τῶν D: πλεῖον Phot. 11 ἀθλιώτερον — γῆρας addidi ex Phot. (qui τῷ post γὰρ omisit) 13 βραχὺ D: βραχεῖαν ς Phot.: βραχεῖ edit. Phot. 18 δριμυτάτας D: δριμύτητας (om. ὀδύνας) Phot. 19 οὖν B et edit. Phot.: om. D 20 ἀπόλυνται D 21 post ἀκριδοφάγων lacunam unius versus habet D, sed nihil deest 22 τελείως D: τελέως Phot. 23 πλήθους ἀπίστου Phot. 24 τετραγνάθους Phot. (cf. Strab. l. c.): τετραγάνθους D 25 φῦλον Phot.: φύλλον D 28 ὑπολειφθῆναι edit. Phot. καὶ μυῶν δὲ Phot. 29 τοῖς Phot.: τοῦ D

των πόλεις μετανέστησαν, ὡς ἐπὶ Λιβύης, καὶ πολλὰ ἄλλα ἀνέλπιστα πάθη καταλαβόντα πολλὰς χώρας τῶν οἰκητόρων ἐξηρήμωσαν.

(59) Ὅτι ὕστατοι, φησί, τῶν πρὸς μεσημβρίαν οἰκούντων εἰσὶν οὓς Ἕλληνες μὲν Κυναμολγοὺς καλοῦσιν, οἱ δὲ ἀστυγείτονες, ὡς ἄν τις εἴπῃ, Ἀγριοβαρβάρους. οὗτοι κομῆται μέν εἰσι καὶ πώγωνας φέρουσιν ἐξαισίους. κύνας δὲ τρέφουσι πολλοὺς καὶ μεγάλους, ὁμοίως τοῖς Ὑρκανοῖς, καὶ τοὺς ἐπιφοιτῶντας αὐτῶν τῇ χώρᾳ ἰνδικοὺς βόας | δι' αὐτῶν θηρῶσι, πλῆθος f. 342r ἐπιφαινομένους ἀμύθητον ἀπὸ τροπῶν χειμερινῶν ἕως μέσου χειμῶνος· εἶτα καὶ τὰς τῶν κυνῶν θηλείας ἀμέλγοντες τῷ γάλακτι τρέφονται, καὶ ἐξ ἄλλων δὲ θήρας ζῴων. καὶ τὰ μὲν τελευταῖα τῶν ⟨πρὸς⟩ μεσημβρίαν τοιαῦτα.

(60) Τοῖς Τρωγλοδύταις δὲ τὸ μὲν γένος τῆς συστάσεως τυραννίς, αἱ δὲ γυναῖκες κοιναὶ καὶ οἱ παῖδες· μόνῃ δὲ οὐκ ἔξεστι πλησιάσαι τῇ τοῦ τυράννου, τῷ δὲ τολμήσαντι πρόβατον καταθέσθαι τὸ ἐπιτίμιον δίδοται. ἡ δὲ ἀναστροφὴ αὐτῶν· τὸν μὲν παρ' αὐτοῖς χειμῶνα (ἔστι δὲ οὗτος ὑπὸ τοὺς ἐτησίας) πᾶσαν αὐτῶν τοῦ θεοῦ τὴν χώραν ὕδασι λάβροις ἐπέχοντος, ἀφ' αἵματος καὶ γάλακτος ζῶσιν, εἰς ταὐτὸ μίξαντες καὶ κυλίσαντες ἐν ἀγγείοις εἰκῇ πεπυρωμένοις. ἐπὰν δὲ ἐπιστῇ τὸ θέρος, ἐν τοῖς τελματώδεσιν ἀναστρέφονται χωρίοις, μαχόμενοι πρὸς ἀλλήλους περὶ τοῦ χιλώματος καὶ τὰ πρεσβύτερα τῶν βοσκημάτων καὶ νοσοῦντα δαπανῶσι, διὰ τῶν μαγείρων ταῦτα κτείνοντες οὓς καλοῦσιν Ἀκαθάρτους. οὗτοι ἀνθρώπων μὲν οὐδενὶ περιτιθέασι τὴν τῶν γονέων κλῆσιν, ταύρῳ δὲ καὶ βοΐ, τὸν μὲν πατέρα καλοῦντες, τὴν δὲ μητέρα, ὡσαύτως κριῷ τε καὶ προβάτῳ διὰ τὸ λαμβάνειν τὴν τροφὴν τὴν καθ' ἡμέραν οὐ παρὰ τῶν τοκέων, ἀλλὰ παρ' ἐκείνων. οὗτοι καὶ ποτῷ ὁ μὲν πολὺς ὄχλος ἀποβρέγματι παλιούρου χρῶνται, οἱ δὲ τύραννοι ἀπό τινος ἄνθους σκευασθέντος πίνουσι, παραπλησίου μοχθηρῷ γλυκεῖ. γυμνοὶ δὲ τῷ ἄλλῳ σώματι τυγχάνοντες, τὰ ἰσχία δέρμασίν εἰσι διεζωσμένοι. τὰ δὲ αἰδοῖα τοῖς μὲν ἄλλοις Τρωγλοδύταις ἐστὶν εἰθισμένον περιτέμνεσθαι ὁμοίως τοῖς Αἰγυπτίοις· τοὺς δὲ ὑπὸ τῶν Ἑλλήνων καλουμένους Κολοβοὺς πᾶν τὸ τοῖς λοιποῖς μέρος περιτομῆς

---

3 ὅτι] Agath. apud Phot. Bibl. p. 453b35—454a4. cf. Diod. III 31. Strab. XVI p. 771. Ael. nat. anim. XVI 31 p. 405,31—406,20 H. 12 τοῖς Τρωγλοδύταις] Agath. apud Phot. Bibl. p. 454a5—32. cf. Diod. III 32. Strab. XVI p. 775

---

1 λιβύης Phot.: λυβίης D 2 καταλαβόντα Phot.: καταβόντα D ἐξερήμωσαν D 4 Κυναμολγοὺς Phot. D: Κυνάμυνοι vulg. Diod. εἴπῃ D ς Phot.: εἴποι edit. Phot. 5 Ἀγριοβαρβάρους D: ἀγρίους βαρβάρους Phot.: κατὰ δὲ τὴν τῶν πλησιοχώρων διάλεκτον ἄγριοι Diod. 7 τῇ χώρᾳ D: τὴν χώραν Phot. Diod. 8 χειμερινῶν sic D Phot.: recte θερινῶν Diod. Ael. Strab. 10 πρὸς addidi ex Phot.: om. D 12 τοῖς τρωγλοδύταις δὲ D: τὰ δὲ κατὰ τοὺς τρωγλοδύτας τοιαῦτα Phot. 13 δ' Phot. 15 ἀναστροφὴ Phot.: ἀνατροφὴ D δὲ (ante οὗτος) D: δ' Phot. 16 ἐτησίας Phot.: ἐτησίους D λάβροις Phot.: λάβροι D 21 οὗτοι Phot.: οὗ D 25 ποτῷ Phot.: ποτὸν D παλιούρου Phot.: πολλύρου D 27 τῷ ἄλλῳ σώματι D: τὸ ἄλλο σῶμα Phot. 29 ὁμοίως τοῖς Αἰγυπτίοις D: καθάπερ Αἰγυπτίους Phot. δ' Phot.

τυγχάνον ξυροῖς ἀφαιρεῖν ἐστιν ἔθος νηπίων ὄντων, ἐξ οὗ καὶ τὴν εἰρημένην κλῆσιν ἑαυτοῖς περιπεποίηνται.

(61) Ἀνθρώπου μόνου καὶ κυνὸς κορεσθέντων ἡ τροφὴ ἀναπλεῖ. καὶ τοῦ μὲν ἀνθρώπου ἡ καρδία τῷ μαζῷ τῷ λαιῷ προσήρτηται, τοῖς γε μὴν ἄλλοις ζῴοις ἐν μέσῳ τῷ στήθει προσπέπλασται.

(62) Γαμψώνυχον δὲ ἄρα οὐδὲ | ἓν οὔτε πίνει οὔτε οὐρεῖ οὔτε f. 342v συναγελάζεται ἑτέροις.

(63) Ἀνθρώπου δὲ ἀσίτου τὸ δῆγμα χαλεπὸν καὶ δυσίατον. λέγονται δὲ οἱ Σκύθαι πρὸς τῷ τοξικῷ ᾧ τοὺς οἰστοὺς χρίουσι καὶ ἀνθρώπειον ἰχῶρα ἀναμιγνύναι φαρμάσσοντες, ἐπιπολάζοντά πως αἵματι, ὅν περ ἴσασιν ἀπόκριμα αὐτοῖς. τεκμηριῶσαι τοῦτο καὶ Θεόφραστος ἱκανός.

(64) Ὅτι Ἀγαθαρχίδης φησὶν εἶναι γένος ἐν τῇ Λιβύῃ τινῶν ἀνθρώπων· καὶ μέντοι καὶ καλεῖσθαι αὐτοὺς Ψύλλους. καὶ ὅσα μὲν κατὰ τὸν ἄλλον βίον τῶν λοιπῶν ἀνθρώπων διαφέρει οὐδέν, τὸ δὲ σῶμα ἔχει ξένον τε καὶ παράδοξον ὡς πρὸς τοὺς ἑτεροφύλους ἀντικρινόμενον. τὰ γάρ τοι ζῷα τὰ δάκνοντα καὶ τὰ ἐγχρίπτοντα πάμπολλα ὄντα μηδὲν αὐτοὺς μόνους ἀδικεῖν. οὔτε γοῦν ὄφεως δακόντος ἐπαΐουσιν οὔτε φαλαγγίου νύξαντος, ὡς τοὺς ἄλλους, εἰς θάνατον οὔτε μὴν σκορπίου κέντρον ἀπερείσαντος. ἐπὰν δὲ ἄρα τούτων προσπελάσῃ τι ἅμα καὶ παραψαύσῃ τοῦ σώματος καὶ ἅμα τι καὶ ὀσμῆς τῆς ἐκείνων ψαύσῃ ἢ σπάσῃ, ὥσπερ οὖν φαρμάκου γευσάμενον ὑπνοποιοῦ, κάρωσίν τινα ἑλκτικὴν εἰς ἀναισθησίαν ἐμποιοῦντος ἐξασθενεῖ καὶ παρεῖται, ἔστ᾽ ἂν παραδράμῃ ἄνθρωπος. ὅπως δὲ ἐλέγχουσι τὰ ἑαυτῶν βρέφη εἴτε ἐστὶ γνήσια εἴτε καὶ νόθα ἐν τοῖς ἑρπετοῖς βασανίζοντες ὡς ἐν τῷ πυρὶ τὸν χρυσὸν οἱ βάναυσοι χρυσουργοί, ἀνωτέρω εἶπον.

(65) Ὅτι Καλλίας ἐν τῷ δεκάτῳ τῶν περὶ τὸν Συρακούσιον Ἀγαθοκλέα λόγων φησὶ τοὺς κεράστας ὄφεις δεινοὺς εἶναι τὸ δῆγμα· ἀναιρεῖν γὰρ καὶ ζῷα ἄλογα καὶ ἀνθρώπους, εἰ μὴ παρείη Λίβυς ἀνήρ, Ψύλλος ὢν τὸ γένος. οὗτος γὰρ ἐάν τε κλητὸς ἀφίκηται, ἐάν τε παρῇ κατὰ τύχην καὶ

---

3 ἀνθρώπου] cf. supra p. 31,2 et notas ibidem 6 γαμψώνυχον] cf. supra p. 31,8 et notas ibidem 8 ἀνθρώπου] Ael. nat. anim. IX 15 (p. 223,12—17 Herch.) cf. § 40 p. 43,18 12 Ἀγαθαρχίδης] Ael. nat. anim. XVI 27 (p. 404,4—21 Herch.) 25 Καλλίας] Ael. nat. anim. XVI 28 (p. 404,22—405,14 Herch.)

---

8 τὸ D: om. Ael. 9 ἐπιχρίουσι Ael. 10 φαρμάττοντες Hercher post αἵματι lacunam significat Hercher 12 ὅτι om. Ael. 14 διαφέρειν οὐδὲ ἓν ed. Ael. ἔχειν Ael. 15 ἑτεροφύλλους D 16 δάκνοντα D: δακετὰ Ael. ἐγχρίπτοντα D codd. Ael.: ἐγχρίμπτοντα Hercher πάμπολα D 17 ὡς delevit Hercher 18 κέντρον D Ael.: τὸ κέντρον Hercher 19 τι (ante ἅμα): τὲ D ἅμα D Ael.: om. Hercher 20 ὀσμῆς D: τῆς ὀσμῆς Ael. τῆς ἐκείνων Ael.: τῶν ἐκείνων D: τῆς ἐξ ἐκείνων proposuit Hercher ψαύσῃ ἢ D Ael.: expunxit Jacobs 21 ὑπνοποιοῦ D Ael.: expunxit Hercher 22 ἄνθρωπος D Ael.: ὁ ἄνθρωπος Hercher ἐλέγχουσι Ael.: ἐλέγχωσι D 24 πυρὶ Ael.: περὶ D χρυσουργοὶ Ael.: χρυσουργεῖ D: delevit Hercher 25 ὅτι deest Ael. Συρακούσιον Ael.: συρρακούσιον D: Συρακόσιον Hercher 26 λόγων Ael.: λόγῳ D 28 γὰρ D: γοῦν Ael. τε D: τε καὶ Ael.

θεάσηται πράως ἔτι ἀλγοῦντα, τὴν πληγὴν ἢ τὸ δῆγμα παραπτύσας. εἶτα μέντοι τὴν ὀδύνην ἐπράϋνε καὶ κατεγοήτευσε τῷ σιάλῳ τὸ δεινόν. ἐὰν δὲ εὕρῃ δυσανασχετοῦντα καὶ ἀτλήτως φέροντα, ὕδωρ ἀθρόον σπάσας εἴσω τῶν ὀδόντων καὶ χρησάμενος αὐτῷ τοῦ στόματος κλύσματι, εἶτα τοῦτο εἰς κύλικα ἐμβαλὼν δίδωσι ῥοφῆσαι τῷ τρωθέντι. ἐὰν δὲ περαιτέρω | καὶ f. 343r τοῦδε τοῦ φαρμάκου κατισχύσῃ τὸ κακόν, ὁ δὲ τῷ νοσοῦντι παρακλίνεται γυμνῷ γυμνὸς καὶ τοῦ χρωτός οἱ τοῦ ἰδίου προστρίψας τὴν ἰσχὺν τὴν συμφυῆ, εἶτα μέντοι τοῦ κακοῦ πεποίηκε τὸν ἄνθρωπον ἐξάντη. ἀποχρῶν δὲ ἄρα ὑπὲρ τούτου εἴη ἂν μάρτυς καὶ Νίκανδρος ὁ Κολοφώνιος λέγων·

ἔκλυον ὡς Λίβυες Ψύλλων γένος οὔτε τι θηρῶν
  αὐτοὶ κάμνουσι μυδαλέῃσι τυπαῖς,
οὓς Σύρτις βοσκεῖ θινοτρόφος, εὖ δὲ καὶ ἄλλοις
  ἀνδράσιν ἤμυναν τύμμασιν ἀχθομένοις,
οὐ ῥίζαις ἔρδοντες, ἑῶν δ' ἀπὸ σύγχροα γυίων

καὶ τὰ ἐπὶ τούτοις.

(66) Ἀλλά τό γε τῶν Πυγμαίων ἔθνος ἀκούω καὶ ἐκεῖνο καθ' ἑαυτὸ βασιλεύεσθαι· καὶ οὖν καὶ γενέσθαι παρ' αὐτοῖς, ἐκλείποντος τοῦ γένους τοῦ τῶν ἀρρένων βασιλέως, βασιλίδα τινὰ ⟨καὶ⟩ κρατῆσαι τῶν Πυγμαίων, Γεράναν ὄνομα, ἥν περ οὖν ἐκθεοῦντες οἱ Πυγμαῖοι σεμνοτέραις ἢ κατὰ ἄνθρωπον ἐτίμων τιμαῖς. ἐκ τούτων, φασίν, ἐκείνη τὴν διάνοιαν ἐξηνεμώθη, καὶ τὰς θεὰς παρ' οὐδὲν ἐτίθετο, μάλιστα δὲ τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν καὶ τὴν Ἄρτεμιν καὶ τὴν Ἀφροδίτην οὐδὲ ἴκταρ ἔλεγε βάλλειν πρὸς τὸ αὐτῆς κάλλος. οὔκουν ἔμελλεν ἁμαρτήσεσθαι κακοῦ νοσοῦσα τοιαῦτα· κατὰ γὰρ τὸν τῆς Ἥρας χόλον εἰς ὄρνιν αἰσχίστην τὸ εἶδος τὸ ἐξ ἀρχῆς ἤμειψε, καὶ ἔστιν ἡ νῦν γέρανος καὶ πολεμεῖ τοῖς Πυγμαίοις, ὅτι αὐτὴν ἐξέμηναν τῇ πέρα τιμῇ καὶ ἀπώλεσαν.

(67) Εἰσὶ δὲ ἐν τοῖς Ἰνδικοῖς οἱ Πυγμαῖοι καλοῦνται. χώρα δ' αὐτῶν πολλὴ μέση ἐν τῇ Ἰνδικῇ καὶ ἄνθρωποί εἰσι μέλανες, ὥσπερ οἱ ἄλλοι Ἰνδοὶ καὶ ὁμόγλωσσοι ἐκείνοις, μικροὶ δὲ κάρτα, καὶ οἱ μακρότατοι αὐτῶν

---

16 ἀλλὰ] Ael. nat. anim. XV 29 (p. 386,29—387,11 Herch.) 27 εἰσὶ] cf. Ctes. apud Phot. p. 46a38—46b13

---

1 τὴν πληγὴν ἢ τὸ δῆγμα παραπτύσας D: τὴν πληγὴν ἢ τὸ δῆγμα μόνον προσπτύσας Ael.: τῇ πληγῇ μόνον προσπτύσας Hercher 2 τῷ σιάλῳ (correctum e συάλῳ) τὸ δεινὸν D: τὸ δεινὸν τῷ σιάλῳ Ael. 3 ἀτλήτως Ael.: ἀπλήτως D 6 κατισχύσῃ Ael.: κατισχύσαι D 7 οἱ Ael.: οἷ D προστρίψας D: προσανατρίψας Ael. 8 ἐξάντη D Hercher: ἐξάντην libri Ael. ἀποχρῶν Ael.: ἀπόχρη D 10 Λιβύης O. Schneider θηρῶν Ael.: θηρίων D 11 κάμνουσιν Ael. μυδαλέῃσι Schneider: μυδαλέεσι D: μυδαλέαισι libri Ael. 12 θινοτρόφος V et Vindobb. Ael.: θηνοτρόφος D: θηροτρόφος ceteri libri Ael. 14 ῥίζαις Ael.: ῥίψαις D ἔρδοντες D: ἕρδοντες Ael.: ῥίζας ἄρδοντες Hercher ἑῶν δ' ἀπὸ σύγχροα γυίων Ael.: ἑῶν δ' ἀπὸ συγχρῶ ἀγυῶν D 17 ἐκλείποντος τοῦ γένους τοῦ τῶν ἀρρένων βασιλέως D: ἐκλείποντος ἄρρενος βασιλέως Ael. 18 καὶ κρατῆσαι Ael.: κρατῆσαι D 19 κατ' Ael. 20 ἐκ τούτων οὖν ἐκείνη φασὶ Ael. 23 νοσοῦσα Ael.: νοσοῦσαν D 27 ἰσὶ omissione rubricatoris D

εἰσι πήχεων δύο, οἱ δὲ πλεῖστοι πήχεος ⟨ἑνὸς⟩ καὶ ἡμίσεος, ἄνδρες καὶ γυναῖκες. ἕως μὲν οὖν ἂν ὦσι παῖδες μικροί, ξύλινα ἱμάτια φοροῦσι, καὶ περιέρχονται οὕτως ἠμφιεσμένοι· ἐπειδὰν δὲ νεανίσκοι γένωνται, κομῶσι, καὶ οἱ ἄλλοι πάντες Πυγμαῖοι κόμην ἔχουσι μακροτάτην μέχρι ἐπὶ τὰ γόνατα καὶ ἔτι κατωτέρω καὶ πώγωνα μέγιστον πάντων ἀνθρώπων, ὥστε ἕλκεσθαί φασιν αὐτοὺς πρὸς τοῖς ποσίν, ἅτε μικρῶν ὄντων, τοὺς πώγωνας· ἐξόπισθεν δὲ τὴν κόμην εἶναι πολὺ κάτωθεν τῶν γονάτων. ἐπειδὰν γοῦν | τὸν f. 343v πώγωνα μέγαν φύσωσιν, οὐκέτι ἀμφιέννυνται οὐδὲν ἱμάτιον, ἀλλὰ τὰς τρίχας τὰς μὲν τῆς κεφαλῆς ὄπισθεν καθίενται, τὰς δὲ ἐκ τοῦ πώγωνος ἔμπροσθεν· ἔπειτα περιπυκασάμενοι τὰς τρίχας περὶ πᾶν τὸ σῶμα ζώννυνται, καὶ οὕτως ἀνθ' ἱματίου ταῖς θριξὶν ἀμπέχονται. καὶ τὸ αἰδοῖον σφόδρα μέγα ἔχουσιν, ὥστε ψαύειν τῶν σφυρῶν αὐτοῖς, καὶ παχύ. αὐτοὶ δέ εἰσι σιμοί τε καὶ αἰσχροὶ καὶ οὐδὲν ἐοικότες τοῖς ἄλλοις Ἰνδοῖς. εἰσὶ δὲ καὶ αἱ γυναῖκες αὐτῶν μικραὶ καὶ αἰσχραί, ὥσπερ οἱ ἄνδρες· καὶ οἱ ἵπποι αὐτῶν εἰσιν ὥσπερ κριοὶ καὶ ὀλίγῳ μείζονες· τὰ δὲ πρόβατα αὐτῶν ἐστι μικρὰ ὥσπερ οἱ ἄρνες, καὶ οἱ ὄνοι καὶ οἱ ἡμίονοι καὶ τὰ ἄλλα κτήνη πάντα οὐδὲν μείζω κριῶν.

(68) Ὁ ἐλέφας ἐστὶ μὲν ἀμφόδους καὶ πολυσχιδής, ἔχει δὲ χαυλιόδοντας ἄνω δύο, πορεύεται δὲ κατὰ διάμετρον χιάζων, ἀλλ' οὐ κατὰ σκέλος. (69) ἔχει δὲ δακτύλους πέντε μικροὺς καὶ οὐκ ἐπὶ πολὺ μῆκος ἐσχισμένους, ἔχει δὲ καὶ τὰ ἐμπρόσθια σκέλη πολλῷ μείζονα τῶν ὀπισθίων. (70) ἔχει δὲ καὶ δύο μαστοὺς κατὰ τὰς μασχάλας καὶ μυκτῆρα ᾧ χρῆται ὡς χειρί. (71) γλῶττα μικρὰ καὶ δυσθεώρητος. (72) ἔχει δὲ καὶ αἰδοῖον ὁ ἄρρην ὅμοιον ἵππῳ, μικρὸν δὲ ὡς καθ' ἑαυτόν· τοὺς δὲ ὄρχεις ἔχει οὐκ ἔξω, ἀλλ' ἐντὸς παρὰ τοῖς νεφροῖς. (73) ἡ δὲ θήλεια τὴν φύσιν ἔχει ὁμοίαν ὄνῳ, ἀναπτυχθεῖσα δὲ τὰ μὲν ἄλλα σπλάγχνα

18 ὁ ἐλέφας] cf. Ael. nat. anim. IV 31 (p. 93,17—94,5 Herch.) πολυσχιδής] Arist. gener. anim. Δ 4 p. 771b8 ὁ γὰρ ἐλέφας μέγιστον τῶν ζῴων, ἔστι δὲ πολυσχιδές 20 δακτύλους] Ael. nat. anim. IV 31 (p. 93,18 Herch.) ἔχει δὲ καὶ καθ' ἕκαστον πόδα δακτύλους πέντε, ὑποφαίνοντας μὲν τὰς ἐκφύσεις, οὐ μὴν διεστῶτας. cf. Arist. hist. anim. B 1 p. 497b22 οὗτος δὲ τά τε περὶ τοὺς δακτύλους ἀδιαρθρωτότερα ἔχει τῶν ποδῶν καὶ τὰ πρόσθια σκέλη πολλῷ μείζω. ἔστι δὲ πενταδάκτυλον καὶ πρὸς τοῖς ὀπισθίοις σκέλεσι σφυρὰ ἔχει βραχέα 22 μαστοὺς] Arist. l. c. p. 500a18 καὶ γὰρ ὁ ἐλέφας ἔχει τοὺς μαστοὺς δύο περὶ τὰς μασχάλας 23 μυκτῆρα] Arist. l. c. p. 497b26 ἔχει δὲ μυκτῆρα τοιοῦτον καὶ τηλικοῦτον ὥστε ἀντὶ χειρῶν ἔχειν αὐτόν γλῶττα] Arist. l. c. B 6 p. 502a3 γλῶτταν δὲ ἔχει μικράν τε σφόδρα καὶ ἐντός, ὥστε ἔργον εἶναι ἰδεῖν 24 αἰδοῖον] Arist. l. c. B 1 p. 500b6 ἔχει δὲ καὶ ὁ ἐλέφας τὸ αἰδοῖον ὅμοιον μὲν ἵππῳ, μικρὸν δὲ καὶ οὐ κατὰ λόγον τοῦ σώματος, τοὺς δ' ὄρχεις οὐκ ἔξω φανερούς, ἀλλ' ἐντὸς περὶ τοὺς νεφρούς 26 σπλάγχνα] Arist. l. c. B 17 p. 507b37 καὶ τὰ σπλάγχνα ἔχει παραπλήσια τοῖς ὑείοις, πλὴν τὸ μὲν ἧπαρ τετραπλάσιον τοῦ βοείου καὶ τἆλλα, τὸν δὲ σπλῆνα ἐλάττω ἢ κατὰ λόγον

1 ἑνὸς Phot.: om. D ἡμίσεως Phot. Bekkeri 4 πηγμαῖοι D μέχρις Phot. 6 fortasse αὐτῶν 8 μέγαν φύσωσιν Phot.: μέγα φύωσιν D 11 καὶ οὕτως ἀνθ' ἱματίου ταῖς θριξὶν ἀμπέχονται D: χρώμενοι αὐταῖς ἀνθ' ἱματίου Phot. 12 αὐτοῖς D: αὐτῶν Phot. 17 μείζω Phot.: μεῖζον D 19 χιάζων scripsi: σχιάζων D 22 μασθοὺς D

ἔχει ὅμοια ὑείοις, μεγέθει διαφέροντα, χολὴν δὲ οὐκ ἔχει πρὸς τῷ ἥπατι, ἀλλὰ πρὸς τῷ ἐντέρῳ. (74) ἄρχεται δὲ τῆς ὀχείας ὁ μὲν ἄρρην ἐτῶν γενόμενος πέντε, ἡ δὲ θήλεια δέκα. ἐν ἑτέροις δὲ ἀντιγράφοις εὑρίσκομεν, ὡς ἄρχεται μὲν ἡ θήλεια ὀχεύεσθαι καὶ ὁ ἄρρην ἐπιβαίνειν ἐτῶν γενόμενος εἴκοσιν. ὀχεύει δὲ συγκαθισάσης τῆς θηλείας· ὁ ἄρρην γὰρ ἐπιβαίνει. (75) κύει δὲ ἔτη δύο· οἱ δὲ μῆνας δεκαοκτώ. (76) τίκτει δὲ ἡλίκον μόσχῳ ἐνιαυσιαίῳ ἕν, καὶ εὐθέως ἐκτεχθὲν θηλάζει τῷ στόματι, ἀλλ' οὐ τῇ προβοσκίδι, εὐθέως δὲ βαδίζει τὸ γεννώμενον καὶ βλέπει. (77) ἔστι δὲ ὁ μὲν ἄρρην ἀνδρειότερος τῆς θηλείας. μάχονται δὲ πρὸς ἀλλήλους τύπτοντες τοῖς ὀδοῦσι. καὶ ὁ ἡττηθεὶς ἐπὶ τοσοῦτον δουλοῦται, ὥστε ἀκούσαντά ποτε τῆς φωνῆς τοῦ νικήσαντος | φεύγειν. καταβάλλει δὲ τοῦτο τὸ f. 344r ζῷον καὶ τοὺς τοίχους, τοὺς ὀδόντας ὑποβάλλον· καὶ φοίνικας δὲ τύπτων τῷ μετώπῳ κλίνει· μάλιστα δὲ ταῦτα πράττει ὅταν καπρᾷ. ἔστι δὲ τῶν εὐκόπως τιθασευομένων ὑπὸ ἀνθρώπων καὶ πειθαρχούντων εἰς διδασκαλίαν. (78) ἔστι δὲ τὸ ζῷον τοῦτο καρποφάγον καὶ ποηφάγον. (79) πίνει δὲ ὕδωρ θολερόν, καὶ οὐ πίνει ἐὰν μὴ πρότερον ἀναταράξῃ·

---

2 ἄρχεται δὲ τῆς ὀχείας] Arist. hist. anim. E 14 p. 546b6 ὁ δ' ἐλέφας ἄρχεται μὲν βαίνεσθαι ὁ μὲν νεώτατος δέκ' ἐτῶν, ὁ δὲ πρεσβύτατος πεντεκαίδεκα· ὁ δ' ἄρρην βαίνει πεντέτης ὢν ἢ ἑξέτης 3 ἐν ἑτέροις] Arist. l. c. Z 27 p. 578a17 ὁ δ' ἐλέφας ὀχεύει καὶ ὀχεύεται πρῶτον εἴκοσιν ἐτῶν 5 ὀχεύει] Arist. l. c. E 2 p. 540a21 ὀχεύεται δ' ἡ μὲν θήλεια συγκαθιεῖσα καὶ διαβαίνουσα, ὁ δ' ἄρρην ἐπαναβαίνων ὀχεύει 6 κύει] Arist. l. c. E 14 p. 546b11 κύει δ' ἔτη δύο, τίκτει δ' ἕν· ἔστι γὰρ μονοτόκον· τὸ δ' ἔμβρυον γίνεται ὅσον μόσχος δίμηνος ἢ τρίμηνος οἱ δὲ] Arist. l. c. Z 27 p. 578a18 ἡ θήλεια φέρει ἐν γαστρί, ὡς μέν τινές φασιν, ἐνιαυτὸν καὶ ἓξ μῆνας, ὡς δ' ἕτεροι, τρί' ἔτη. cf. Ael. nat. anim. IV 31 (p. 93,24 Herch.) κύειν δὲ πυνθάνομαι δύο ἐτῶν τὸν ἐλέφαντα, οἱ δὲ οὐ τοσοῦτον χρόνον, ἀλλὰ ὀκτωκαίδεκα μηνῶν ὁμολογοῦσιν· ἀποτίκτει δὲ ἰσήλικα τὸ μέγεθος μόσχῳ ἐναυσιαίῳ, σπᾷ δὲ τῆς θηλῆς τῷ στόματι ἡλίκον] Arist. gener. anim. Δ 5 p. 773b5 διὸ καὶ τὸ τῶν ἐλεφάντων ἔμβρυον ἡλίκον μόσχος ἐστὶν 7 καὶ εὐθέως ἐκτεχθὲν] Arist. hist. anim. Z 27 p. 578a22 ὁ δὲ σκύμνος ὅταν γένηται, θηλάζει τῷ στόματι καὶ οὐ τῷ μυκτῆρι, καὶ βαδίζει καὶ βλέπει εὐθὺς γεννηθείς 8 ἔστι] Arist. l. c. I 1 p. 610a20 εἰσὶ μέντοι καὶ ἐλάττονες αἱ θήλειαι καὶ ἀψυχότεραι πολύ 9 μάχονται] Arist. l. c. p. 610a15 μάχονται δὲ καὶ ἐλέφαντες σφοδρῶς πρὸς ἀλλήλους καὶ τύπτουσι τοῖς ὀδοῦσι σφᾶς αὐτούς· ὁ δὲ ἡττηθεὶς δουλοῦται ἰσχυρῶς καὶ οὐχ ὑπομένει τὴν τοῦ νικήσαντος φωνήν 11 καταβάλλει] Arist. l. c. p. 610a21 τοὺς δὲ τοίχους καταβάλλει ὁ ἐλέφας τοὺς ὀδόντας τοὺς μεγάλους προσβάλλων· τοὺς δὲ φοίνικας τῷ μετώπῳ, ἕως ἂν κατακλίνῃ, ἔπειτα τοῖς ποσὶν ἐπιβαίνων κατατείνει ἐπὶ τῆς γῆς 13 μάλιστα] Ael. nat. anim. IV 31 (p. 93,29 Herch.) ἐνθουσιῶν δὲ ἐς μῖξιν οἴστρῳ τε φλεγόμενος ἔστι] Arist. hist. anim. I 1 p. 610a28 ταχέως δὲ μετὰ ταῦτα τιθασσεύεταί τε καὶ πειθαρχεῖ 15 ἔστι] Arist. l. c. Θ 6 p. 595a13 τὰ δὲ κερατώδη τῶν ζῴων κτλ. . . . πάντα καρποφάγα καὶ ποηφάγα 16 πίνει] Ael. nat. anim. IV 31 (p. 93,32 Herch.) πίνει δὲ ὕδωρ οὐ διειδὲς οὐδὲ καθαρόν, ἀλλ' ὅταν ὑποθολώσῃ τε καὶ ὑποταράξῃ

---

1 ὑείοις scripsi ex Arist.: ὑεῖ D 4 ἐπιβαίνειν scripsi: ἐπιβαίνει D 5 συγκαθισάσης scripsi: συγκαθησάσης D 6. 7 aut ἡλίκον μόσχος ἐναυσιαῖος (cf. Arist. supra cit.) aut ἰσήλικον μόσχῳ ἐν. (cf. Aelianus l. c. p. 93,28 ἰσήλικα τὸ μέγεθος μόσχῳ ἐν. infra p. 62,18) scribendum est 7 ἐκτεχθὲν scripsi: ἐκτεθὲν D 12 ὑποβάλλον scripsi: ὑποβάλλειν D 15 ποηφάγον ex Arist. scripsi: πωοφάγον D

δύναται δὲ μὴ πίνειν ἡμέρας τέσσαρας. (80) κοιμᾶται δὲ ὀρθός, παρακλίνας ἑαυτόν, οὐχ ὅτι κάμψαι οὐ δύναται, καθάπερ τινὲς ὑπέλαβον, ἀλλὰ διὰ τὸ βάρος τῷ συγκαθίσαντι † μὴ εὐκόλως ἐξανίστασθαι. (81) ἀκμάζει δὲ ὁ ἐλέφας ἐτῶν γενόμενος ἑξήκοντα. ἔστι δὲ δύσριγον τὸ ζῷον καὶ πορευόμενον δι' ὕδατος, τὸ δὲ βάθος ὥστε μὴ βρέξαι τὸν μυκτῆρα. νεῖν γὰρ οὐ δύναται· οὐ γὰρ ἐπὶ πολὺ ἔσχισται τοὺς δακτύλους· ἄλλως δὲ καὶ διὰ τὸ βάρος τοῦ σώματος. (82) ζῆν δέ φασιν αὐτὸν οἱ μὲν διακόσια ἔτη, οἱ δὲ ἑκατὸν εἴκοσιν.

(83) Ὅτι γεννᾶται κατὰ κεφαλὴν ἐλέφας, ἴσος ὢν ἐν τῷ τίκτεσθαι κατὰ δέλφακα τὴν μεγίστην. μιᾷ δὲ μητρὶ πολλὰ ἐλεφαντίσκια ἕπεται· εἰ δὲ προσάψαιο τῶν βρεφῶν, αἱ μητέρες οὐδὲν ἀγανακτοῦσι. συνιᾶσι γὰρ ὅτι μὴ ἐπὶ λύμῃ ἢ κολάσει τις ἐπιψαύει αὐτῶν, ἀλλὰ φιλοφρονούμενοι πάντες καὶ κολακεύοντες.

(84) Οὕτως δέ ἐστι τὸ ζῷον φιλότεκνον, ὥστε ἡ μήτηρ τὸ βρέφος εἰς τάφρον ἐμπεσὸν θεασαμένη ἐκθύμως καὶ περιπαθῶς ἐξέδραμε, καὶ κατὰ τοῦ παιδὸς αὐτὴν ὦσεν εἰς κεφαλήν· καὶ ἄμφω κατὰ ταὐτὸν ἀπώλοντο, ὁ μὲν τῷ βάρει τῆς μητρὸς ἐκπιεσθείς, ἡ δὲ τὴν κεφαλὴν ἀίξασα.

---

1 δύναται . . . τέσσαρας] Arist. hist. anim. Θ 8 p. 595b31 ἡ δὲ κάμηλος πίνει ἥδιον θολερὸν καὶ παχύ, οὐδ' ἀπὸ τῶν ποταμῶν πρότερον πίνει ἢ συνταράξαι. δύναται δ' ἄποτος ἀνέχεσθαι καὶ τέσσαρας ἡμέρας; de camelo dicta excerptor ad elephantum transtulit, de quo postea Aristoteles loquitur κοιμᾶται] Ael. nat. anim. IV 31 (p. 94, 1 Herch.) καθεύδει γε μὴν ὀρθοστάδην· κατακλινῆναι γὰρ καὶ ἐξαναστῆναι ἐργῶδες αὐτῷ. cf. Arist. hist. anim. B 1 p. 498a8 ὁ δ' ἐλέφας οὐχ ὡς ἔλεγόν τινες, ἀλλὰ συγκαθίζει καὶ κάμπτει τὰ σκέλη, πλὴν οὐ δύναται διὰ τὸ βάρος ἐπ' ἀμφότερα ἅμα, ἀλλ' ἀνακλίνεται ἢ ἐπὶ τὰ εὐώνυμα ἢ ἐπὶ τὰ δεξιά, καὶ καθεύδει ἐν τούτῳ τῷ σχήματι, κάμπτει δὲ τὰ ὀπίσθια σκέλη ὥσπερ ἄνθρωπος 3 ἀκμάζει] Ael. l. c. (p. 94, 3 Herch.) ἀκμὴ δὲ ἐλέφαντι ἑξήκοντα ἔτη. cf. Arist. hist. anim. I 46 p. 630b24 ἀκμάζειν δὲ περὶ ἔτη ἑξήκοντα 4 δύσριγον] Arist. l. c. I 46 p. 630b25 πρὸς δὲ τοὺς χειμῶνας καὶ τὰ ψύχη δύσριγον εἶναι. cf. Ael. nat. anim. IV 31 (p. 94, 4 Herch.) κρυμῷ δὲ ὁμιλεῖν ἥκιστός ἐστι 4. 5 καὶ πορευόμενον] Arist. l. c. p. 630b27 ποιεῖται δὲ καὶ διὰ τοῦ ὕδατος τὴν πορείαν, ἕως τούτου δὲ προέρχεται ἕως ἂν ὁ μυκτὴρ ὑπερέχῃ αὐτοῦ· ἀναφυσᾷ γὰρ διὰ τούτου καὶ τὴν ἀναπνοὴν ποιεῖται. νεῖν δ' οὐ πάνυ δύναται διὰ τὸ τοῦ σώματος βάρος. cf. Ael. l. c. 31 (p. 93, 20 Herch.) 7 ζῆν] Arist. l. c. p. 630b22 ζῆν δὲ φασι τὸν ἐλέφαντα οἱ μὲν ἔτη διακόσια, οἱ δ' ἑκατὸν εἴκοσι, καὶ τὴν θήλειαν ἴσα σχεδὸν τῷ ἄρρενι. cf. Arist. l. c. Θ 9 p. 596a11. Ael. l. c. 31 (p. 94, 4 Herch.) 9 ὅτι γεννᾶται] Ael. l. c. VIII 27 (p. 216, 13—20 Herch.) τίκτεται ἐλέφας κατὰ τὴν κεφαλὴν ἐκπηδῶν, τὸ δὲ μέγεθός ἐστι τοῦ τικτομένου κατὰ δέλφακα τὴν μεγίστην 14 οὕτως] cf. Ael. l. c. IX 8 (p. 220, 23—221, 4 Herch.)

---

3 συγκαθίσαντι scripsi: συγκαθήσαντι D μὴ εὐκόλως corruptum. suspicor μὴ εὔκολον vel μὴ εὔκολον ὂν cf. Ael. l. c. 4 δύσριγον scripsi ex Arist.: δύσρισον D 5 πορευόμενον scripsi: πορευόμενος D νεῖν scripsi ex Arist.: νῦν D 10 πολλὰ D: πλείω Ael. ἕπεται, φασίν Ael. 11 εἰ δὲ βούλοιο τῶν βρεφῶν νεογόνων ὄντων προσάψασθαι Ael. ἀγανακτοῦσιν ἀλλὰ ἐῶσι Ael. συνίασι D 12 μήτε ἐπὶ λύμῃ τις ἐπιψαύει (ἐπιψαύσει Hercher) αὐτῶν μήτε ἐπὶ κολάσει Ael. 16 αὑτὴν scripsi: αὐτὴν D 17 τῷ βάρει scripsi: τὸ βάρος D ἡ δὲ . . . αἴξασα ex Ael. scripsi: ὁ δὲ . . . ἀίξας D

(85) Καὶ τὰ βρέφη δὲ τὰ νεαρὰ οὐκ ἄν ποτε αἱ τεκοῦσαι προδοῖεν, καίτοι τῶν θηρατῶν ἐγκειμένων, ἀλλὰ πρότερόν γε τὴν ψυχὴν ἀπολίποιεν ἢ τὰ τέκνα. γελοῖοι τοίνυν εἰσὶν οἱ διαποροῦντες εἰ φυσικὴ πρὸς τὰ ἔκγονα στοργή ἐστι. (86) Ἀλλὰ καὶ νόμους μὴ ἀκούσαντες ἐλέφαντες τιμῆς γερόντων, τοῖς πρεσβυτέροις τροφῆς ἀφίστανται καὶ προβαδίζειν ποιοῦσι τοὺς γήρᾳ παρειμένους καὶ θεραπεύουσι καὶ τρέφουσι καὶ κινδύνων ῥύονται καὶ εἰς ὄρυγμα ἐμπεσόντας ἀνάγουσι | φρύγανα καὶ φακέλους ἐμβαλόντες, f. 344v οἷσπερ οὖν ὡς ἀναβαθμοῖς χρώμενοι ἐκεῖνοι εἶτα ἀνίασι.

(87) Καὶ νοσοῦντα ἐλέφαντα οὐκ ἄν ποτε καταλίποιεν οἱ συναγελαζόμενοι, ἀλλὰ πιστῶς παραμένουσι καὶ ἀναρρῶσαι σπεύδουσι, καὶ εἰ διώκονται, καὶ ὑπὲρ αὐτοῦ μάχονται καὶ τιτρώσκονται παρόντες, φυγεῖν [οὐ] δυνάμενοι.

(88) Ποῦ δὲ ἠλόησε πληγαῖς πατέρα ἐλέφας· ποῦ δὲ ἀπεκήρυξεν ὁ πατὴρ ἐν τούτοις τὸν υἱόν;

(89) Καὶ σώφρονες δέ εἰσι καὶ σπανίως ἐρῶσιν. ἅπαξ γοῦν ἐν τῷ βίῳ τῷ σφετέρῳ μνημονεύουσιν ἀφροδίτης, ὅταν ἡ θήλεια ὑπομένῃ καὶ αὐτή. εἶτα ἐμπλήσας ἕκαστος τὴν σύννομον οὐκέτι γινώσκει αὐτήν. συμπλέκονται δὲ οὐκ ἀνέδην οὐδὲ ἐν ὄψει ἑτέρων, ἀλλ' ἀναχωρήσαντες καὶ προβαλλόμενοι ἢ δένδρα δασέα ἢ ὕλην συμφυῆ ἢ κοῖλον χῶρον.

(90) Εὐμουσίαν δὲ καὶ εὐπείθειαν οἶδε μανθάνειν, χορείαν τε καὶ ὀρχηστικήν, καὶ βαίνειν πρὸς ῥυθμὸν καὶ συνιέναι ἤχων διαφορὰς ἀκριβοῖ ἐλέφας καὶ οὐ σφάλλεται.

---

1 καὶ τὰ βρέφη] Ael. nat. anim. VII 15 (p. 181, 14 Herch.) 3 γελοῖοι] Ael. l. c. IX 8 (p. 221, 4 Herch.) 4 ἀλλὰ καὶ νόμους] Ael. l. c. VI 61 (p. 167, 16—25 Herch.) ἐπαΐουσι γοῦν τὸ τῶν ἐλεφάντων γένος, ὦ Λυκοῦργοί τε καὶ Σόλωνες καὶ Ζάλευκοι καὶ Χαρῶνδαι, ὧνπερ οὖν ὑμεῖς νομοθετεῖτε οὐδὲ τὴν ἀρχήν, καὶ ὅμως δρῶσι τοιαῦτα, καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις οἱ νέοι, καὶ γήρᾳ παρειμένους θεραπεύουσιν αὐτούς, καὶ κινδύνων ῥύονται, καὶ ἐς ὀρύγματα ἐμπεσόντας οἱ δὲ ἀνάγουσι, φρυγάνων τινὰς ἀγκαλίδας καὶ φακέλους ἐμβαλόντες, οἷσπερ οὖν ὡς ἀναβαθμοῖς χρώμενοι ἐκεῖνοι εἶτα ἀνίασι γήρᾳ βαρεῖς ὄντες 9 καὶ νοσοῦντα] Ael. l. c. VII 15 (p. 181, 8 Herch.) γήρᾳ δὲ παρειμένον ἐλέφαντα ἢ νόσῳ κατειλημμένον οὐκ ἄν ποτε οἱ συναγελαζόμενοι καταλίποιεν, ἀλλὰ πιστῶς παραμένουσι, καὶ ἀναρρῶσαι σπεύδουσι τῇ τε ἄλλῃ καὶ ἐὰν διώκωνται. καὶ ὑπὲρ αὐτοῦ μάχονται, καὶ τιτρώσκονται παρόντες (παραμένοντες Reiske), φυγεῖν δυνάμενοι 13 ποῦ δὲ] Ael. l. c. VI 61 (p. 167, 25 Herch.) 15 ἅπαξ] Ael. l. c. VIII 17 (p. 211, 8—14 Herch.) 20 εὐμουσίαν] Ael. l. c. II 11 (p. 38, 1—10 Herch.) τὸ δὲ νῦν ἔχον ἔ[ο]ικα ἐρεῖν περί τε εὐμουσίας αὐτῶν καὶ εὐπειθείας . . . χορείαν γὰρ καὶ ὀρχηστικὴν — διαφοράς, ἢ βραδύνειν ἐνδιδόντων ἢ ταχύνειν παρορμώντων μαθὼν οἶδεν ἐλέφας, καὶ ἀκριβοῖ καὶ οὐ σφάλλεται

---

1 προδοῖεν, ἀλλὰ καὶ ἐκείνοις ἐκεῖναι πιστῶς παραμένουσι καίτοι τῶν θηρώντων Ael. 2 τὴν ψυχὴν Ael.: τῶν ψυχῶν D ἀπολίποιεν ἄν Ael. 4 ἐλέφαντες scripsi ἐλέφαντος D 11 οὐ delevi cf. Ael. 13 δὲ D Ael.: δαὶ Reiske ἠλόησε Ael.: ἠλέησε D ποῦ δὲ scripsi: πῶς δὲ D: ποῦ δαὶ Ael. 14 post πατὴρ add. ὁ Ael. 17 οὐκέτι γινώσκει D: ἐντεῦθεν (Schneider τὸ ἐντεῦθεν) οὐκ οἶδεν Ael. 17. 18 συμπλέκονται Ael.: συμπλέκεται D 18 ἐν τῇ τῶν ἄλλων ὄψει Ael. 19 προβαλλόμενοι D: καὶ ἑαυτῶν προβάλλονται Ael. ὕλην τινὰ συμφυῆ ἢ χῶρον κοῖλον καὶ βαθὺν τοῦ λαθεῖν αὐτοῖς παρέχοντα ἀφθονίαν Ael. 21 βύνειν D

(91) Ἡμεροῦται δὲ καὶ μᾶλλον τῶν ἄλλων ζῴων. πλὴν ἐν Ἰνδοῖς ἐὰν ἁλῷ τέλειος ἐλέφας χαλεπός ἐστιν ἡμερωθῆναι, καὶ τὴν ἐλευθερίαν ποθῶν φονᾷ. εἰ δὲ καὶ δεσμοῖς αὐτὸν διαλάβῃς, ἔτι καὶ μᾶλλον εἰς τὸν θυμὸν ἐξάπτεται ⟨καὶ⟩ δουλοσύνην οὐχ ὑπομένει. ἀλλ' Ἰνδοὶ καὶ τροφαῖς κολακεύουσιν αὐτὸν καὶ ποικίλοις δελέασι πραΰνειν πειρῶνται. ὁ δὲ ἄχθεται αὐτοῖς καὶ ὑπερορᾷ. κατασοφίζονται οὖν αὐτοῦ μούσῃ ἐπιχωρίῳ μετ' ὀργάνου τινός· καλεῖται δὲ τὸ ὄργανον σκινδαψός. ὁ δὲ ὑπέχει τὰ ὦτα καὶ θέλγεται, καὶ κατὰ μικρὸν τὴν τροφὴν προσίεται.

(92) Διώκονται οὖν παρ' Ἰνδῶν ἕνεκεν ὀδόντων, διὸ τοὺς νωδοὺς πρὸ τῆς φάλαγγος ἱστᾶσιν, ὥσπερ ἀπατῶντες ὅτι οὐκ ἔχουσι τὸ ζητούμενον. διωκόμενος μέντοι ὥσπερ λήϊα τὰ μέγιστα δένδρα κατακλᾷ τῇ ὑπερβαλλούσῃ δυνάμει καὶ φέρεται ῥώμῃ ἀμηχάνῳ καὶ ὁρμῇ ἀκατασχέτῳ. ἐν ἐλευθερίᾳ δὲ κινδύνου διαγενόμενοι ἑστᾶσι καὶ ἀναπαύονται· καὶ οἱ διώκοντες, τὴν ὕλην ἐμπρήσαντες καὶ τὴν ὀπίσω ὁδὸν κατασχόντες, ἱστᾶσιν αὐτούς. δεδοίκασι γὰρ τὸ | πῦρ ὡς οἱ λέοντες. f. 345r

(93) Ἐνακμάζοντος δὲ τοῦ ἡλίου χρίουσιν ἀλλήλους ἰλύϊ παχείᾳ καὶ αὐτοῖς αὕτη ψῦχος παρέχει. ῥινηλατοῦσι δὲ ἰσχυρῶς, καὶ αἴσθησιν ὀξυτάτην ἔχουσι, καὶ θηρατὰς φοβούμενοι κατὰ στοῖχον ὁδεύουσι καὶ ὀσμῶνται τὴν πόαν. καὶ ὅ γε πρῶτος τῆς ⟨ἐν ποσὶ πόας⟩ αἰσθόμενος καὶ ὅτι διῆλθον ἄνθρωποι ἐκ τῆς παραψαύσεως συνεὶς αὐτῶν, ἀνασπᾷ τὴν πόαν καὶ δίδωσι τῷ κατόπιν ὀσφραίνεσθαι καὶ ἐκεῖνος τῷ μετ' αὐτόν· καὶ οὕτως ἤδε ἡ ἀντίδοσις διέρχεται καὶ μέχρι τοῦ οὐραγοῦντος· ὁ δὲ μέγα ἐπήχησεν. οἱ δὲ ὡς ἀπὸ συνθήματος τρέπονται εἰς ἕλη καὶ δάση καὶ ἄγχη καὶ τῶν ἑλῶν τὰ κοιλότερα καὶ ὅσα μέντοι καὶ τῶν πεδίων κομᾷ τοῖς θάμνοις. ὅταν δ'

---

1 ἡμεροῦται] Arist. hist. anim. A 1 p. 488a28 τὰ δὲ καὶ ἡμεροῦσθαι δύναται ταχύ, οἷον ἐλέφας     ἐν Ἰνδοῖς] Ael. nat. anim. XII 44 (p. 314,23—315,5 Hercher) ἐν Ἰνδοῖς ἐὰν ἁλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστι καὶ τὴν ἐλευθερίαν ποθῶν φονᾷ. ἐὰν δὲ αὐτὸν καὶ δεσμοῖς διαλάβῃς, ἔτι καὶ μᾶλλον ἐς θυμὸν ἐξάπτεται καὶ δοῦλος εἶναι καὶ δεσμώτης (δοῦλος εἶναι καὶ δεσπότης V: δεσπότην vulgo: corr. Hercher) οὐχ ὑπομένει. ἀλλ' οἱ Ἰνδοὶ καὶ ταῖς (ταῖς susp. Hercher) τροφαῖς κολακεύουσιν αὐτὸν καὶ ποικίλοις καὶ ἐφολκοῖς δελέασι πραΰνειν πειρῶνται, παρατιθέντες ὅσα πληροῖ (ὡς πληροῦν vulgo: corr. Hercher) τὴν γαστέρα καὶ θέλγει (θέλγειν vulgo) τὸν θυμόν. ὁ δὲ ἄχθεται αὐτοῖς καὶ ὑπερορᾷ. τί οὖν ἐκεῖνοι κατασοφίζονται; μοῦσαν αὐτοῖς προσάγουσιν ἐπιχώριον, καὶ κατᾴδουσιν αὐτοὺς ὀργάνῳ τινὶ καὶ τούτῳ συνήθει. καλεῖται δὲ σκινδαψὸς τὸ ὄργανον. ὁ δὲ ὑπέχει τὰ ὦτα καὶ θέλγεται καὶ ἡ μὲν ὀργὴ πραΰνεται, ὁ δὲ θυμὸς ὑποστελλεταί τε καὶ στόρνυται, κατὰ μικρὰ δὲ καὶ ἐς τὴν τροφὴν ὁρᾷ     9 διώκονται] cf. Ael. l. c. VIII 56 (p. 164,22—32 Herch.)     11 διωκόμενος] cf. Ael. l. c. VII 6 (p. 172,20—173,13 Herch.)     16 ἐνακμάζοντος] cf. Ael. l. c. IX 56 (p. 237,29—238,20 Herch.)

---

3 εἰ sic D     4 καὶ addidi ex Ael.     δουλοσύνην D: δεσπότην vulg. Ael.: δοῦλος εἶναι καὶ δεσπότης (δεσμώτης Hercher) V cod. Ael.     6 κατασοφίζονται οὖν αὐτοῦ scripsi cf. Ael.: κατασοφίζεται οὖν αὐτῷ D     7 σκινδαψός scripsi ex Ael.: σκορδαψός D     9 νοδοὺς D     12 ῥώμῃ D Ael.: ῥύμῃ Jacobs     ἀμηχάνῳ D Ael.: ἀμάχῳ Hercher     19 τῆς ἐν ποσὶ πόας αἰσθόμενος Ael.: τίς αἰσθόμενος D     22 μέγα scripsi ex Ael.: μέγας D     24 κοματοῖς θάμνοις D

αὐτοὺς ἐπιλίπωσιν αἱ νομαί, τὰς ῥίζας ἐξορύττοντες σιτοῦνται καὶ αὐτάς· καὶ οἱ μὲν ἐσθίουσιν, οἱ δὲ ἀπίασι ζητοῦντες χιλόν, καὶ ὅ γε πρῶτος εὑρὼν καλεῖ τοὺς ἄλλους.

(94) Σιτοῦνται δὲ καὶ σχῖνον τὴν περιπεφυκυῖαν τοῖς δένδροις καὶ κιττὸν ἄγριον τὸν ἐφέρποντα τοῖς φυτοῖς καὶ φοινίκων ἁπαλὰς καὶ νεαρὰς κόμας καὶ φυτῶν ὅρπηκας καὶ πτόρθους τοὺς ὑγροτέρους. ἐσθίουσι δὲ μικροῦ καὶ ὅσα ἄνθρωπος.

(95) Αὐτῶν δὲ τὰ μὲν κρέα ἐδώδιμα οὐκ ἔστιν, ὅτι μὴ ἡ προβοσκὶς καὶ τὰ χείλη τοῦ στόματος καὶ τῶν κεράτων ὁ μυελός. τὸ δὲ στέαρ τοῖς ἰοβόλοις ἔχθιστον· εἰ γάρ τις χρίσαιτο ἢ θυμιάσαιτο αὐτοῦ, ἀποδιδράσκει πορρωτάτω.

(96) Ἐσθίειν δέ φησιν Ἀριστοτέλης τὸν ἐλέφαντα μεδίμνους μακεδονικοὺς ἐννέα, ἀλφίτων δὲ ἐπὶ τούτοις ἕξ, εἰ δὲ δοίης, καὶ ἑπτὰ καὶ χιλόν, φύλλα καὶ κλάδους ἁπαλούς. πίνειν δὲ αὐτοὺς ὁ αὐτὸς λέγει [καὶ] μετρητὰς Λακεδαιμονίους δεκατέσσαρας, καὶ πάλιν τῆς δείλης ἐπιπίνειν ὀκτώ. βιοῦν δὲ τὸν ἐλέφαντα ἔτη διακόσιά φασι· προϊέναι δὲ ἔστιν οὓς καὶ εἰς τρεῖς ἑκατοντάδας.

(97) Ποταμὸν δὲ ἐλέφαντες διαβαίνοντες, εἰ καλύπτοιντο ὑπὸ τοῦ ῥεύματος, ἀνέχουσι τὰς προβοσκίδας ὑπὲρ τὸ ὕδωρ· τὰ δὲ ἀρτιγενῆ πωλία ὑπὲρ τῶν ὀδόντων ἢ κεράτων φέρουσιν αἱ μητέρες.

(98) Ὅταν δὲ ὑπερβῆναι τάφρον μὴ δύνανται, εἷς ὁ μέγιστος ἑαυτὸν εἰς αὐτὴν ἐμβάλλει, καὶ πλάγιος ἵσταται, καὶ γεφυροῖ τὸ κενόν, καὶ κατ' αὐτοῦ βαίνοντες ἀποδιδράσκουσιν. ἀνέλκουσι δὲ καὶ ἐκεῖνον οὕτως. | (f. 345v) ἄνωθέν τις τὸν πόδα προτείνει καὶ ἐκείνῳ παρέχει περιπλέξαι τὴν προβοσκίδα· οἱ δὲ ἄλλοι φρύγανα ἐμβάλλουσι καὶ ξύλα, ὧν ἐπιβαίνων ἀνασπᾶται ῥᾳδίως.

4 σιτοῦνται] cf. Ael. nat. anim. VII 6 (p. 173,4—8 Herch.) 8 αὐτῶν] cf. Ael. l. c. X 12 (p. 247,2—6 Herch.) 12 ἐσθίειν] Ael. l. c. XVII 7 (p. 414,23—29 Herch.) Ἀριστοτέλης ἐν τῷ ὀγδόῳ Περὶ ζῴων (Θ 9 p. 596a3—12) φησὶ τοὺς ἐλέφαντας ἐσθίειν κριθῶν μεδίμνους Μακεδονικοὺς ἐννέα, ἀλφίτων δὲ ἐπὶ τούτοις ἕξ, εἰ δὲ δοίης, καὶ ἑπτά. καὶ χιλόν, φύλλα (σχίνου φύλλα temptans hinc ad ἁπαλοὺς del. Hercher) καὶ κλάδους ἁπαλούς· πίνειν δὲ αὐτοὺς ὁ αὐτὸς λέγει μετρητὰς Μακεδονικοὺς τετταρεσκαίδεκα καὶ πάλιν τῆς δείλης ἐπιπίνειν ὀκτώ. βιοῦν δὲ ἐλέφαντας ἔτη διακόσιά φησι, προϊέναι δὲ ἔστιν οὓς καὶ ἐς τρεῖς ἑκατοντάδας 18 ποταμὸν] Ael. l. c. VII 15 (p. 181,1—5 Herch.) ποταμὸν ἐλέφαντες διέρχονται οἱ μὲν ἔτι νέοι διανηχόμενοι οἱ δὲ ἤδη τέλειοι, καὶ εἰ καλύπτοιντο ὑπὸ τοῦ ῥεύματος, ἀνέχουσι μέντοι τὰς προβοσκίδας ὑπὲρ τὸ ὕδωρ, τὰ δὲ ἀρτιγενῆ πώλια ἐπὶ τῶν ὀδόντων [ἢ κεράτων, del. Hercher] φέρουσιν αἱ μητέρες 21 ὅταν] cf. Ael. l. c. VIII 15 (p. 210,1—11 Herch.)

1 ἐπιλίπωσιν D confirmans Hercheri emendationem: καταλίπωσιν vulg. Ael. 4 σχῖνον Ael.: σχοῖνον D 10 θυμιάσαιτο D: ἐπιθυμιάσαι Ael.: ἐπιθυμιάσειεν Hercher 11 πορωτάτω D 13. 14 χιλῶν φύλα D 14 καὶ deest Ael. 19 ὑπὲρ (sic) D 21 δὲ deest Ael. post τάφρον add. οἱ ἐλέφαντες Ael. δύνανται D: δύνωνται Ael. 22 αὐτὴν D 23 βαίνοντες εἰς τὸ ἀντιπέρας ἴασι καὶ ἀποδιδράσκουσι, πρότερον μέντοι καὶ ἐκεῖνον ἀνασώσαντες. ὁ δὲ τῆς σωτηρίας τρόπος οὗτός ἐστιν ἄνωθεν κτλ. Ael. 24. 25 τὴν προβοσκίδα περιπλέξαι Ael. 25 ὧν ἐπιβαίνων, εἰλημμένος (τε addidit Reiske) τοῦ ποδὸς μάλα ἐγκρατῶς τε καὶ εὐλαβῶς ἀνασπᾶται ῥᾷστα Ael.

(99) Πληγεὶς δὲ ὑπὸ βέλους, ἐλαίας πάσσων ἄνθος ἢ αὐτὸ ἔλαιον, ὁλόκληρος γίνεται. καὶ τῶν τετρωμένων δὲ τοὺς ἀτρώτους πεφεισμένως ἐξαιρεῖν ἀκούω καὶ ξυστὰ καὶ ἀκόντια ὥσπερ χειρουργίας ἐπιστήμονας.

(100) Ἀποτρέπονται δὲ τὴν ἐν Ἰνδοῖς ἄρουραν ⟨τὴν⟩ κεκλημένην Φαλάκραν καὶ οὐκ ἐσθίουσι. τὸ δὲ αἴτιον τοῦ ὀνόματος· ὁ γὰρ γευσάμενος τῆς ἐνταῦθα γενομένης πόας καὶ τὰς τρίχας ἀποβάλλει καὶ τὰ κέρατα.

(101) Ὅταν μέντοι ὑπὸ Ἰνδῶν ἀναγκάζωνται αὐτόρριζα δένδρα ἐκσπάσαι, οὐ πρότερον ἐπιχειροῦσι πρὶν διασεῖσαι, εἰ ἄρα ἀνατραπῆναι οἷόν τ' ἐστὶν ἢ μή.

(102) Τῇ προβοσκίδι δὲ ἑαυτοὺς ἐπινύττοντες εἰς τὸν ἀγῶνα ἐξάπτουσι. (103) κἂν τραυματισθῇ ἐλέφας ἐν πολέμῳ ἢ ἐν θήρᾳ, τὴν ἐν ποσὶ κόνιν ἀνελόμενοι καὶ πόαν, βοῇ σφετέρᾳ κινύρονται καὶ ποτνιῶνται, εἰς τὸν οὐρανὸν βλέποντες καὶ τῷ τραύματι ἐπιβάλλοντες, ὥσπερ θεὸν ἐπιμαρτυρόμενοι, ὅτι ἐκνόμως ὑπομένουσιν.

(104) Ἐλέφας δὲ ἐλέφαντι περιτυχὼν νεκρῷ, τῇ προβοσκίδι γῆν ἀμησάμενος ἐπιβάλλει αὐτῷ ὡς ὁσίαν τινὰ ἀπόρρητον. ἔστι δὲ ὅτε καὶ κλάδον ἐπιβάλλει αὐτῷ.

(105) Τὸν ἥλιον δὲ ἀνίσχοντα προσκυνοῦσιν ἐλέφαντες τὰς προβοσκίδας ὡς χεῖρας ἀνατείνοντες.

(106) Ὀρρωδεῖ δὲ ὁ ἐλέφας κεράστην κριὸν καὶ χοίρου βοήν.

(107) Τοὺς δὲ ὗς εἴτε μυσάττονται εἴτε καὶ δεδίασιν, ἀποστρέφονται γοῦν. (108) φασὶ δὲ τὸ ζῷον ὀστοῦν ἔχειν προσπεφυκὸς ἐν τῇ καρδίᾳ.

(109) Τρία δὲ ταῦτα ἐκ βραχίστων μέγιστα ζῷα γίνεται, τῶν μὲν [ἑνὸς] ἐνύδρων ὁ κροκόδειλος, τῶν δὲ ὑποπτέρων ἡ στρουθὸς ἡ μεγάλη, τῶν γε μὴν τετραπόδων ὁ ἐλέφας.

(110) Περὶ μὲν τῆς ἐλεφάντων σοφίας εἶπον ἀλλαχόθι, καὶ μέντοι καὶ περὶ τῆς θήρας αὐτῶν. καὶ ταῦτα εἶπον ὀλίγα ἐκ πολλῶν ὧν ἔφασαν

---

1 πληγεὶς] cf. Ael. nat. anim. II 18 (p. 44,3—6 Herch.) 2 καὶ τῶν τετρωμένων] cf. Ael. l. c. VII 45 (p. 196,22—25 Herch.) 4 ἀποτρέπονται] cf. Ael. l. c. VIII 15 (p. 210,12—18 Herch.) 7 ὅταν] cf. Ael. l. c. V 55 (p. 137,1—5 Herch.) 10 τῇ προβοσκίδι] cf. Ael. l. c. VI 1 (p. 138,8 Herch.) 11 κἂν τραυματισθῇ] cf. Ael. l. c. V 49 (p. 133,7 Herch.) 15 ἐλέφας] cf. Ael. l. c. V 49 (p. 132,31—133,6 Herch.) 18 τὸν ἥλιον] cf. Ael. l. c. VII 44 (p. 195,31 Herch.) 20 ὀρρωδεῖ] cf. Ael. l. c. I 38 (p. 21,29 Herch.) 21 τοὺς δὲ ὗς] cf. Ael. l. c. XVI 36 (p. 40[illegible],15 Herch.) 22 φασὶ . . . ὀστοῦν ἔχειν] cf. Ael. l. c. XIII 15 (p. 329,15 Herch.). vide infra § 498 23 τρία] cf. Ael. l. c. IX 58 (p. 239,6 Herch.) 26 περὶ μὲν] cf. Ael. l. c. II 11 (p. 37,31—39,10 Herch.)

---

3 ἐξαιρεῖν Ael.: ἐξαίρειν D 4 τὴν addidi 5 ὃ D 7 αὐτόριζα D 8 διασεῖσαι καὶ διασκέψασθαι Ael. 11 κἂν τραυματισθῇ scripsi: καὶ τραυματισθεὶς Ael. 16 ἀμησάμενος D: ἀρυσάμενος Ael. 18 δὲ deest Ael. 18. 19 post προβοσκίδας habet εὐθὺ τῆς ἀκτῖνος Ael. 20 δὲ deest Ael. 23 δὲ ἄρα Ael. 23. 24 τῶν μὲν ἐνύδρων Ael.: τοῦ μὲν ἑνὸς ἔνυδρον D 27 θήρας Ael.: πείρας D ταῦτα D Ael.: ταύτης Hercher

ἄλλοι. τὸ δὲ νῦν ἔχον ἔθηκα ἐρεῖν περί τε εὐμουσίας αὐτῶν καὶ εὐπειθείας καὶ τῆς ἐς τὰ μαθήματα εὐκολίας, χαλεπὰ ὁμοίως ὄντα καὶ ἀνθρώπῳ | τυχεῖν αὐτῶν, μή τι γοῦν τοσούτῳ θηρίῳ καὶ οὕτω τέως ἀγριωτάτῳ γε- f. 346r νέσθαι. χορείαν γὰρ καὶ ὀρχηστικὴν καὶ βαίνειν πρὸς ῥυθμὸν καὶ αὐλουμένους ἀκούειν καὶ συνιέναι ἤχων διαφορὰς ἢ βραδύνειν ἐνδιδόντων ἢ ταχύνειν παρορμώντων, μαθὼν οἶδεν ἐλέφας, καὶ ἀκριβοῖ καὶ οὐ σφάλλεται. οὕτως ἄρα ἡ φύσις μεγέθει μὲν αὐτὸν μέγιστον εἰργάσατο, μαθήσει δὲ πραότατον ἀπέφηνε καὶ εὐάγωγον. εἰ μὲν οὖν ἔμελλον τὴν ἐν Ἰνδοῖς αὐτῶν εὐπείθειαν καὶ εὐμαθίαν ἢ τὴν ἐν Αἰθιοπίᾳ ἢ τὴν ἐν Λιβύῃ γράφειν, ἴσως καὶ μῦθον ἐδόκουν τινὰ συμπλάσας κομπάζειν, εἶτα ἐπὶ φήμῃ τοῦ θηρίου τῆς φύσεως καταψεύδεσθαι· ὅπερ ἐχρῆν δρᾶν φιλοσοφοῦντα ἄνδρα ἥκιστα καὶ ἀληθείας ἐραστὴν διάπυρον. ἃ δὲ αὐτὸς εἶδον καὶ ἅτινα πρότερον ἐν τῇ Ῥώμῃ πραχθέντα ἀνέγραψαν ἄλλοι προειλόμην εἰπεῖν, ἐπιδραμὼν ὀλίγα ἐκ πολλῶν, οὐχ ἥκιστα καὶ ἐντεῦθεν ἀποδεικνὺς τὴν τῶν ζῴων ἰδιότητα.

ἡμερωθὲν ἐλέφας πραότατόν ἐστι καὶ ἄγεται ῥᾷστα εἰς ὅ τις θέλει. καὶ τά γε πρεσβύτατα τιμῶν τὸν χρόνον ἐρῶ πρῶτον. θέας ἐπετέλει Ῥωμαίοις ὁ Καῖσαρ Γερμανικός· εἴη δ' ἂν ἀδελφιδοῦς Τιβερίου οὗτος. οὐκοῦν ἐγένοντο μὲν καὶ ἄρρενες ἐν τῇ Ῥώμῃ τέλειοι πλείους καὶ θήλειαι, εἶτα ἐξ αὐτῶν ἐτέχθησαν αὐθιγενεῖς. καὶ ὅτε τὰ κῶλα ὑπήρξαντο πήγνυσθαι, σοφὸς ἀνὴρ ὁμιλεῖν τοιούτοις θηρίοις ἐπώλευσεν αὐτούς, δαιμονίᾳ τινὶ καὶ ἐκπληκτικῇ διδασκαλίᾳ μεταχειρισάμενος. προσῆγε δὲ αὐτοὺς ἄρα ἡσυχῇ τήν γε πρώτην καὶ πράως τοῖς διδάγμασι, δελέατα ἄττα ἐπάγων καὶ τροφὰς ἡδίστας καὶ πεποικιλμένας εἰς τὸ ἀγωγόν τε καὶ ἐφολκόν, ὡς εἴ τι μὲν ἦν ⟨ἀγριότητος, τοῦτο ἐκβαλεῖν, ἀπαυτομολῆσαι δὲ πρὸς τὸ ἥμερον καὶ ἁμωσγέπως ἀνθρώπειον. καὶ ἦν γε⟩ τὰ μαθήματα καὶ αὐλῶν ἀκούοντας μὴ ἐκμαίνεσθαι καὶ τυμπάνων ἀράβου κροτοῦντος μὴ ταράσσεσθαι καὶ κηλεῖσθαι σύριγγι, φέρειν δὲ καὶ ἤχους ἐμμελεῖς καὶ ποδῶν ἐμβαινόντων ψόφον καὶ ᾠδὴν συμμιγῆ. ἐξεπονήθησαν δὲ καὶ ἀνθρώπων πλῆθος μὴ δεδιέναι.

(111) Οἱ Ἰνδοὶ τέλειον μὲν ἐλέφαντα συλλαβεῖν ῥᾳδίως ἀδυνατοῦσιν

---

29 οἱ Ἰνδοὶ] cf. Ael. nat. anim. IV 24 (p. 89,19—32 Herch.)

---

1 ἔθηκα D Ael.: ἔοικα Schneider 2 ὁμοίως D: ὅμως Ael.: "τὰ (post ἐς) deleam itemque ὅμως" Hercher 3 αὐτῶν D Ael.: delevit Hercher 3. 4 γενέσθαι D: συγγενέσθαι Ael. βαίνειν Ael.: μένειν D 4. 5 αὐλουμένους D Ael.: αὐλοῦ ἀσμένως Hercher 7 φύσις μὲν μεγέθει αὐτὸν μέγιστον εἰργάσατο aut φύσις μὲν αὐτὸν μέγιστον εἰργάσατο proponit Hercher μαθήσει D Ael.: μάθησις Jacobs 8 ἔμελλον Ael.: ἀμέλλου D 9 εὐμαθίαν D: εὐμάθειαν Ael. ἴσως ἄν τῳ Ael. 14 τοῦ ζῴου Hercher 15 ἡμερωθὲν D Ael.: ἡμερωθεὶς Schneider: immo ἐλέφας delendum videtur πραότατόν D Ael.: πραότατος malit Hercher ὅ τις Ael.: ὅ τίς D: ὅ ⟨τί⟩ τις Hercher 16 πρῶτον Ael.: πρῶτος D ἐπετέλει Ael.: ἐπιτέλει D 17 ὁ Γερμανικὸς ὁ Καῖσαρ Ael. 18 μὲν D Ael.: om. Hercher θήλειας D 23 ἀγωγὸν D Ael.: ἐπαγωγὸν Hercher 24 ἀγριότητος—ἦν γε (25) addidi ex Ael. ἀπαυτομολῆσαι Hercher: ἐπαυτομολῆσαι Ael. 26 τυμπάνων Ael.: τυμπάνῳ D ταράττεσθαι Ael. κηλεῖσθαι Ael.: καλεῖσθαι D 27 ἐμμελεῖς D Ael.: ἐκμελεῖς Jacobs ἐμβαινόντων Ael.: ἐκβαινόντων D 29 οἱ Ἰνδοὶ Ael.: Οἰνδοὶ D

(οὔτε γὰρ τοσαῦτα δράσουσιν οὔτε τοσοίδε παρέσονται), | εἰς δὲ τὰ ἕλη f. 346v φοιτῶντες τὰ γειτνιῶντα τῷ ποταμῷ, εἶτα μέντοι λαμβάνουσιν αὐτῶν τὰ βρέφη. ἀσπάζεται γὰρ ὁ ἐλέφας τὰ ἔνδροσα χωρία καὶ μαλακά, καὶ φιλεῖ τὸ ὕδωρ, καὶ ἐν τοῖσδε τοῖς ἤθεσι διαιτᾶσθαι ἐθέλει, καὶ ὡς ἂν εἴποις ἕλειός ἐστι. λαβόντες οὖν ἁπαλὰ καὶ εὐπειθῆ τρέφουσι κολακείᾳ τε τῇ κατὰ γαστέρα καὶ θεραπείᾳ τῇ περὶ τὸ σῶμα καὶ φωνῇ θεραπευτικῇ· ⟨συνιᾶσι γὰρ ἐλέφαντες καὶ γλώττης ἀνθρωπίνης⟩ τῆς ἐπιχωρίου καὶ συνελόντι εἰπεῖν ὡς παῖδας αὐτοὺς ἐκτρέφουσι καὶ κομιδὴν προσάγουσιν αὐτοῖς καὶ παιδεύματα ποικίλα· οἱ δὲ πείθονται.

(112) Ἐλέφας, οἱ μὲν αὐτοῦ προκύπτειν χαυλιόδοντάς φασιν, οἱ δὲ κέρατα. ἔχει δὲ καὶ καθ' ἕκαστον πόδα δακτύλους πέντε, ὑποφαίνοντας μὲν τὰς ἐκφύσεις, οὐ μὴν διεστῶτας. ταῦτά τοι καὶ νηκτικός ἐστιν ἥκιστα. σκέλη δὲ τὰ πρόσθια τῶν κατόπιν βραχύτερά ἐστι· μαζοὶ δὲ αὐτῷ πρὸς ταῖς μασχάλαις εἰσί· μυκτῆρα δὲ κέκτηται χειρὸς παγχρηστότερον καὶ γλῶτταν βραχεῖαν· χολὴν δὲ αὐτὸν ἔχειν οὐ κατὰ τὸ ἧπαρ, ἀλλὰ πρὸς τῷ στέρνῳ φασί. κύειν δὲ πυνθάνομαι δύο ἐτῶν τὸν ἐλέφαντα. οἱ δὲ οὐ τοσοῦτον χρόνον, ἀλλὰ ὀκτωκαίδεκα μηνῶν ὁμολογοῦσιν. ἀποτίκτει δὲ ἰσήλικα τὸ μέγεθος μόσχῳ ἐνιαυσιαίῳ, σπᾷ δὲ τῆς θηλῆς τῷ στόματι. ἐνθουσιῶν δὲ εἰς μίξιν οἴστρῳ τε φλεγόμενος ἐμπίπτει τοίχῳ καὶ ἀνατρέπει, καὶ φοίνικας κλίνει, τὸ μέτωπον προσαράττων κατὰ τοὺς κριούς. πίνει δὲ ὕδωρ οὐ διειδές, οὐδὲ καθαρόν, ἀλλ' ὅταν ὑποθολώσῃ τε καὶ ὑποταράξῃ. καθεύδει γε μὴν ὀρθοστάδην· κατακλιθῆναι γὰρ καὶ ἐξαναστῆναι ἐργῶδες αὐτῷ. ἀκμὴ δὲ ἐλέφαντος ἑξήκοντα χρόνων γεγονέναι. κρυμῷ δὲ ὁμιλεῖν ἥκιστός ἐστι. διατείνει δὲ τὸν βίον καὶ εἰς διπλῆν ἑκατοντάδα.

(113) Ἐν Ἰνδοῖς, ὡς ἀκούω, ἐλέφας καὶ δράκων ἐστὶν ἔχθιστα. οὐκοῦν οἱ μὲν ἐλέφαντες, ἀποσπῶντες τῶν δένδρων τοὺς κλάδους, ἐκείνους νέμονται. ὅπερ οὖν εἰδότες οἱ δράκοντες ἐπ' αὐτὰ μὲν ἕρπουσι, τὸ δὲ ἥμισυ σφῶν αὐτῶν τὸ οὐραῖον τῶν δένδρων περιβάλλουσι | τῇ κόμῃ, τὸ f. 347r δὲ ἐς τὴν κεφαλὴν προϊὸν ἥμισυ μεθῆκαν καλωδίου δίκην ἀπηρτημένον. καὶ ὁ μὲν προσῆλθεν δρέψασθαι τῶν ἀκρεμόνων ὁ ἐλέφας, ὁ δὲ δράκων

10 ἐλέφας] cf. Ael. nat. anim. IV 31 (p. 93,17—94,5 Herch.) 25 ἐν Ἰνδοῖς] cf. Ael. l. c. VI 21 (p. 148,20—31 Herch.)

1 οὔτε—παρέσονται delevit Hercher δράσσουσιν D 3 ἔνδροσα ex ἔνδρϊσα correxit D¹ 4 ἐθέλοι D 6 θεραπευτικῇ D libr. Ael.: θωπευτικῇ Hercher 7 συνιᾶσι—ἀνθρωπίνης addidi ex Aeliano 8 κομιδὴν Ael.: κομιδῆ D 9 πείθονται Ael.: πείθωνται D 10 ἐλέφας D: ὁ ἐλέφας Ael. 12 νηκτικός Ael.: νηκτὸς D 13 σκέλη Ael.: σκέλια D τὰ πρόσθια τῶν κατόπιν D Ael.: τὰ κατόπιν τῶν προσθίων Gesnerus 14 μυκτῆρα Ael.: μυκτῆρας D 16 στέρνῳ] ἐντέρῳ Camperus 17 ἀποτίκτει Ael.: ἀποτίκτειν D 18 ἐνιαυσίῳ Ael. 21 ὑποθολώσῃ τε Ael.: ὑποθολώσηται D 22 καθεύδῃ D κατακλινῆναι Ael. 23 ἐλέφαντος ἑξήκοντα χρόνων γεγονέναι D: ἐλέφαντος ἑξηκονταετῆ γεγονέναι Ael.: ἐλέφαντι ἑξήκοντα ἔτη Hercher 25 Ἐν] ν omisso Ἐ a rubricatore D εἰστὶν D 27 ἕρπουσι D: ἀνέρπουσιν Ael. τὸ δὲ D Ael.: καὶ τὸ μὲν proponit Hercher 30 δρέψασθαι D: ἀποδρέψασθαι Ael.

ἐμπηδᾷ τοῖς ὀφθαλμοῖς καὶ ἐξορύττει, εἶτα τῷ τραχήλῳ περιερπύσας, τείνων τῷ οὐραίῳ μέρει καὶ σφίγγων θατέρῳ ἀπάγχει τὸ θηρίον ἀήθει βρόχῳ καὶ καινῷ.

(114) Σοφὸν ἐλέφαντος ἔργον εἰ παραλείποιμι, φήσει μέ τις ἀγνοήσαντα οὐκ εἰπεῖν. ἔστι δὲ ἀκοῆς ἄξιον, καὶ διὰ ταῦτα ἀκούσωμεν αὐτοῦ. ὁ τῆς τούτου κομιδῆς ἐγχειρισθεὶς τὴν φροντίδα, τῶν μὲν κριθῶν ὑφῄρει, λίθους δὲ ὑποτάττων ἐκείνῳ μὲν ἄβρωτον τὸ πλεῖστον εἰργάζετο, ἀπέσωζε ⟨δὲ⟩ τὸν ὄγκον τοῦ μέτρου πρὸς τὸν ἐπισκοποῦντα ἀμφοῖν δεσπότην. καὶ τέως διελάνθανεν. οὐκοῦν ὁ ἐλέφας ἀθάρην ἰδὼν ἕψοντα τὸν ἐπίβουλόν οἱ, τῆς ἄμμου τῆς ἐν ποσὶ τῇ προβοσκίδι χύδην ἀναλαβὼν ἐνέβαλεν εἰς τὴν χύτραν καὶ ἠμύνατο ἀνθ' ὧν ἔπαθε δι' ὧν ἐποίησεν εὐμηχάνως.

(115) Στρατεύονται δὲ ἄρα οἱ Λίβυες οὐ μόνον ἐπὶ τοὺς γείτονας, ἵνα αὐτῶν πλέον ἔχωσιν, ἀλλὰ καὶ ἐπὶ τοὺς ἐλέφαντας. καὶ ἴσασί γε ἐκεῖνοι τῆς ὁδοῦ τῆς ἐπ' αὐτοὺς τὴν ὑπόθεσιν οὐδὲν ἕτερον εἶναι ἢ τοὺς ὀδόντας. οἱ τοίνυν πηρωθέντες τὸν ἕτερον ἐπὶ μετώπου ἑστᾶσι, τῶν λοιπῶν προβαλλομένων αὐτούς, ἵνα οἱ μὲν ὑποδέχωνται τὴν πρώτην ὁρμήν, οἱ δὲ ἀμύνωσιν ἀκεραίῳ τῇ τῶν ὀδόντων ῥώμῃ καὶ ἰσοπαλεῖ, ἴσως δὲ τῶν Ἰνδῶν καὶ καταφιλοσοφοῦντες καὶ ἐπιδεικνύντες αὐτοῖς ὅτι ἄρα οὐχ ὑπὲρ μεγάλου τοῦ ἄθλου κινδυνεύοντες ἥκουσι. χρῶνται δὲ ἄρα τῷ μὲν τῶν ὀδόντων ὡς ὅπλῳ, καὶ τεθηγμένον αὐτὸν φυλάττουσι, τῷ δὲ ὡς σμινύῃ· καὶ γὰρ ἐν αὐτῷ ῥίζας ὀρύττουσι καὶ δένδρα ἐκμοχλεύοντες ὑποκλίνουσιν.

(116) Ὅταν ὑπὸ θηρατῶν ὡς ἐν πολέμῳ στρατιῶται τραπῶσιν οἱ ἐλέφαντες καὶ εἰς φυγὴν ὁρμήσωσιν οὐ φεύγουσι διῃρημένοι οὐδὲ καθ' ἕνα, ἀλλὰ κοινῇ, καὶ πιέζουσιν ἀλλήλους τῶν συννόμων ἐχόμενοι. καὶ κύκλῳ μὲν οἱ νέοι, ὡς εἰπεῖν, τὸ μαχιμώτατον, ἐν μέσῳ δὲ | οἱ γεγηρακότες f. 347v καὶ αἱ μητέρες, ὑπὸ ταύταις δὲ τὰ πωλία. ἑκάστη τὸ ἴδιον ἀποκρύπτουσα. καὶ ὁρῶνταί γε οἵδε οἱ μικροὶ σπανιώτατα. ἀθρόους δὲ αὐτοὺς ἐὰν θεάσωνται καὶ λέοντες, ἢ φεύγουσι προτροπάδην ἢ ἄλλος ἄλλῃ κατέπτηξαν ὡς νεβροί, τοὺς ἐλέφαντας οἱ τέως φοβεροὶ καὶ ἐκπληκτικοὶ καταδείσαντες. οὐκ

4 σοφὸν] cf. Ael. nat. anim. VI 52 (p. 163,17—28 Herch.) 12 στρατεύονται] cf. Ael. l. c. VI 56 (p. 164,22—165,3 Herch.) 22 ὅταν] cf. Ael. l. c. VII 36 (p. 191,26—192,7 Herch.)

1 τείνων susp. Hercher 2 ἀπάγχει Ael.: ἀπάγει D 4 οφὸν, omissa prima litera a rubricatore D παραλ(ίποιμι Ael. 5 ἀκοῆς D: καὶ ἀκοῆς Ael. διὰ ταῦτα Ael.: διαυταῦτα D 7 ὑποτάττων D: ὑποπάττων Ael. ἄβροτον D 8 δὲ addidi ex Ael. 9 ἀθάρην Ael.: ἀθόρην D ἐπίβουλον οἷ D 11 ἠμύνατο Ael.: ἠμύσατο D εὐμηχάνως Ael.: ἀμηχάνως D 12 τρατεύονται litera Σ omissa a rubricatore D 14 ὁδοῦ D Ael.: ἐφόδου proponit Hercher 15 πιρωθέντες D 17 Ἰνδῶν D Ael.: Λιβύων Gesnerus 19 κινδυνεύοντες D: κινδυνεύσοντες Ael. ὡς Ael.: ὡ D 20 αὐτὸν Ael.: αὐτὸ D σμηνύῃ D ῥίζας Ael.: ῥίζαν D 21 ἐκμοχλεύοντες D: ἐκμοχλεύσαντες Ael. 22 ταν omisso Ὁ a rubricatore D ὑπὸ D: ὑπὸ τῶν Ael. 25 τὸ μαχιμώτατον Ael.: τῶν μαχιμωτάτων D 27 ἀθρόους Ael.: ἀθρόως D 28 κατέπτιξαν D 29 νεβροί Ael.: νεκροὶ D

ἀνθίσταται δὲ τοῖς διώκουσιν ἐλέφας, εἰ μή ποτε ἄρα ὑπὲρ τῶν τέκνων καὶ τῶν νοσούντων. ἐνταῦθα δὲ ἄμαχός ἐστι.

(117) Πώρου τοῦ Ἰνδῶν βασιλέως ὁ ἐλέφας ἐν τῇ πρὸς Ἀλέξανδρον μάχῃ τετρωμένου πολλὰ ἡσυχῇ καὶ μετὰ φειδοῦς τῇ προβοσκίδι ἐξῄρει τὰ ἀκόντια, καὶ μέντοι καὶ αὐτὸς τετρωμένος πολλὰ οὐ πρότερον εἶξε, πρὶν ἢ συνιέναι, ὅτι ἄρα ὁ δεσπότης αὐτῷ [ὅτι] διὰ τὴν ῥοὴν τοῦ αἵματος τὴν πολλὴν παρεῖται καὶ ἐκθνήσκει. οὐκοῦν ἑαυτὸν ὑπέκλινε, καὶ ὀκλάσας ἔμεινεν, ἵνα μὴ ἄνωθεν πεσὼν ὁ Πῶρος εἶτα μέντοι κακωθῇ τὸ σῶμα ἐπὶ μᾶλλον.

(118) Πύρρῳ τῷ Ἠπειρώτῃ ἦν ἐλέφας, ὅσπερ οὖν τὸν ἑαυτοῦ πωλευτὴν οὕτως ἠγάπησεν, ὡς ἀποθανόντος ἐν Ἄργει τοῦ Πύρρου, ἐκπεσόντος δὲ τοῦ ἐλαύνοντος, οὐ πρότερον ὑπέμεινεν ἀτρεμῆσαι καὶ ἡσυχάσαι πρὶν ἢ ἀνασώσασθαι τοῦτον αὐτὸν ἐκ τῶν πολεμίων καὶ ἐς τὸ φίλιον μεταγαγεῖν.

(119) Πυνθάνομαι δὲ ἐν τῇ Ἀντιόχου πόλει τῇ Σύρων γενέσθαι πρᾶον ἐλέφαντα, ἰόντα τε αὐτὸν ἐπὶ τὰς νομὰς στεφανόπωλιν γυναῖκα ὁρᾶν ἡδέως, καὶ προσεστάναι αὐτῇ καὶ τῇ προβοσκίδι τὸ πρόσωπον τῆς ἀνθρώπου καθαίρειν. δέλεαρ δὲ ἄρα ἐκείνη καθίει τοῦ φίλτρου αὐτῷ στέφανον ἀεὶ τὸν ἐκ τῆς τέχνης, τὸν καθ' ὥραν πλεκόμενον. καὶ τῷ μὲν ὁσημέραι λαμβάνειν ἔργον ἦν, τῇ δὲ διδόναι. χρόνῳ δὲ ὕστερον ἡ μὲν ἄνθρωπος τὸν βίον κατέστρεψεν, ὁ δὲ ἐλέφας τῆς συνηθείας διαμαρτάνων καὶ οὐχ ὁρῶν ἣν ἐπόθει γυναῖκα, ὥσπερ οὖν ἐραστὴς ἐρωμένης ἀποτυχὼν ἐξηγριώθη· καὶ ὃς τέως πραότατος ἦν εἰς θυμὸν ἐξήφθη ὥσπερ οὖν καὶ τῶν ἀνθρώπων οἱ ἄγαν ὑπὸ τῆς λύπης ἐπικλυσθέντες ἔκφρονες γίνονται.

(120) Οὐκ ἄν ποτε ῥᾳδίως ἐνέδρα [ποτὲ] τοὺς ἐλέφαντας λάθοι. ὅταν οὖν γένωνται τῆς τάφρου πλησίον ἣν εἰώθασιν | ὑπορύττειν οἱ θηρῶντες f. 348r
αὐτούς, εἴτε ἐννοίᾳ τινὶ φυσικῇ εἴτε μαντικῇ ναὶ μὰ Δία ἀπορρήτῳ τοῦ μὲν περαιτέρω χωρεῖν ἀναστέλλονται, ἑαυτοὺς ⟨δὲ⟩ ἐπιστρέψαντες εἶτα μέντοι ὡς ἐν πολέμῳ ἀνθίστανται μάλα καρτερῶς, καὶ ἀνατρέψαι πειρῶνται τοὺς θηρευτὰς καὶ δι' αὐτῶν ὠσάμενοι φυγῇ πορίσασθαι τὴν σωτηρίαν, κρείττους γενόμενοι τῶν ἀντιπολεμίων. γίνεται τοίνυν ἐνταῦθα τοῦ καιροῦ μάχη καρ-

3 Πώρου] Ael. nat. anim. VII 37 (p. 192, 8—16 Herch.) 10 Πύρρῳ] Ael. l. c. VII 41 (p. 194, 25—30 Herch.) 14 πυνθάνομαι] Ael. l. c. VII 43 (p. 195, 17—30 Herch.) 24 οὐκ ἄν ποτε] Ael. l. c. VIII 10 (p. 206, 12—207, 27 Herch.)

2 ἐστιν Ael. 3 ώρου omisso Π a rubricatore D τοῦ D: τοῦ τῶν Ael. 6 συνιέναι D: συνεῖναι Ael. διὰ Ael.: ὅτι διὰ D 7 ἐκθνήσκει Ael.: ἐκθρήσκει D ὀκλάσας D 10 τῷ D: δὲ τῷ Ael. 11 ὡς D Ael.: ὥστε Hercher 13 τοῦτον delevit Hercher 14. 15 πρᾶον γενέσθαι ex cod. V Aeliano reddidit Hercher 18 τὸν ἐκ D Vulg. Ael.: τῶν ἐκ Gronovius ex Mediceo στέφανον ἐκ τῶν καθ' ὥραν πλεκόμενον Hercher 21 ἀποτυχὼν D: ἀτυχῶν Ael. 22 ὃς D: ὁ Ael. ἦν D: ὢν Ael. 23 ὑπὸ Ael.: ἀπὸ D ἔκφρονες γίνονται D: καὶ ἔκφρονες γεγενημένοι Ael. 24 Ὁυκ ἂν D ἐνέδρα ποτὲ τοὺς ἐλέφαντας D: τοὺς ἐλέφαντας ἐνέδρα Ael. 24. 25 ὅταν γοῦν Hercher 27 δὲ addidi ex Ael. 29 θηρευτὰς D: θηρατὰς Ael. ὠσάμενοι Ael.: ὡς ἄνθρωποι D 30 ἀντιπολεμίων D: ἀντιπολέμων Ael.: ἀντιπάλων Hercher

τερὰ καὶ φόνος καὶ τῶν ⟨καὶ τῶν⟩. ὁ μέντοι τρόπος τῆς μάχης τοιόσδε· οἱ μὲν ἄνθρωποι δόρατα ἰσχυρὰ λόγχας ἀφιᾶσι στοχαζόμενοι αὐτῶν. οἱ δὲ ἐλέφαντες τὸν παραπεσόντα ἁρπάζουσι, καὶ τῇ γῇ προσαράξαντες πατοῦντές τε καὶ τοῖς κέρασι τιτρώσκοντες οἰκτίστῳ περιβάλλουσι τῷ τέλει καὶ ἀλγεινοτάτῳ. ἐπίασι δὲ οἱ θῆρες ὑπὸ τοῦ θυμοῦ τὰ ὦτα ἐκπεταννύντες ὡς ἱστία δίκην τῶν στρουθῶν τῶν μεγάλων. αἵπερ οὖν τὰς πτέρυγας ἁπλώσασαι ἢ φεύγουσιν ἢ ἑστᾶσιν. ἐπισιμώσαντες δὲ καὶ τὴν προβοσκίδα οἱ ἐλέφαντες καὶ ὑπὸ τοῖς κέρασι πτύξαντες ὥσπερ οὖν νεὼς ἔμβολον σὺν πολλῷ τῷ ῥοθίῳ φερομένης ἐμπεσόντες τε ῥύμῃ σφοδροτάτῃ πολλοὺς ἀνατρέπουσι βοῶντες διάτορόν τε καὶ ὀξὺ δίκην σάλπιγγος. πατουμένων δὲ τῶν ἁλισκομένων καὶ ἀλοωμένων τοῖς γόνασιν, ἄραβος πολὺς τῶν ὀστέων συντριβομένων ἀκούεται καὶ πόρρωθεν, τὰ πρόσωπα δὲ ἐκθλιβομένων τῶν ὀφθαλμῶν καὶ τῆς ῥινὸς συνθλωμένης καὶ ῥηγνυμένου τοῦ μετώπου τὸ ἐναργὲς τοῦ εἴδους ἀπόλλυσι, καὶ ἀγνῶτες γίνονται πολλάκις καὶ τοῖς ἐγγυτάτω προσήκουσι. σώζονται δὲ παραδόξως ἄλλοι τὸν τρόπον τοῦτον. συνείληπται μὲν ὁ θηρατής, ὑφ' ὁρμῆς δὲ τὸ θηρίον ὑπερῆλθεν αὐτόν, καὶ τὰ γόνατα εἰς τὴν γῆν ἐπήρεισε, καὶ προσκατέπηξε τὰ κέρατα εἰς θάμνον ἢ εἰς ῥίζαν ἢ εἰς ἄλλο τι τοιοῦτον, καὶ ἔχεται, καὶ μόγις ἀνασπᾷ καὶ ἐξαίρει. ἐν δὲ τῷ τέως διεκδὺς ὁ κυνηγέτης ἀπαλλάττεται. οὐκοῦν ἐν τῇ τοιαύτῃ μάχῃ πολλάκις μὲν κρατοῦσιν οἱ ἐλέφαντες, πολλάκις δὲ καὶ ἡττῶνται δείματα ἐξ ἐπιβουλῆς καὶ δέα ποικίλα ἐπαγόντων. καὶ γὰρ σάλπιγγες ᾄδουσι, καὶ δοῦπόν τε καὶ κτύπον ἐργάζονται καὶ πρὸς τὰς ἀσπίδας | ἀράττοντες τὰ δόρατα καὶ πῦρ f. 348v τὸ μέν τι ἐπὶ τῆς γῆς ἐξάπτοντες τὸ δὲ ὑψοῦ μετέωρον αἴροντες, καὶ ἄλλο σφενδονῶντες καὶ δαλοὺς διαπύρους ἀκοντίζοντες καὶ δᾷδας μακρὰς πυρὸς ἐνακμάζοντος τοῖς θηρίοις κατὰ προσώπου βιαίως ἐπισείοντες. ἅπερ οὖν τὰ θηρία δεδιότα καὶ σκοπούμενα ὠθεῖται ἔστιν ὅτε καὶ ἐκνικᾶται ἐκπεσεῖν εἰς τὴν τάφρον ἣν τέως ἐφυλάττοντο.

(121) Ἐλέφαντι ἡμέρῳ πωλευτής τις ἦν καὶ εἶχε γυναῖκα ἀφηλικεστέραν μέν, πλουσίαν δέ. οὐκοῦν ἑτέρας ἐρῶν καὶ τὰ τῆς συνοικούσης σπεύδων ἐκείνης γίνεσθαι, ταύτην μὲν ἀποπνίγει καὶ τῆς τοῦ ἐλέφαντος

---

28 ἐλέφαντι] Ael. nat. anim. VIII 17 (p. 211,19—30 Herch.)

---

1 καὶ τῶν addidi ex Ael. μέντοι Ael.: μὲν D τῆσδε τῆς μάχης τοιοῦτός ἐστιν Ael. 2 λόγχας sic D Ael.: delevit Hercher στοχαζόμενοι Ael.: στοχαζόμενα D 3 προσαρράξαντες D 4 τῷ D Ael.: delevit Hercher 7 ἑστᾶσιν D: ἐπίασιν (ἐπιᾶσιν) Ael. 8 νεὼς Ael.: νεὼ D 11 ἁλοωμένων D τῶν ὀστέων D Ael.: ὀστῶν Hercher 14 ἀπόλυσι D 17 ἐπήρεισε D Ael.: ἀπήρεισε emend. Hercher 18 τοιοῦτο Ael. ἐξαίρει D: ἐξαιρεῖ Ael. 22 καὶ (ante πρὸς) sic D Ael.: delevit Reiske 23 ἐξάπτοντες D Ael.: ἐξάπτουσι Hercher ὑψοῦ delevit Hercher αἴροντες D Ael.: αἴρουσι Hercher 24 σφενδονῶντες Ael.: σφενδονοῦντες D: σφενδονῶσι Hercher καὶ ante δαλοὺς deest Ael. 26 σκοπούμενα D: δυσωπούμενα Ael. ἔστιν D Ael.: καὶ ἔστιν Reiske ἐμπεσεῖν Gesnerus 27 ἐφυλάττοντο D: ἐφυλάττετο Ael. 28 τις delevit Hercher 30 γενέσθαι Hercher

φάτνης κατορύττει πλησίον ὁ ἀθεσμόβουλος ἄνθρωπος, ἄγεται μὴν τὴν ἄλλην. ἐνταῦθα οὖν ὁ ἐλέφας τῇ προβοσκίδι λαβόμενος τὴν νεωστὶ ἀφιγμένην ἄγει τῆς νεκρᾶς πλησίον, καὶ τοῖς κέρασιν ἀνορύξας καὶ γυμνώσας τὸ σῶμα, ἃ εἰπεῖν οὐκ ἐδύνατο, ταῦτα ἐπιδεικνύει δι' αὐτῶν τῶν ἔργων, τὴν γυναῖκα τὸν τρόπον τοῦ γήμαντος αὐτὴν ἐκδιδάσκων ὁ μισοπόνηρος ἐλέφας.

(122) Εὐθηρίας γενομένης καὶ τῶν ἐλεφάντων ἑαλωκότων οἷα δρῶσιν εἰς τὸ πραῧναι αὐτοὺς καὶ ἡμερῶσαι εἰπεῖν ἄξιον. πρῶτον μὲν εἰς ὕλην τινὰ ὀλίγον ἀφεστῶσαν τῆς τάφρου ἐν ᾗ ἐθήρασαν ἄγουσιν αὐτοὺς δεδεμένους, πολλοῖς διαλαβόντες σχοίνοις καὶ μήτε προθεῖν ἐπιτρέποντες μήτ' αὖ πάλιν ἀφίστασθαι καὶ ἀποσπᾶν εἰς τοὐπίσω. εἶτα ἕκαστον ἐξάψαντες μεγίστου δένδρου διάστημα μεμετρημένον, ὡς μήτε εἰς τὸ ἔμπροσθεν ἐπιπηδᾶν ἔχειν μήτε ἐπὶ πολὺ πάλιν ἀναχωρεῖν τοῦ σκιρτᾶν καὶ ὑβρίζειν ἐξουσίᾳ ἢ ἀτροφίᾳ τε καὶ λιμῷ τὴν ἄγαν ἰσχὺν καὶ ῥώμην καθαιροῦσι, καὶ μέντοι καὶ τὸν θυμὸν αὐτῶν καὶ τῆς ψυχῆς τὸ ἄτρεπτον ἡσυχῇ καταμαραίνουσιν, ὡς ἐκείνους μὲν λήθην ἴσχειν τῆς τέως ἀμάχου ἀγριότητος, παραλύεσθαι δὲ τοῦ πρόσθεν θυμοῦ. προσιέναι τε τοὺς τούτων πωλευτὰς καὶ ἐκ χειρὸς ὀρέγειν τροφήν, τοὺς δὲ ὑπὸ τῆς χρείας ἀναγκαζομένους λαμβάνειν καὶ μὴ κακουργεῖν, βλέπειν τε ἤδη πρᾷόν τε καὶ κεκμηκός. οἱ δὲ ἄγαν αὐτῶν ἰσχυροὶ καὶ | τέλειοι ἀπορρήξαντες τὰ δεσμὰ καὶ ταῖς ἀκμαῖς τῶν f. 349r κεράτων καὶ ταῖς προβοσκίσιν ἀνασπῶντες τὰ δένδρα, τὰ δὲ καὶ κατέαξαν ὑπὸ ῥύμης καὶ ἐμπεσόντες εἰς αὐτά, μόλις καὶ ὀψὲ τοῦ χρόνου τὰ μὲν λιμῷ, τὰ δὲ γλυκείᾳ τροφῇ, τὰ δὲ κέντροις ἡμερώθησαν. τροφὴ δὲ ἡμερουμένοις τοῖσδε τοῖς ζῴοις ἄρτοι τε οἱ μέγιστοι καὶ κριθαὶ καὶ ἰσχάδες καὶ ἀσταφίδες καὶ κρόμμυα καὶ σκόροδα καὶ μέλι χύδην σχίνου τε καὶ φοίνικος καὶ κιττοῦ φάκελοι καὶ πᾶν ὅσον ἐδωδίμου ὕλης καὶ ἐκείνοις συντρόφου καὶ ἐκ τούτου τοι καὶ φίλης.

(123) Ἀποσπώμενοι τῆς συνήθους γῆς οἱ ἐλέφαντες, καὶ ἐὰν ἡμερωθῶσι τὰ μὲν πρῶτα τοῖς δεσμοῖς καὶ τῷ λιμῷ, τὰ δὲ ἐπὶ τούτοις ταῖς τροφαῖς καὶ τῷ ποικίλῳ αὐτῶν, ὅμως τὸ φίλτρον τῆς θρεψαμένης χώρας

---

7 εὐθηρίας] Ael. nat. anim. X 10 (p. 245,29—246,25 Herch.) 28 ἀποσπώμενοι] Ael. l. c. X 17 (p. 250,21—251,6 Herch.)

---

1 ἀθεσμόβουλος D: θερμόβουλος Ael. μὴν scripsi: μὲν D: δὲ Ael. 2 νεωσὶ D 3 νεκρᾶς D Hercher: νεκροῦ Ael. ἀνορύξας Ael.: ἀνοίξας D 4 ἠδύνατο Ael. ἐπεδείκνυε Ael. 7 Οὐθηρίας culpa rubricatoris D καὶ τῶν ἐλεφάντων ἑαλωκότων D Ael.: ἐλεφάντων ceteris deletis Hercher πραῧναι D: πραῧναί τε Ael. 9. 10 δεδεμμένους D 10 πολλοῖς διαλαβόντες D: πολὺ διαλαβόντες ταῖς Ael.: πολὺ delevit Hercher μήτε αὖ Ael. 11 ἀφίστασθαι Ael.: ὑφίστασθαι D 12 μεμετρημένῳ διαστήματι Ael. 13 ἢ sic D: τῇ Ael., recte delevit Hercher 16 μὲν λήθην D Ael.: λήθην μὲν Hercher secundum Vat. 17 τούτων D: τῶν τοιούτων Ael. 19 βλέπειν τε Ael.: βλέπει τὲ D 21 κατέαξαν D: κατεάξαντες Ael.: κατάξαντες Hercher 22 μόγις Ael. 25 ἀστραφίδες (?) D κρόμυα D 26 φάκελλοι D ἐκείνοις Ael.: ἐκείνης D 27 τούτου τοι Ael.: τούτοιτοι D

οὐκ ἂν αὐτοῖς ποτε ἐξίτηλον γένοιτο. οἱ πλεῖστοι γοῦν ὑπὸ τῆς λύπης διαφθείρονται. ἤδη δέ τινες καὶ κλαίοντες ἀστακτὶ καὶ ἀμέτροις τοῖς δάκρυσιν ἐπηρώθησαν τὴν ὄψιν. εἰσάγονται δὲ εἰς τὰς ναῦς διὰ γεφύρας, παρ' ἑκάτερα αὐτῆς κλάδων τεθηλότων ⟨καὶ⟩ κομώντων μεμιγμένων καὶ ὕλης ἄλλης χλωρᾶς διατεινομένης εἰς ἀπάτην τῶν θηρίων. εἰ γὰρ ταῦτα ὁρῷεν οἱ ἐλέφαντες, ἔτι καὶ τότε διὰ τῆς γῆς ἰέναι σφᾶς αὐτοὺς δοκοῦσιν, οὐδὲ ἐπιτρέπει ταῦτα ὁρᾶσθαι τὴν θάλασσαν. βραχέα δέ ἐστι καὶ ἀγχιβαθῆ τὰ πρὸ τῆς χώρας, ἐξ ἧς ἀνάγκη πλεῖν αὐτούς, καὶ αἱ ναῦς ἀφεστᾶσιν αἱ φορτίδες· καὶ διὰ ταῦτα τῆς γεφύρας δεῖ καὶ τῆς μηχανῆς τε καὶ ἐπιβουλῆς τῆς διὰ τῶν κλάδων καὶ τῆς ὕλης τῆς προειρημένης.

(124) Διάφορα μὲν καὶ ποικίλα τῆς τῶν ἐλεφάντων ἰδιότητος ἄνω μοι λέλεκται· νῦν δὲ εἰρήσεται καὶ ὅτι καὶ μνήμην ἀγαθόν ἐστι τὸ ζῷον τοῦτο, καὶ ἐντολὰς φυλάξαι οἶδε καὶ μὴ ψεύδεσθαι τὴν τῶν παρακαταθεμένων ὁτιοῦν αὐτῷ προσδοκίαν τε καὶ ἐλπίδα. ὅτε γοῦν Ἀντίγονος ἐπολιόρκει | Μεγαρέας, ἑνὶ τῶν ἐλεφάντων τῶν πολεμικῶν συνετρέφετο καὶ f. 349v θῆλυς, ὄνομα Νίκαια. ταύτῃ τοίνυν ἡ τοῦ τρέφοντος αὐτὸν γυνὴ παιδίον ἔτυχε τεκοῦσα πρὸ ἡμερῶν τριάκοντα καὶ παρακατέθετο φωνῇ τῇ Ἰνδῶν, ἧς ἀκούουσιν ἐλέφαντες. ὁ δὲ καὶ ἐφίλει τὸ παιδίον καὶ ἐφύλαττε, καὶ κειμένου πλησίον ἥδετο, ⟨καὶ⟩ κνυζομένου παρέβλεπε, καὶ καθεύδοντος τῇ προβοσκίδι τὰς μυίας ἀνεσόβει καλάμου κλαδὶ τοῦ παραβαλλομένου εἰς τροφήν· εἴ γε μὴν παρῆν τὸ βρέφος, τότε καὶ τροφὴν ἀνεστέλλετο. οὐκοῦν ἔδει [μὲν] τὴν τρέφουσαν αὐτὸ ἐμπλῆσαι μὲν τοῦ γάλακτος, παραθεῖναι δὲ τῷ κηδεμόνι, ἢ πάντως ἀγανακτῶν ἡ Νίκαια ἦν δῆλος καὶ τεθυμωμένος καί τι καὶ δρασείων τῶν δεινῶν. πολλάκις δὲ καὶ ἀνακλαύσαντος αὐτοῦ, εἶτα τὴν σκάφην ᾗ ἐνέκειτο διέσεισε, παραμυθούμενος τῷ σεισμῷ τὸ βρέφος, οἷα δή που [καὶ] φιλοῦσι καὶ αἱ τροφοὶ καὶ τῆθαι δρᾶν ποιῶν ὡς ἄνθρωπος ὁ ἐλέφας.

(125) Μοιχευομένην τὴν τοῦ πωλεύσαντος αὐτὸν καὶ τρέφοντος γυ-

---

11 διάφορα] Ael. nat. anim. XI 14 (p. 277, 14—278, 4 Herch.) 28 μοιχευομένην] Ael. l. c. XI 15 (p. 278, 8—23 Herch.)

---

2 δακρύοις Ael. 3 ἐπηρώθησαν ex ἐπηρώθεισαν correxit D[1] 4 καὶ κομώντων Ael.: κοιμώντων D μεμιγμένων D: μιγνυμένων Ael.: πηγνυμένων Jacobsius ὕλης ἄλλης D Ael.: ἄλλης ὕλης Hercher secundum Vat. 6 τότε Ael.: τόγε D σφᾶς αὐτοὺς Ael.: σφᾶς ἑαυτοὺς D: delevit Hercher 7 θάλατταν Ael. post καὶ addidit οὐκ Gesnerus 8 ναῦς sic D Ael. cf. Lobeckii Phrynichus p. 170 11 ἄνω Ael.: ἀνω D 12 καὶ ὅτι καὶ D: ὅτι καὶ Ael. 13 ψεύσασθαι Ael. 13. 14 παρακατεθεμένων D 16 αὐτὸν Ael.: αὐτὸ D παιδίον D Ael.: παιδίον ⟨ὃ⟩ Jacobs 17 καὶ delevit Jacobs 19 καὶ post ἥδετο addidi ex Ael. κνυζωμένου Hercher 20 ἀπεσόβει Schneider 21 εἴ γε μὴν D: εἴ γε μὴ Ael.: εἰ δὲ μὴ Gesner: fortasse εἴ γε μὴν ⟨μὴ⟩ 22 τὴν Ael.: μὲν τὴν D 23 ἡ Νίκαια Ael.: τῇ νικαίᾳ D 25 ᾗ ἐνέκειτο διέσεισε Ael.: ἣν διέκειτο ἐνέσειζε D 26 που Ael.: που καὶ D τροφοὶ Ael.: τροφαὶ D καὶ τῆθαι sic D (cf. Lobeckii Phryn. p. 134): καὶ αἱ τίτθαι Ael. 26. 27 ὡς ἄνθρωπος D: ὦ ἄνθρωποι Ael. 28 τὴν D: γὰρ τὴν Ael. πωλέσαντος D

ναῖκα ἐπ' αὐτοφώρῳ καταλαβών, δι' ἀμφοτέρων θάτερον πείρας τοῖν κεράτοιν ἀπέκτεινε καὶ τὸν μοιχὸν καὶ τὴν μοιχευομένην καὶ εἴασε κεῖσθαι κατὰ τῶν στρωμάτων τῶν ὑβρισμένων καὶ τῆς εὐνῆς τῆς πεπατημένης, ὡς ἐλθόντα τὸν πωλευτὴν καταγνῶναι καὶ τὸ ἀδίκημα καὶ τὸν τιμωρήσαντα αὐτῷ γνωρίσαι. καὶ τοῦτο μὲν Ἰνδικὸν τὸ ἔργον, ἐκεῖθεν δὲ ἐξεφοίτησε δεῦρο· ἀκούω δὲ καὶ ἐπὶ Τόπου Ῥωμαίων βασιλεύοντος, ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, ἐν τῇ Ῥώμῃ ταὐτὸ γεγονέναι. προστιθέασι δὲ ὅτι ἄρα ὁ ἐνταῦθα ἐλέφας ἀπέκτεινε μὲν ἀμφοτέρους καὶ ἐν ἱματίῳ κατεκάλυψε, καὶ ἐλθόντι τῷ τροφεῖ ἀποβαλὼν τὸ ἱμάτιον κειμένους ἀλλήλων πλησίον ἀπέδειξε καὶ τὸ κέρας δέ, ᾧπερ οὖν διέπειρεν αὐτούς, καὶ τοῦτο ἡμαγμένον ἑωρᾶτο.

(126) Τῶν τεθηραμένων ἐλεφάντων ἰῶνται τὰ τραύματα οἱ Ἰνδοὶ τὸν τρόπον τοῦτον. καταιονοῦσι μὲν αὐτὰ ὕδατι χλιαρῷ, | ὥσπερ οὖν τὸ τοῦ f. 350r
Εὐρυπύλου παρὰ τῷ καλῷ Ὁμήρῳ ὁ Πάτροκλος· εἶτα μέντοι διαχρίουσι τῷ βουτύρῳ αὐτά. ἐὰν δὲ ᾖ βαθέα, τὴν φλεγμονὴν πραΰνουσιν ὕεια κρέα, θερμὰ μέν, ἔναιμα δὲ ἔτι προσφέροντες καὶ ἐντιθέντες. τοὺς δὲ ὀφθαλμοὺς θεραπεύουσιν αὐτῶν βόειον γάλα ἀλεαίνοντες, εἶτα αὐτοῖς ἐγχέοντες, οἱ δὲ ἀνοίγουσι τὰ βλέφαρα, ⟨καὶ⟩ ὠφελούμενοι ἥδονταί τε καὶ αἰσθάνονται, ὥσπερ ἄνθρωποι. καὶ εἰς τοσοῦτον ἐπικλύζουσιν εἰς ὅσον ἂν ἀποπαύσωνται λημῶντες. μαρτύριον δὲ τοῦ παύσασθαι τὴν ὀφθαλμίαν τοῦτό ἐστι. τὰ δὲ νοσήματα ὅσα αὐτοῖς προσπίπτει ἄλλως, ὁ μέλας οἶνος αὐτοῖς ἐστιν ἄκος. εἰ δὲ μὴ γένοιτο ἐξάντης τοῦ κακοῦ τῷ φαρμάκῳ τούτῳ, ἄσωστά οἵ ἐστιν.

(127) Ἐλέφαντι † μὲν ἀγελαίῳ δὲ εἰθισμένω γε μὴν ὕδωρ πόμα ἐστί· τῷ δὲ εἰς πόλεμον ἀθλοῦντι οἶνος μέν, οὐ μὴν ὁ τῶν ἀμπέλων, ἐπεὶ τὸν μὲν ἐξ ὀρύζης χειρουργοῦσι, τὸν δὲ ἐκ καλάμου. προΐασι δὲ καὶ ἄνθη σφίσιν ἀθροίσοντες· εἰσὶ γὰρ ἐρασταὶ εὐωδίας, καὶ ἄγονταί γε ἐπὶ τοὺς λειμῶνας [καὶ] ὀσμῇ πωλευθησόμενοι τῇ ἡδίστῃ. καὶ ὁ μὲν ἐκλέγει κρίνας τῇ ὀσφρήσει τὸ ἄνθος, τάλαρον δὲ ἔχων ὁ πωλευτὴς τρυγῶντος καὶ ἐμβάλλοντος ὑπέχει. εἶτα ὅταν ἐμπλήσῃ τοῦτον, ὥσπερ οὖν ὀπώρας δρεπό-

---

11 τῶν τεθηραμένων] Ael. nat. anim. XIII 7 (p. 321, 25—322, 8 Herch.) 22 ἐλέφαντι] Ael. l. c. XIII 8 (p. 322, 9—31 Herch.)

---

1 πείρας Ael.: πήρας D: διεὶς Hercher 3 στρωμάτων Ael.: σωμάτων D 5 γνωρίσαι Ael.: γνωρίσας (?) D: Hercher aut καταγνῶναι aut γνωρίσαι expungendum censet Ἰνδικὸν Ael.: ἰνδικῶν D 6 τόπου sic D Ael.: Τίτου rest. Gronovius Ῥωμαίων βασιλεύοντος delevit Hercher 7 ἐν D: καὶ ἐν libri Ael., sed καὶ delevit Hercher ταὐτὸν Ael. ἐνθάδε Ael. 8 ἀπέκτεινε μὲν D Ael.: ἀπέκτεινεν Hercher ἐν delevit Hercher 9 κειμένους ἀλλήλων Ael.: κειμένου ἀλλήλω D ἐπέδειξε proponit Hercher 12 καταιωνοῦσι D 14 τῷ D Ael.: delevit Hercher 15 τοὺς δὲ ὀφθαλμοὺς D: τὰς δὲ ὀφθαλμίας Ael. 17 καὶ addidi ex Aeliano 18 ἀποπαύσωνται Ael.: ὑποπαύσον D 20 προσπίπτει Ael.: προσπίπτοι D οἶνός ἐστιν αὐτοῖς Ael. 21 τούτῳ D: τῷδε Ael. 22 μὲν ἀγελαίῳ δέ, εἰθισμένω sic D: ἀγελαίῳ μὲν εἰθισμένῳ [τετιθασευμένῳ rest. Reiske] Ael. πῶμά Hercher 23 εἰς] τὰ ἐς Hercher 24 ἐξ ὀρύζης Ael.: ἐξορύζεις D 25 σφίσιν ἀθροίσοντες Ael.: φίσιν ἀθροίσαντες D 26 ὀσμῇ Ael.: καὶ ὀσμῇ D 28 ἐμβάλοντος D ὀπώρας D: ὀπώραν Ael.

μενος λοῦται, καὶ ἥδεται τῷ λουτρῷ κατὰ τοὺς τῶν ἀνθρώπων ἁβροτέρους. εἶτα ἐπανελθὼν τὰ ἄνθη ποθεῖ, καὶ βοᾷ βραδύνοντος, καὶ οὐχ αἱρεῖται τροφὴν πρὶν ἤ κομίσῃ τίς οἱ ὅσα ἐτρύγησεν. εἶτα μέντοι τῇ προβοσκίδι ἀναιρούμενος ἐκ τοῦ ταλάρου τῆς φάτνης καταπάττει τὰ χείλη, ἥδυσμα τοῦτό γε τῇ τροφῇ διὰ τῆς εὐοσμίας ἐπινοῶν, ὡς εἰπεῖν. κατασπείρει δὲ καὶ τοῦ χώρου ἔνθα αὐλίζεται τῶν ἀνθέων πολλά, ἡδυσμένον αἱρεῖσθαι γλιχόμενος ὕπνον. Ἰνδοὶ δὲ ἐλέφαντες ἦσαν ἄρα πηχῶν ἐννέα τὸ ὕψος, πέντε δὲ τὸ εὖρος. μέγιστοι δὲ ἄρα τῶν ἐκεῖθεν ἐλεφάντων οἱ καλούμενοι Πραίσιοι, δεύτεροι δὲ ἂν αὐτῶν τάττοιντο οἱ Ταξίλαι.

(128) | Τὸν Ἰνδῶν βασιλέα προϊόντα ἐπὶ δίκας προσκυνεῖ ὁ ἐλέφας f. 350v
πρῶτος, δεδιδαγμένος τοῦτο, καὶ μάλα γε δρῶν μνημόνως τε καὶ εὐπειθῶς αὐτό. παρέστηκε δὲ καὶ ἐκεῖνος, ὅσπερ οὖν ἐνδίδωσίν οἱ τοῦ παιδεύματος τὴν ὑπόμνησιν τῇ ἐκ τῆς ἅρπης κρούσει καὶ φωνῇ τινι ἐπιχωρίῳ, ἥσπερ οὖν ἐλέφαντες ἐπαΐειν εἰλήχασι φύσει τινὶ ἀπορρήτῳ καὶ μάλα γε ἰδίᾳ τούτου τοῦ ζῴου. καὶ μέντοι γε καὶ κίνησίν τινα ὑποκινεῖται πολεμικήν, οἷον ἐνδεικνύμενος ὅτι καὶ τοῦτο τὸ μάθημα ἀποσώζει. τέσσαρες δὲ καὶ εἴκοσι τῷ βασιλεῖ φρουροὶ παραμένουσιν ἐλέφαντες ἐκ διαδοχῆς, ὥσπερ οὖν οἱ φύλακες οἱ λαμπροί, καὶ αὐτοῖς παίδευμα τὴν φρουρὰν οὐ κατανυστάζειν· διδάσκονται γὰρ σοφίᾳ τινὶ Ἰνδικῇ καὶ τοῦτο. καὶ λέγει μὲν ὁ Ἑκαταῖος ὁ Μιλήσιος Ἀμφιάρεων τὸν Οἰκλέους κατακοιμίσαι τὴν φυλακὴν καὶ ὀλίγου παθεῖν ὅσα λέγει. οὗτοι δὲ ἄρα ἄγρυπνοι καὶ ὕπνῳ μὴ ἡττώμενοι, πιστότατοι τῶν ἐκεῖ φυλάκων μετά γε τοὺς ἀνθρώπους εἰσίν.

(129) Ἐλέφας ὁ θῆλυς· τιμιώτερα εἶναι τὰ τούτου κέρατα οἱ σοφοὶ ταῦτα ὑμνοῦσι, καὶ ἐκεῖνά γε ἡμᾶς διδάσκουσιν. ἐν τῇ Μαυρουσίᾳ γῇ οἱ ἐλέφαντες, δεκάτῳ ἔτει πάντως αὐτοῖς τὰ κέρατα ἐκπεσεῖν σπεύδει, ὥσπερ οὖν καὶ τῶν ἐλάφων, ἀλλὰ τούτων ἀνὰ πᾶν ἔτος. οἱ τοίνυν ἐλέφαντες οἵδε γῆν πεδιάδα καὶ ἔνδροσον προαιροῦνται τῆς ἄλλης, καὶ ἐπερείδουσιν

---

10 τὸν Ἰνδῶν] Ael. nat. anim. XIII 22 (p. 335,11—29 Herch.) 23 ἐλέφας] Ael. l. c. XIV 5 (p. 341,6—342,9 Herch.)

---

1 ἀβροτέρους D 3 τροφὴν Ael.: τροφὸν D οἶ D 4 καταπάττει Ael.: καταπλάττει D 5 ἐπινοιῶν D 7 πήχεων Hercher 8 εὖρος D ἐκεῖθι Ael. 9 πραίσιοι D Ael.: Πράσιοι Hercher δὲ ἂν αὐτῶν τάττοιντο scripsi: δὲ ἀντ' αὐτῶν τάττοιτο D: δ' ἂν τάττοιντο τῶνδε Ael.: δ' ἂν τῶνδε τάττοιντο Hercher 11 μνημόνως τε καὶ εὐπειθῶς δρῶν malit Hercher 12 ὅσπερ Ael.: ὥσπερ D 14 ἐπαΐειν Ael.: ἐπαΐει D 15 τούτου τοῦ ζῴου ex τοῦτο τὸ ζῶον correxit D[1]: τοῦ ζῴου τοῦδε Ael. γε delevit Hercher 16 τέτταρες Hercher 17 φρουροὶ Ael.: φοβεροὶ D 18 φύλακες ex φίλακες correxit D[1] λαμπροὶ D: λοιποὶ Ael. οὐ κατανυστάζειν scripsi: οὐ κατὰ νύσταξιν D: οὐ κατανυστάζουσι (κατανυστάξασι. κατανυστάξαι) Ael.: ἔχειν οὐ κατανυστάζουσι Hercher 19 γὰρ D: γάρ τοι Ael. ὁ ἑκαταῖος D: Ἑκαταῖος Ael. 20 μηλίσιος D ἰοκλέους D κατακοιμῆσαι D ὀλίγου D Ael.: delevit Hercher 21 ὕπνῳ D Ael.: ὕπνου Reiske 22 ἐκεῖθι Ael. 25 σπεύδει (vel δεῖ) codd. Ael.: σπεύδειν D: φιλεῖ Hercher 25. 26 ὥσπερ οὖν Ael.: οὖν ὥσπερ D 27 οἶδε D πεδιάδα Ael.: ποδιάδα D ἀπερείδουσιν Hercher

εἰς αὐτὴν ὀκλὰξ ἐπικύψαντες, ἐκδῦναι αὐτῶν δεινῶς σφριγῶντες. τοσοῦτον δὲ ἄρα ἐπωθοῦσιν, ὡς καὶ τέως αὐτὰ ἀποκρύψαι· εἶτα μέντοι ὑποψήσαντες τοῖς ποσὶ λεῖον τὸν χῶρον ἀπέφηναν τὸν φρουροῦντα τὸ θησαύρισμα αὐτοῖς. γονιμωτάτη δὲ ἄρα ἡ γῆ οὖσα εἶτα ἥκιστα τὴν πόαν φύει καὶ ἀφανίζει τὴν ὄψιν τοῦ γεγενημένου τοῖς ὁδῷ χρωμένοις. οἱ δὲ καὶ ταῦτα ἀνιχνεύοντες τὰ φώρια καί τινα σοφίαν τῆς ἐκείνων ἐπιβουλῆς | ἔχοντες, ἐν ἀσκοῖς f. 351r αἰγείοις ὕδωρ κομίζουσιν· εἶτα αὐτοὶ διασπείρουσι πεπληρωμένους ἄλλος ἀλλαχόσε, καὶ αὐτοὶ καταμένουσι. καὶ καθεύδει τις, καὶ ἄλλος ὑποπίνει, καί πού τις καὶ μεταξὺ ἐπιρροφῶν τῆς κύλικος ὑπαναμέλπει καὶ μέμνηται διὰ τοῦ μέλους ἧς ἐρᾷ. εἰ δὲ καὶ νέον ὡρικὸν ὑποπειρᾷ παρόντα τις καὶ αὐτὸν τῆς ἰχνεύσεως κοινωνόν, οὐκ ἂν θαυμάσαιμι· εἰσὶ γὰρ Μαυρούσιοι καὶ καλοὶ καὶ μεγάλοι, καὶ ἀνδρικὸν ὁρῶσι, καὶ ἔργων ἔχονται θηρατικῶν, καὶ μέντοι καὶ πολλὰ ἀναφλέγουσι μειράκια ἔτι καὶ τηλικοίδε ὄντες. οὐκοῦν οἷς τὰ κέρατα εἴη κατορωρυγμένα πλησίον ἐκεῖνα, τὰ δὲ ἴυγγί τινι ἀπορρήτῳ καὶ θαυμαστῇ δὲ τὸ ὕδωρ ἐκεῖνο ἐκ τῶν ἀσκῶν ἕλκει, καὶ ἀποδείκνυσι κενοὺς αὐτούς. ἐνταῦθα τοίνυν σμινύαις τε καὶ μακέλλαις διασκάπτουσι τὸν χῶρον, καὶ ἔχουσι τὸ θήραμα ῥινηλατήσαντες ἄνευ κυνῶν. ἐὰν δὲ ἔμπλεῳ μένωσιν οἱ ἀσκοὶ οὗπερ οὖν καὶ ⟨κατέθεσαν αὐτοὺς οἱ τῶν κεράτων τῶνδε θηραταί, οἱ δὲ⟩ ἀπίασιν ἐπ' ἄλλην θηρείαν, καὶ μέντοι καὶ ἀσκοὺς καὶ ὕδωρ ἐπάγονται πάλιν, θήρατρα τῆς ἄγρας τῆς προειρημένης.

(130) Ἡ μέντοι νῆσος ἡ μεγάλη ἣν καλοῦσιν Ταπροβάνην ἔχει φοινικῶνας μὲν θαυμαστῶς πεφυτευμένους εἰς στοῖχον, ὥσπερ οὖν ἐν τοῖς ἁβροῖς τῶν παραδείσων οἱ τούτων μελεδωνοὶ φυτεύουσι τὰ δένδρα τὰ σκιαδηφόρα. ἔχει δὲ καὶ νομὰς ἐλεφάντων πολλῶν καὶ μεγίστων. καὶ οἵ [δέ] γε νησιῶται ἐλέφαντες τῶν ἠπειρωτῶν ἀλκιμώτεροί τε τὴν ῥώμην καὶ μείζους ἰδεῖν εἰσι, καὶ θυμοσοφώτεροι δὲ πάντα πάντῃ κρίνοιντο ἄν. κομίζουσί τε αὐτοὺς εἰς τὴν ἀντιπέρας ἤπειρον ναῦς μεγάλας τεκτηνάμενοι (ἔχει γὰρ δήπου καὶ δάση ἡ νῆσος), πιπράσκουσί τε διαπλεύσαντες τῷ βασιλεῖ τῷ ἐν Καλίγγαις.

21 ἡ μέντοι] Ael. nat. anim. XVI 18 (p. 396,26—397,11 Herch.)

1 αὐτὴν Ael.: αὐτὸν D post αὐτὴν add. τὰ κέρατα Hercher ἐπικύψαντες Ael.: ἐπικαλύψαντες D αὐτῶν D Ael.: αὐτὰ Hercher secundum Vat. 2 τέως D Ael.: τελέως Reiske 4 ἥκιστα D: ὤκιστα recte Ael. τὴν omisit Hercher cum Vat. 5 καὶ delevit Hercher 6 φόρια D ἐκείνων D Ael.: ἐξ ἐκείνων Hercher 7 αὐτοὶ D Ael.: αὐτοὺς Hercher πεπληρωμένους Ael.: πεπληρωμένας D 9 καί πού τις Ael.: ἢ πουτίς D 10 ὀρικὸν D 11 αὐτὸν Ael.: αὐτὸς D κοινωνῶν D θαυμάσαιμι Ael.: θαυμασῖ (αι superscr.) D 13 πολλὰ D: πολλοὶ Ael.: πολλοὺς Jacobs 14 οἷς D: εἰ Ael. κατορωρυγμένα Hercher: κατορωρυμένα D: κατωρυγμένα Ael. 15 δὲ sic D Ael.: om. V delevit Hercher ἕλκει Ael.: ἕλκειν D 16 ἐνταῦθα τοίνυν D Ael.: ἐνταῦθά τοι Hercher μακέλαις D 18 μένωσιν D: μείνωσιν Ael. κατέθεσαν — οἱ δὲ (19) addidi ex Aeliano 19 θηρείαν D: θήραν Ael. 20 θήρατρα D: τὰ θήρατρα Ael. 21 μέντοι D: τοίνυν Ael. μεγάλη D: ἐν τῇ μεγάλῃ θαλάσσῃ Ael. καλοῦσι Ael. 22 ἁβροῖς Ael.: αὐροῖς D 23 σκιαδιφόρα D 24 οἱ δέ γε D: οἵ γε Ael. 26 κρίνοιντο Ael.: κινοῖντο D 27 ἀντιπέρας D Hercher: ἀντιπέραν Ael. τεκτηνάμενοι D 28 Καλίγγαις Ael.: κωλίγαις D

διὰ μέγεθος δὲ ἄρα τῆς νήσου οὐδὲ ἴσασιν οἱ τὰ μέσα αὐτῆς οἰκοῦντες τὴν θάλασσαν, ἀλλὰ ἠπειρώτην μὲν βίον τρίβουσι, τὴν περιερχομένην δὲ αὐτοὺς καὶ κυκλουμένην πυνθάνονται θάλασσαν· οἱ δὲ τῇ θαλάττῃ πρόσοικοι τῆς μὲν ἄγρας τῆς τῶν ἐλεφάντων ἀμαθῶς ἔχουσιν, ἀκοῇ δὲ αὐτὴν ἴσασι μόνῃ.

(131) Τί βούλεται ἡ προνομαία τῶν | ἐλεφάντων; f. 351v ὅτι μέγα τὸ ζῷον, καὶ τῶν χερσαίων τὸ μέγιστον, εἰς τὴν τῶν ἐντυγχανόντων ἔκπληξιν παραχθέν, πολύσαρκον ἐχρῆν εἶναι καὶ συμπεφορημένον τὸ σῶμα. τούτῳ εἰ μέγας καὶ ἀναλογῶν τοῖς ποσὶν ὁ τράχηλος προσετέθη, δυσμεταχείριστος ἂν ἦν, τῷ ὑπερβάλλοντι βάρει καταρρέπων ἀεὶ πρὸς τὰ κάτω. νῦν δὲ ἡ μὲν κεφαλὴ δι' ὀλίγων τῶν τοῦ αὐχένος σπονδύλων πρὸς τὴν ῥάχιν συνάπτεται· ἔχει δὲ τὴν προνομαίαν, τὴν τοῦ τραχήλου χρείαν ἀποπληροῦσαν, δι' ἧς καὶ τὴν τροφὴν προσάγεται καὶ τὸ ποτὸν ἀνιμᾶται. ἀλλὰ καὶ ἀδιάρθρωτοι αὐτῶν οἱ πόδες, οἱονεὶ κίονες ἐρρωμένοι τὸ βάρος ὑποστηρίζουσιν. εἰ γὰρ χαῦνα αὐτῶν καὶ δίυγρα ὑπετέθη τὰ κῶλα, συνεχεῖς ἂν ἐγίνοντο τῶν ἄρθρων αἱ ἐκτροπαί, συνοκλάζοντος καὶ διανισταμένου κουφίζειν τὸ βάρος μὴ ἐξαρκοῦντα. νῦν δὲ βραχὺς ἀστράγαλος ὑπόκειται τῷ ποδὶ τοῦ ἐλέφαντος, οὔτε μέντοι εἰς ἀγκύλην οὔτε εἰς γόνυ διήρθρωται. οὐ γὰρ ἂν ὑπήνεγκε τὸ τῶν ἄρθρων ὀλισθηρὸν τὴν πολυσαρκίαν τοῦ ζῴου, πολλὴν αὐτῷ περικεχυμένην καὶ περιτρέμουσαν. ὅθεν χρεία γέγονε τοῦ μυκτῆρος ἐκείνου μέχρι ποδῶν καθειμένου. οὐχ ὁρᾷς ἐν τοῖς πολέμοις ὅτι οἱονεὶ πύργοι τινὲς ἔμψυχοι τῆς φάλαγγος προηγοῦνται; ἢ βουνοί τινες σάρκινοι καὶ ἀνυπόστατον ἔχοντες τὴν ὁρμὴν τῶν ἐναντίων τὸν συνασπισμὸν διακόπτουσιν; οἷς εἰ μὴ ἦν ἀναλογοῦντα τὰ κάτω, πρὸς οὐδένα ἂν χρόνον τὸ ζῷον διήρκεσε. νῦν δὲ ἤδη τινὲς ἱστοροῦσι καὶ τριακόσια ἔτη καὶ πλείω τούτων βιοῦν τὸν ἐλέφαντα. διὰ τοῦτο συμπεπηγὼς καὶ οὐ διηρθρωμένος τὰ κῶλα. τὴν δὲ τροφήν, ὥσπερ ἔφαμεν, ἡ προνομαία χαμόθεν ἐπὶ τὸ ὕψος διακομίζει, ὀφιώδης τις οὖσα καὶ ὑγροτέρα τὴν φύσιν.

(132) Ὅτι ἡ τῶν Ἰνδῶν γῆ τοὺς ἐλέφαντας ἔχει τοὺς μεγίστους καὶ ὑπερφυεστάτους, ὡς ἐκ τῶν ὀδόντων δῆλον τῶν ἐκεῖθεν κομιζομένων, καὶ δὴ καὶ τοὺς ταυρελέφαντας λεγομένους. ἔστι δὲ τὰ μὲν ἄλλα πάντα βοῦς μέγιστος, τὴν δὲ βύρσαν καὶ τὸ χρῶμα ἐλέφαντος ἔχει καὶ σχεδὸν εἰπεῖν

5 τί βούλεται] Basil. Magn. hom. IX in Hexaemeron ed. Mignii Patrol. Graec. vol. XXIX p. 200 C — 201 B 28 ὅτι ἡ τῶν Ἰνδῶν] Philostorg. Hist. eccl. III 11 ἡ γῆ ἔχει καὶ τοὺς ταυρελέφαντας λεγομένους, ὧν τὸ γένος τὰ μὲν ἄλλα βοῦς ἐστι μέγιστος, τὴν δὲ βύρσαν καὶ τὸ χρῶμα ἐλέφας, καὶ σχεδὸν εἰπεῖν καὶ τὸ μέγεθος cf. Niceph. 9,19

2 θάλατταν Ael. τὴν D Ael.: delevit Hercher περιερχομένην Ael.: περιεχομένην D 3 θάλατταν Ael. 5 τῶν ἐλεφάντων D: τῷ ἐλέφαντι recte Bas. 7 τούτῳ Bas.: τούτων D 9 πρὸς τὰ D: πρὸς τὸ Bas. 12 καὶ τὸ Bas.: καὶ τὸν D 13 αὐτῶν D: αὐτῷ Bas. ἐρρωμένοι scripsi: ἐρωμένοι D: ἡνωμένοι Bas. 14 αὐτῶν D: αὐτῷ Bas. 16 ἐξαρκοῦντα D et Bas. codd. non pauci: ἐξαρκούντων recte Basil. codd. Paris. complures 17 ἀγκύλην Bas.: ἀγκάλην D 22 καὶ omis. Bas. 25 συμπεπηγὸς Bas. διηρθρωμένον Bas.

καὶ τὸ μέγεθος· | αὐτὸ γὰρ εἰς Ῥωμαίους κομισθὲν τὸ ζῷον θεασάμενος f. 352r
γράφω.

(133) Ὁ λέων ἐστὶ μὲν καρχαρόδους καὶ πολυσχιδής, βαδίζει δὲ κατὰ σκέλος καθάπερ ἡ κάμηλος, λέγω ἀκολουθεῖν τῷ ἐμπροσθίῳ σκέλει τὸ ὀπίσθιον· τὰ γὰρ ἄλλα τετράποδα κατὰ διάμετρον πορεύεται χιάζοντα τοῖς σκέλεσιν. (134) ἔχει δὲ τὸ τοῦ αὐχένος ὀστοῦν ὁ λέων ἕν, ἀλλ' οὐκ ἐκ πολλῶν σπονδύλων συγκείμενον. (135) κοπτομένων δὲ τῶν ὀστέων αὐτοῦ πῦρ ἔξεισι καθάπερ ἐκ τῶν λίθων. ἔχει δὲ τὰ ὀστᾶ ὡς ὅτι μάλιστα ἀμύελα καὶ μικρὰς ὀπὰς ἔχοντα. (136) ἔστι δὲ καὶ ὀπισθουρητικὸν καθάπερ κάμηλος, καὶ γενόμενος ἑξαμηνιαῖος αἴρων τὸ σκέλος οὐρεῖ καθάπερ καὶ οἱ κύνες. (137) ἡ δὲ θήλεια ὑπὸ μικρὸν καθημένη οὐρεῖ· ἔχει δὲ καὶ μαστοὺς δύο ἐν τῇ γαστρί. (138) ἀνατμηθεὶς δὲ ὀσμὴν ἔχει βαρεῖαν, ὥστε μὴ ὑποφέρειν, τὰ δὲ ἐντόσθια ὅμοια κυνί, κοιλίαν δὲ μόνην ὁμοίαν ἔχει ὑΐ. (139) ἔχει δὲ ὁ μὲν ἄρρην χαίτας, ἡ δὲ

---

3 καρχαρόδους] Arist. hist. anim. B 1 p. 501 a 16 ἔτι δὲ τὰ μέν ἐστι καρχαρόδοντα αὐτῶν, οἷον λέων etc. πολυσχιδής] Arist. part. anim. Δ 10 p. 688 a 34 τὰ δὲ πολυτόκα ἢ πολυσχιδῆ τὰ μὲν περὶ τὴν γαστέρα πλαγίους καὶ πολλούς, οἷον ὗς καὶ κύων, τὰ δὲ δύο μόνους . . . οἷον λέων βαδίζει] Arist. hist. anim. B 1 p. 498 b 7: κατὰ σκέλος δὲ βαδίζουσιν ὅ τε λέων καὶ αἱ κάμηλοι ἀμφότεραι, αἵ τε Βακτριαναὶ καὶ αἱ Ἀράβιαι. τὸ δὲ κατὰ σκέλος ἐστὶν ὅτε οὐ προβαίνει τῷ ἀριστερῷ τὸ δεξιόν, ἀλλ' ἐπακολουθεῖ 5 τὰ γὰρ ἄλλα] Arist. l. c. p. 498 b 5 αἱ δὲ κινήσεις τῶν ζῴων τῶν μὲν τετραπόδων καὶ πολυπόδων κατὰ διάμετρόν εἰσι, καὶ ἑστᾶσιν οὕτως· ἡ δ' ἀρχὴ ἀπὸ τῶν δεξιῶν πᾶσιν 6 ἔχει δὲ] Arist. l. c. p. 497 b 16 καὶ ὅ γε λέων τὸ τοῦ αὐχένος ἔχει ἓν ὀστοῦν, σφονδύλους δ' οὐκ ἔχει. cf. Ael. nat. anim. IV 34 (p. 94,28 Herch.) 7 κοπτομένων] Arist. hist. anim. Γ 7 p. 516 b 9 στερεὰ δὲ πάντων μάλιστα ὁ λέων ἔχει τὰ ὀστᾶ· οὕτω γάρ ἐστι σκληρὰ ὥστε συντριβομένων ὥσπερ ἐκ λίθων ἐκλάμπειν πῦρ. cf. Arist. part. anim. B 9 p. 655 a 14 οὕτω γὰρ ἔχει ταῦτα (τὰ τοῦ λέοντος ὀστᾶ) σκληρὰν τὴν φύσιν ὥστ' ἐξάπτεσθαι τυπτομένων καθάπερ ἐκ λίθων πῦρ. cf. Ael. nat. anim. IV 34 (p. 94,29 Herch.) 8 ἔχει δὲ] Arist. hist. anim. Γ 7 p. 516 b 7 ἔνια δὲ ζῷα οὐδ' ἂν ἔχειν δόξειεν ὅλως μυελὸν ἐν τοῖς ὀστοῖς, οἷον λέων, διὰ τὸ πάμπαν ἔχειν μικρὸν καὶ λεπτὸν καὶ ἐν ὀλίγοις· ἔχει γὰρ ἐν τοῖς μηροῖς καὶ βραχίοσι. cf. 20 p. 521 b 11. Ael. nat. anim. IV 34 (p. 94,30 Herch.) 9 ἔστι δὲ] Arist. hist. anim. B 1 p. 500 b 15 ἔνια δ' ὀπισθουρητικά ἐστιν, οἷον λύγξ καὶ λέων καὶ κάμηλος καὶ δασύπους. cf. part. anim. Δ 10 p. 689 a 33 τῶν δ' ἀρρένων ὀλίγα ἐστὶν ὀπισθουρητικά, οἷον λύγξ λέων κάμηλος δασύπους 10 αἴρων τὸ σκέλος] Arist. hist. anim. Θ 5 p. 594 b 25 οὐρεῖ γὰρ αἴρων τὸ σκέλος ὥσπερ οἱ κύνες 12 ἔχει] Arist. l. c. B 1 p. 500 a 28 ἡ δὲ λέαινα (ἔχει μαστοὺς) δύο ἐν τῇ γαστρί ἀνατμηθεὶς] Arist. l. c. Θ 5 p. 594 b 26 ἐμποιεῖ δὲ καὶ ὀσμὴν βαρεῖαν ἐν τοῖς ἐσθιομένοις καταπνέων· καὶ γὰρ ἀνοιχθέντος αὐτοῦ τὰ ἔσω ἀτμίδα ἀφίησι βαρεῖαν 13 τὰ δὲ ἐντόσθια] Arist. l. c. B 1 p. 497 b 17 τὰ δὲ ἐντὸς ἀνοιχθεὶς (ὁ λέων) ὅμοια πάντ' ἔχει κυνί κοιλίαν] Arist. l. c. B 17 p. 507 b 15 τὰ δ' ἀμφώδοντα μίαν ἔχει κοιλίαν, οἷον ἄνθρωπος, ὗς, κύων, ἄρκτος, λέων, λύκος . . . ἀλλὰ τὰ μὲν ἔχει μείζω τὴν κοιλίαν, ὥσπερ ὗς καὶ ἄρκτος (καὶ ἥ γε τῆς ὑὸς ὀλίγας ἔχει λείας πλάκας), τὰ δὲ πολὺ ἐλάττω καὶ οὐ πολλῷ μείζω τοῦ ἐντέρου, καθάπερ κύων καὶ λέων καὶ ἄνθρωπος. καὶ τῶν ἄλλων δὲ τὰ εἴδη διέστηκε πρὸς τὰς τούτων κοιλίας· τὰ μὲν γὰρ ὑῒ ὁμοίαν ἔχει τὰ δὲ κυνί, καὶ τὰ μείζω καὶ τὰ ἐλάττω τῶν ζῴων ὡσαύτως 14 ἔχει] Arist. l. c. Z 31 p. 579 b 11 οὐκ

---

3 ἔστι D 7 πολῶν D 9. 10 ὀπισθουρητικὸν scripsi ex Arist.: ὄπισθεν ῥητικὸν D 14 μόνην D: fortasse μίαν ὑεῖ D: error subest fortasse excerptoris. scribendum κυνὶ ex Arist. χαίτας D: fortasse χαίτην

θήλεια ψιλή ἐστι. βάλλει δὲ καὶ τῶν ὀδόντων τοὺς κυνόδοντας λεγομένους, δύο ἄνωθεν καὶ κάτωθεν δύο. (140) ὀχεύει δὲ ⟨ὁ ἄρρην⟩ καὶ ὀχεύεται ἡ θήλεια πᾶσαν ὥραν καθάπερ ὁ ἄνθρωπος, καὶ ἄρχεται βαίνειν ὅταν γένηται διμηνιαῖος. ὀχεύει δὲ συγκαθισάσης τῆς θηλείας· ἐπιβαίνει γάρ. (141) κύει δὲ δύο μῆνας. τίκτει δὲ τὸν ὅλον βίον αὐτῆς ἡ λέαινα πεντάκις, καὶ τὸ μὲν πρῶτον πέντε σκυμνία, εἶτα τέσσαρα, ἐχομένως τρία, εἶτα δύο, ἐπὶ πᾶσιν ἕν, καὶ οὐκέτι συλλαμβάνει. (142) ἔστι δὲ τὰ τικτόμενα μικρὰ καὶ τυφλὰ καθάπερ κυνός, ὥστε μόλις μετὰ δίμηνον βαδίζειν. (143) ὁ δὲ λεγόμενος μῦθος ὅτι ἐκβάλλει τὰς μήτρας τεκοῦσα τῶν εἰκῇ πεπιστευμένων. (144) ἔστι δὲ ὁ λέων τὸ ἦθος λιμώττων μὲν χαλεπός, βεβρωκὼς δὲ πρᾶος καὶ φιλοπαίγμων, καὶ οὔτε ὑπερόπτης οὔτε τῶν συνήθων ἀδικητικός. συσχεθεὶς δὲ τῇ θηρείᾳ ὑπὸ πολλῶν, οὐδέποτε φεύγει, οὐδὲ τὰ ὀπίσθια δίδοι· ὑποβαίνει δὲ κατὰ σκέλος βρυχώμενος, καὶ τῷ μὲν βάλλοντι προσέρχεται, τῷ δὲ μὴ οὐ πρόσεισι. διώκων δὲ ἔχει δρόμημα | σύντονον f. 352v
καθάπερ καὶ οἱ κύνες. συνεγγίζων δὲ τῷ διωκομένῳ καὶ ἐπιρρίπτει ἑαυτόν,

---

ἔχει δὲ ἡ λέαινα χαίτην, ἀλλ' ὁ ἄρρην λέων. βάλλει δὲ ὁ λέων τῶν ὀδόντων τοὺς κυνόδοντας καλουμένους τέτταρας μόνους, δύο μὲν ἄνωθεν δύο δὲ κάτωθεν· βάλλει δ' ἑξάμηνος ὢν τὴν ἡλικίαν  2 ὀχεύει] Arist. hist. anim. Z 31 p. 579a32 ὀχεύει δὲ καὶ τίκτει οὐ πᾶσαν ὥραν, καθ' ἕκαστον μέντοι τὸν ἐνιαυτόν. sed cf. Ael. nat. anim. IV 34 (p. 94,32 Herch.) μίξεως δὲ αὐτὸν οὐδεμία ἔτους ἀναστέλλει ὥρα  3 ἄρχεται βαίνειν] Arist. hist. anim. Z 31 p. 579b7 τίκτει δὲ καὶ ὁ λέων πάνυ μικρὰ οὕτως ὥστε δίμηνα ὄντα μόλις βαδίζειν. cf. Ael. nat. anim. IV 34 (p. 95,5 Herch.)  4 ὀχεύει] Arist. hist. anim. E 2 p. 539b21 οὐ μὴν ὁμοίως γε πάντα πλησιάζουσιν, ἀλλὰ τὰ μὲν ὀπισθουρητικὰ συνιόντα πυγηδόν, οἷον λέοντες καὶ δασύποδες καὶ λύγκες· τῶν δὲ δασυπόδων καὶ πολλάκις ἡ θήλεια προτέρα ἀναβαίνει ἐπὶ τὸν ἄρρενα  5 κύει] Ael. nat. anim. IV 34 (p. 94,32 Herch.) κύει δὲ ἄρα μηνῶν δύο  τίκτει] Arist. gener. anim. Γ 1 p. 750a32 τὸ μὲν γὰρ πρότερον τίκτει πέντε ἢ ἕξ, εἶτα τῷ ὑστέρῳ ἔτει τέτταρας, πάλιν δὲ τρεῖς σκύμνους, εἶτα τὸν ἐχόμενον ἀριθμὸν ἕως ἑνός, εἶτ' οὐθὲν ὡς ἐξαναλισκομένου τοῦ περιττώματος καὶ ἅμα τῆς ἡλικίας ληγούσης φθίνοντος τοῦ σπέρματος. cf. 10 p. 760b23. Ael. nat. anim. IV 34 (p. 95,1 Herch.)  7. 8 μικρὰ καὶ τυφλὰ] Arist. hist. anim. Z 31 p. 579b7 (cf. supra). Ael. nat. anim. IV 34 (p. 95,4)  9 λεγόμενος μῦθος] Arist. hist. anim. Z 31 p. 579b2 ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν τὰς ὑστέρας τίκτοντα ληρώδης ἐστί. cf. Ael. nat. anim. IV 34 (p. 95,6 Herch.)  10 τὸ ἦθος] Arist. hist. anim. I 44 p. 629b8 καὶ γὰρ ὁ λέων ἐν τῇ βρώσει μὲν χαλεπώτατός ἐστι, μὴ πεινῶν δὲ καὶ βεβρωκὼς πρᾳότατος. ἔστι δὲ τὸ ἦθος οὐχ ὑπόπτης οὐδενὸς οὐδ' ὑφορώμενος οὐδέν, πρός τε τὰ σύντροφα καὶ συνήθη σφόδρα φιλοπαίγμων καὶ στερκτικός. ἐν δὲ ταῖς θήραις ὁρώμενος μὲν οὐδέποτε φεύγει οὐδὲ πτήσσει, ἀλλ' ἐὰν καὶ διὰ πλῆθος ἀναγκασθῇ τῶν θηρευόντων ὑπαγαγεῖν βάδην ὑποχωρεῖ καὶ κατὰ σκέλος, κατὰ βραχὺ ἐπιστρεφόμενος . . . τὸ δὲ δρόμημα συνεχῶς ὥσπερ κυνός ἐστι κατατεταμένον· διώκων μέντοι ἐπιρρίπτει ἑαυτόν, ὅταν ᾖ πλησίον· ἀληθῆ δὲ καὶ τὰ λεγόμενα τό τε φοβεῖσθαι μάλιστα τὸ πῦρ, ὥσπερ καὶ Ὅμηρος ἐποίησεν "καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ", καὶ τὸ τὸν βαλόντα τηρήσαντα ἵεσθαι ἐπὶ τοῦτον· ἐὰν δέ τις βάλλῃ μὲν μή, ἐνοχλῇ δὲ αὐτόν, ἐὰν ἐπαΐξας συλλάβῃ, ἀδικεῖ μὲν οὐδὲν οὐδὲ βλάπτει τοῖς ὄνυξι, σείσας δὲ καὶ φοβήσας ἀφίησι πάλιν. πρὸς δὲ τὰς πόλεις ἔρχονται μάλιστα καὶ τοὺς ἀνθρώπους ἀδικοῦσιν, ὅταν γένωνται πρεσβῦται, διά τε τὸ γῆρας ἀδύνατοι θηρεύειν ὄντες καὶ διὰ τὸ πεπονηκέναι τοὺς ὀδόντας. cf. Ael. nat. anim. IV 34 (p. 95,7—16 Herch.)

---

2 ὁ ἄρρην addidi  4 διμηνιαῖος scripsi (cf. v. 8): δεκαμηνιαῖος D  συγκαθησάσης D
13 βρυχόμενος D  15 ἐπιρρίπτει ἑαυτόν scripsi: ἐπιρρίπτειν αὐτὸν D

ἵνα ταχύτερον ἐπιτύχῃ. πρὸς δὲ τὰς πόλεις ἔρχονται οἱ λέοντες ὅταν γένωνται γέροντες, ἵνα τοὺς ἀνθρώπους διώκωσιν, ἀδυνατοῦντες θηρεύειν. λέγεται δὲ κατ' αὐτοῦ ὡς ὅτι μάλιστα τὸ πῦρ φοβούμενος φεύγει. (145) ἔστι δὲ τῶν λεόντων γένη δύο, ὧν ὁ μὲν στρογγυλώτερος καὶ οὐλοτριχώτερος δειλός ἐστιν, ὁ δὲ μακρὸς καὶ εὔθριξ ἀνδρεῖος. (146) τῶν δὲ δηχθέντων ὑπὸ λέοντος οἱ ἐπίδεσμοι πλυνόμενοι οὐδέποτε ἀνιᾶσι τὸν ἰχῶρα. (147) ἔστι δὲ καὶ τῶν ἀνόσων ζῴων ὁ λέων. (148) χρᾶται δὲ τῇ βρώσει λάβρως ὥστε ὅλα καταπίνειν μέλη· εἶτα διὰ τὴν λαβρότητα ἔστιν ὅτε μὴ φαγὼν διαλείπει ἡμέρας τρεῖς. ἔστι δὲ καὶ τῶν ὀλιγοποτούντων· διὸ καὶ τὸ περίττωμα προΐεται διὰ τρίτης ἡμέρας ἐσφαιρωμένον· προΐεται δὲ καὶ φῦσαν δριμεῖαν καὶ οὖρον ὀσμὴν ἔχον σαπράν. (149) γίνονται δὲ οἱ πλεῖστοι τῶν λεόντων μεταξὺ τοῦ Νέσσου καὶ Ἀχελῴου ποταμοῦ. (150) βιοῖ δὲ ὅσα καὶ ὁ κύων ζῶν ἔτη δεκαοκτώ.

(151) Ὁ λέων ἐκπεπταμένοις μόνος τίκτεται τοῖς ὀφθαλμοῖς. καὶ καθεύδων κινεῖ τὴν οὐρὰν καὶ ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. ἔστι δὲ ῥωμαλέος καὶ συνετός. τὰ οὖν ἡμίβρωτα κρέα οὐ φυλάττει, ἀλλὰ τοῦ ἄσθματος περιχανὼν ἐμπιμπλᾷ, τὰ δὲ ἄλλα ζῷα ἥκοντα καὶ αἰσθανόμενα οὐ τολμᾷ προσάψασθαι. διὸ εἰ μὴ εὐθηρία γένοιτο αὐτῷ, ὡς ἐπὶ οἰκεῖον θησαύρισμα παραγίνεται. ὅταν δὲ ὑπερπλησθῇ, κενοῖ ἑαυτὸν ἀσιτίᾳ· ἀλλὰ καὶ πίθηκον φαγὼν κενοῦται τὴν γαστέρα ταῖς ἐκείνου λαπάξας σαρξί.

(152) Γηράσας δὲ λέων οἶδεν ἀδυνάτως ἔχειν πρὸς θήρας, οἱ δὲ σκύμνοι αὐτοῦ ἀγρεύοντες διδόασιν αὐτῷ φαγεῖν. ὁ δὲ σαίνει καὶ τῇ γλώσσῃ καὶ τοῖς ποσίν, ὥσπερ ἐπαινῶν τὴν θήραν αὐτῶν.

---

4 ἔστι] Arist. hist. anim. I 44 p. 629b33 γένη δ' ἐστὶ λεόντων δύο· τούτων δ' ἐστὶ τὸ μὲν στρογγυλώτερον καὶ οὐλοτριχώτερον δειλότερον, τὸ δὲ μακρότερον καὶ εὐθύτριχον ἀνδρειότερον. cf. Ael. nat. anim. IV 34 (p. 95,16 Herch.) 5. 6 τῶν δὲ δηχθέντων] Arist. hist. anim. I 44 p. 630a5 ὅσα δ' ἂν δάκῃ ἢ τοῖς ὄνυξιν ἑλκώσῃ, ἐκ τῶν ἑλκῶν ἰχῶρες ῥέουσιν ὠχροὶ σφόδρα καὶ ἐκ τῶν ἐπιδέσμων καὶ σπόγγων ὑπ' οὐδενὸς δυνάμενοι ἐκκλύζεσθαι 7 ἀνόσων] ignoti auctoris χρᾶται] Arist. hist. anim. Θ 5 p. 594b17 ὁ δὲ λέων σαρκοφάγον μέν ἐστιν, ὥσπερ καὶ τἆλλα ὅσα ἄγρια καὶ καρχαρόδοντα, τῇ δὲ βρώσει χρῆται λάβρως, καὶ καταπίνει πολλὰ ὅλα οὐ διαιρῶν, εἶθ' ἡμέρας δύο ἢ τρεῖς ἀσιτεῖ· δύναται γὰρ διὰ τὸ ὑπερπληροῦσθαι. ὀλιγόποτον δ' ἐστίν. τὸ δὲ περίττωμα προΐεται σπανίως· διὰ τρίτης γὰρ ἢ ὅπως ἂν τύχῃ προχωρεῖ, καὶ τοῦτο ξηρὸν καὶ ἐξικμασμένον, ὅμοιον κυνί. προΐεται δὲ καὶ τὴν φῦσαν σφόδρα δριμεῖαν καὶ τὸ οὖρον ἔχον ὀσμήν 11. 12 γίνονται] Arist. hist. anim. Z 31 p. 579b5 σπάνιον γὰρ τὸ γένος τὸ τῶν λεόντων ἐστὶ καὶ οὐκ ἐν πολλῷ γίνεται τόπῳ, ἀλλὰ τῆς Εὐρώπης ἁπάσης ἐν τῷ μεταξὺ τοῦ Ἀχελῴου καὶ τοῦ Νέσσου ποταμοῦ cf. Herod. VII 126 13 βιοῖ] Arist. l. c. I 44 p. 629b30 ἔτη δὲ ζῶσι πολλά 14 ὁ λέων] Ael. nat. anim. V 39 (p. 126,23—24 Herch.) 14. 15 καὶ καθεύδων] Ael. l. c. V 39 (p. 126,26 Herch.) ἐφύλαξαν δὲ ἄλλοι καὶ καθεύδων ὅτι κινεῖ τὴν οὐράν 15 ἔστι] Ael. l. c. V 39 (p. 127,6 Herch.) ἔστι δὲ πρὸς τῇ ῥώμῃ καὶ συνετὸς ὁ λέων 16 τὰ οὖν ἡμίβρωτα] Ael. l. c. V 39 (p. 127,13—28 Herch.) 21 γηράσας] Ael. l. c. IX 1 (p. 217,18—218,6 Herch.)

---

5 εὔθριξ] immo εὐθύθριξ 6 πλυνόμενοι scripsi: πλατυνόμενοι D 7 χρᾶται sic D 8 λαύρως D λαυρότητα D 10 ἐσφαιρωμένον scripsi: ἐσφυρωμένον D 12 νέσου D 14 ἐκπεπταμένοις Ael.: ἐκπεπταμένος D 16 ῥωμαλαῖος D 19 κενοῖ Ael.: κυμοῖ D 21 θῆρας D cf. p. 77,8

(153) Καμήλου δὲ κρέα ἥδεται λέων ἐσθίων μᾶλλον τῶν ἄλλων· κἄν ποτε κάμηλον θεάσηται, ἐπ' αὐτὴν πηδᾷ ἐπιθυμίᾳ βρώσεως. (154) ἔστι δὲ καὶ δίκαιος ὁ λέων. διὸ τῷ ἐπιόντι ἀνθίσταται, τοῦ παρατρέχοντος ἀφίσταται, τὸν δὲ βαλόντα μέν, μὴ τυχόντα δὲ φοβεῖ μέν, οὐ λυπεῖ δέ.

(155) Φοβεῖται δὲ λέων πῦρ τε καὶ τὸν ἀλεκτρυόνα, καθάπερ καὶ f. 353r βασιλίσκος.

(156) Λέοντες δὲ ἐν Ἰνδοῖς οὐ γίνονται μέγιστοι. εἰσὶ δὲ θηριωδέστατοι, ἡμεροῦνται δὲ ταχέως. ἡμερωθεὶς δὲ λέων τῷ τροφεῖ χαρίζεται, καὶ ἐπὶ θήραν ἐλάφων καὶ ὄνων καὶ βοῶν ἀγρίων ὡς κύνας φέρουσιν αὐτούς. εἰσὶ γὰρ καὶ ῥινηλατεῖν ἀγαθοί.

(157) Ἐπεγείρει δὲ ἑαυτὸν ὁ λέων τῇ ἀλκαίᾳ μαστίζων καὶ ἐλινύειν οὐκ ἐπιτρέπων.

(158) Βαδίζων δὲ οὐ κατ' εὐθὺ πρόεισιν, ἀλλ' ἐπάνεισι, καὶ πάλιν πρόσω ἔρχεται τοὔμπαλιν, ἀφανίζων τὰ ἴχνη διὰ τοὺς θηρατάς.

(159) Ἐν δὲ τῇ Ἐλυμαίᾳ χώρᾳ λέοντές εἰσι τιθασοί, καὶ τοὺς παριόντας σαίνουσι καὶ ἀσπάζονται.

(160) Ἡ δὲ Πελοπόννησος λεόντων ἄγονός ἐστιν.

(161) Ἐν μέντοι τοῖς καρπίμοις χωρίοις λέων ἐπιδημῶν αὐχμὸν δηλοῖ.

(162) Λεοντοφόνου δὲ φαγὼν ὁ λέων ἀποτέθνηκεν.

(163) Μαυρουσίῳ δὲ ἀνδρὶ ὁ λέων καὶ ὁδοῦ κοινωνεῖ καὶ πίνει τῆς αὐτῆς πηγῆς ὕδωρ. ἀκούω δὲ ὅτι καὶ εἰς τὰς οἰκίας τῶν Μαυρουσίων οἱ λέοντες φοιτῶσιν, ὅταν αὐτοῖς ἀπαντήσῃ ἀθηρία καὶ λιμὸς αὐτοὺς ἰσχυρῶς περιλάβῃ. καὶ ἐὰν μὲν παρῇ ἀνήρ, ἀνείργει ⟨τὸν⟩ λέοντα καὶ ἀναστέλλει διώκων ἀνὰ κράτος· ἐὰν δὲ ὁ μὲν ἀπῇ, μόνη δὲ ἡ γυνὴ καταλειφθῇ, λόγοις αὐτὸν ἐντρεπτικοῖς ἴσχει τοῦ πρόσω καὶ ῥυθμίζει, σωφρονίζουσα αὐτὸν καὶ λαλεῖ μὴ φλεγμαίνειν ὑπὸ τοῦ λιμοῦ. ἐπαΐει δὲ ἄρα ὁ λέων φωνῆς Μαυρουσίας, καὶ ὁ νοῦς τῆς ἐπιπλήξεως τῇ γυναικὶ τῆς πρὸς τὸ θηρίον τοιόσδε ἐστίν, ὡς ἐκεῖνοι λέγουσιν· "σὺ δὲ οὐκ αἰδῇ λέων ὢν ὁ τῶν ζῴων βασιλεὺς ἐπὶ τὴν ἐμὴν καλύβην ἰών, καὶ γυναικὸς δεόμενος ἵνα τραφῇς, καὶ δίκην ἀνθρώπου λελωβημένου τὸ σῶμα εἰς χεῖρας γυναικείας

---

1 καμήλου] Ael. nat. anim. XVII 36 (p. 428,13 Herch.) 2. 3 ἔστι δὲ καὶ δίκαιος] Ael. l. c. V 39 (p. 127,28—128,5 Herch.) 5 φοβεῖται] Ael. l. c. III 31 (p. 73,24 Herch.). VI 22 (p. 148,32 Herch.). VIII 28 (p. 217,8 Herch.) 7 λέοντες] Ael. l. c. XVII 26 (p. 424,7—17 Herch.) 11 ἐπεγείρει] Ael. l. c. VI 1 (p. 138,5—8 Herch.) 13 βαδίζων] Ael. l. c. IX 30 (p. 228,28—229,3 Herch.) 15 ἐν δὲ τῇ Ἐλυμαίᾳ] Ael. l. c. XII 23 (p. 304,10—12 Herch.) 17 ἡ δὲ Πελοπόννησος] Ael. l. c. III 27 (p. 71,30 Herch.) 18 ἐν μέντοι] Ael. l. c. VII 8 (p. 175,27 Herch.) 19 λεοντοφόνου] Ael. l. c. IV 18 (p. 87,3 Herch.) 20 Μαυρουσίῳ] Ael. l. c. III 1 (p. 59,4—60,8 Herch.)

---

1 ante καμήλου culpa rubricatoris ἡ in D 3 τοῦ παρατρέχοντος scripsi: τῷ παρατρέχοντι D 4 βαλόντα scripsi: βάλλοντα D 11 ἀλκαίᾳ scripsi ex Ael.: ἀλαία D ἐλλινύειν D 20 Μαυρουσίῳ Ael.: Ταυρουσίῳ D κινωνεῖ D 22 ἰσχυρῶς D: ἰσχυρὸς Ael. 23 ἀνὴρ scripsi: ἀνὴρ D Ael.: ὁ ἀνὴρ ex Jacobsii coni. Hercher τὸν addidi ex Ael. 26 αὐτόν. καὶ λαλεῖ sic D: ἑαυτοῦ κρατεῖν καὶ recte Ael. ὁ λέων D: λέων Ael. 28 λέγουσι Ael.

ἀποβλέπεις, ἵνα οἴ⟨κτῳ καὶ ἐλέῳ⟩ τύ⟨χης⟩ ὧν δέῃ; ὃν δέον εἰς ὀρείας ὁρμῆσαι διατριβὰς ἐπί τε ἐλάφους καὶ βουβαλίδας καὶ τὰ λοιπὰ ὅσα λεόντων δεῖ⟨πνον ἔνδοξον. κυν⟩ιδίου δὲ ἀθλίου φύσει προσεοικὼς ἀγ⟨απᾷς παρατραφῆναι⟩". καὶ ἡ μὲν ἐπᾴδει τοιαῦτα· ὁ δὲ ⟨ὥσπερ οὖν πληγεὶς τὴν⟩ ψυχὴν ⟨καὶ ὑπο⟩πλησθεὶς αἰδοῦς ἡσυχῇ καὶ κάτω ⟨βλέ⟩πων ἀπαλλάττεται ⟨ἡττη⟩θεὶς τῷ δικαίῳ. οἱ δὲ ἵπποι καὶ οἱ κ⟨ύν⟩ες διὰ τὴν συντροφίαν ἀπειλούντων ἀνθρώπων συνιᾶσι καὶ καταπτήσσουσι, καὶ Μαυρουσίου⟨ς οὐ⟩κ ἂν θαυμάσαιμι λεόντων ὄντας συντρόφους καὶ ὁμοτρόφους αὐτοῖς | ὑπ' f. 353v αὐτῶν ἐκείνων ἀκούεσθαι. τοῖς γάρ τοι βρέφεσι τοῖς ἑαυτῶν μαρτυροῦσιν ὅτι τοὺς σκύμνους τῶν λεόντων τῆς ἴσης τε καὶ ὁμοίας διαίτης ἀξιοῦσι καὶ κοίτης μιᾶς καὶ στέγης μιᾶς· καὶ ἐκ τούτων καὶ φωνῆς τῆς προειρημένης ἀκούειν τοὺς θῆρας, οὐδὲν οὔτε ἄπιστον οὔτε παράδοξον.

(164) Λέγει Εὔδημος ἐν Παγγαίῳ τῷ Θρᾳκίῳ κοίτῃ λέοντος ἐρήμῳ φυλακῆς ἐπιστᾶσαν ἄρκτον σκύμνους τοῦ λέοντος διαφθεῖραι διὰ τὸ μικρούς τε εἶναι ἔτι καὶ ἀμῦναί σφισιν ἀδυνάτους. ἐπεὶ δὲ ἀφίκετο ἔκ τινος ἄγρας ὅ τε πατὴρ καὶ ἡ μήτηρ, καὶ εἶδον τοὺς παῖδας πεφονευμένους ἐν τῇ κοίτῃ, οἷα εἰκὸς ἤλγουν καὶ ἐπὶ τὴν ἄρκτον ἵεντο· ἡ δὲ δείσασα ἐπί τι δένδρον ᾗ ποδῶν εἶχεν ἀνέθει, καὶ καθῆστο τὴν ἐπιβουλὴν τὴν ἐξ ἐκείνων ἐκκλῖναι πειρωμένη. ὡς δὲ ἐδόκουν τοῦ τιμωρήσασθαι τὴν λυμεῶνα ἥκειν δεῦρο, ἡ μὲν λέαινα οὐ λείπει τὴν φυλακήν, ἀλλ' ὑπὸ τῷ πρέμνῳ καθῆστο ἐλλοχῶσα καὶ ὕφαιμον ἄνω βλέπουσα, ὁ δὲ λέων, οἷα ἀδημονῶν καὶ ἀλύων ὑπὸ τοῦ ἄχους ὡς ἄνθρωπος, εἶτα ἐν τοῖς ὄρεσιν ἠλᾶτο, καὶ ἀνδρὶ ὑλουργῷ περιτυγχάνει· ὁ δὲ ἔδεισε καὶ ἀφίησι τὸν πέλεκυν, τὸ δὲ θηρίον ὁ λέων ἔσαινέ τε καὶ ἑαυτὸν ἀνατείνας ἠσπάζετο, ὡς οἷός τε ἦν, καὶ τῇ γλώττῃ τὸ πρόσωπον ἐφαίδρυνεν αὐτῷ. καὶ ἐκεῖνος ὑπεθάρρησεν, ὅ τε λέων περιβαλών οἱ τὴν οὐρὰν ἦγεν αὐτόν, ⟨καὶ⟩ ἀφιέντα τὸν πέλεκυν οὐκ εἴα, ἀλλὰ ἐσήμαινε τῷ ποδὶ ἀνελέσθαι. ὡς δὲ οὐ συνίει, ὁ δὲ τῷ στόματι ἐλάβετο, καὶ ὤρεξέν οἱ, καὶ εἵπετο ἐκεῖνος, ἄγει τε αὐτὸν ἐπὶ τὸ αὔλιον. καὶ ἡ

---

13 λέγει] Ael. nat. anim. III 21 (p. 67,29—68,29 Herch.)

---

1 οἴκτῳ καὶ ἐλέῳ τύχης ex Aeliano supplevi: blattis corrosa in D  ὀρείας D: ὀρείους Ael.  3 δεῖπνον ἔνδοξον. κυνιδίου Ael.: δεῖ . . . . . . . . . . . . . . ιδίου cetera blattis corrosa D  προσεοικὼς expunxit Hercher  ἀγαπᾷς παρατραφῆναι Ael.: ἀγ . . . . . . . . . . . . . . cetera blattis corrosa D  4 ὁ δὲ — ἡττηθεὶς (6) Ael.: ὁ δὲ . . . . . . . . . . . . . . . . . . . ψυχὴν . . . . . . πλησθεὶς αἰδοῦς ἡσυχῇ καὶ κάτω . . . πων ἀπαλλάττεται . . . . θεὶς (6) cetera blattis corrosa D  6 τῷ δικαίῳ D: τῶν δικαίων Ael.  εἰ δὲ ἵπποι καὶ κύνες Ael.  κύνες, υν hausta blattis D  7 συνιᾶσι Ael.: συνίασι D  μαυρουσίου . . . κ cetera blattis corrosa D  11 στέγης μιᾶς D: στέγης Ael.  13 Εὔδημος ἐν Παγγαίῳ Ael.: εὔδιμος ἐπαγγίᾳ D  14 ante σκύμνους inseruit τοὺς Hercher  15 ἀφίκετο D Ael.: ἀφίκοντο Hercher  16 πεφονευμένους ἐν τῇ κοίτῃ D: ἐν τοῖς φόνοις Ael.: ἐν ταῖς φοναῖς Hercher  17 ἵεντο Ael.: ἴεντο D  ἐπί τι D: εἴς τι Ael.  18 ἐκκλῖναι Ael.: ἐκκλίνας D  19 τὴν D: τὸν Ael.  20 ἡ μὲν D: ἐνταῦθα ἡ μὲν Ael.  λείπει D Ael.: ἀπολείπει proponit Hercher  22 ὡς ἄνθρωπος, εἶτα D Ael.: delevit Hercher  ἠλᾶτο Gesnerus: ἤλλατο D: ἥλατο libri Ael.  26 καὶ addidi ex Ael.  ἀφιέντα D Ael.: ἀφέντα Hercher  28 καὶ εἵπετο ἐκεῖνος spuria esse existimat Hercher

λέαινα εἶδε καὶ αὐτὴ προσελθοῦσα ἐπέσαινε, καὶ ἑώρα οἰκτρόν, καὶ ἀνέβλεπεν εἰς τὴν ἄρκτον. συνιδὼν οὖν ὁ ἄνθρωπος καὶ συμβαλὼν ἠδικῆσθαί τι τούτους ἐξ ἐκείνης, ὡς εἶχε ῥώμης τε καὶ χειρῶν, ἐξέκοπτε τὸ δένδρον. καὶ τὸ μὲν ἀνετράπη, ἡ δὲ κατηνέχθη· καὶ διεσπάσαντο οἱ θῆρες αὐτήν· τόν τε ἄνθρωπον ὁ λέων ἀπαθῆ τε καὶ ἀσινῆ πάλιν ἐπανήγαγεν εἰς τὸν χῶρον, οὗ πρότερον ἐνέτυχεν αὐτῷ, καὶ ἀπέδωκε τῇ ἐξ ἀρχῆς ὑλοτομίᾳ.

(165) Λύκῳ συννόμῳ καὶ ἵππῳ, λέοντέ γε μὴν οὐκέτι· λέαινα γὰρ καὶ λέων οὔτε τὴν αὐτὴν ἴασιν οὔτε ἐπὶ θήρας. | f. 354r

(166) [Τοιαῦτα ὥραν τίθεσθαι. δεῖ δὲ τὰ μὲν προσθίδια τοῦδε τοῦ ζῴου πυρὶ ἀποκρίνεσθαι, ὕδατι μόνον τὰ κατόπιν.]

(167) Ὁ κύων ἐστὶ μὲν καὶ αὐτὸς καρχαρόδους καὶ πολυσχιδής, βαδίζει δὲ κατὰ διάμετρον· κρανίον δ' ἔχει μονόστουν καὶ ἄρραφον, γλῶτταν δὲ ἔχει λεπτὴν καὶ μακράν. (168) διοιχθεὶς δὲ ἔχει τὴν κοιλίαν στενὴν καὶ μικράν, ἐντεροειδῆ, παρεμφερῆ τῇ τοῦ ἀνθρώπου· πνεύμονα ὀκτάλοβον· ἴσοι τὰ μεγέθη πέντε ἐκ δεξιῶν λοβοὶ καὶ τρεῖς ἐξ ἀριστερῶν· ἧπαρ ἑξάλοβον, λευκόν· καρδίαν στρογγύλην· τὰ δ' ἄλλα σπλάγχνα οὐ παρὰ μέγεθος διαφέροντα. (169) ἄρχεται δὲ ὁ μὲν ἄρρην ὀχεύειν γενόμενος ἐνιαυσιαῖος, ἡ δὲ θήλεια βαίνεται ὀκταμηνιαία. ἐπιβαίνει δὲ ὁ μὲν ἄρρην πᾶσαν ὥραν,

---

7 λύκῳ] Ael. nat. anim. IV 3 (p. 82,6—8 Herch.) 9 haec particula unde divulsa huc inlata sit nescio 11 καρχαρόδους] Arist. hist. anim. B 1 p. 501a16 τὰ μέν ἐστι καρχαρόδοντα αὐτῶν, οἷον λέων καὶ πάρδαλις καὶ κύων πολυσχιδής] Arist. part. anim. Γ 12 p. 674a1 τὰ δὲ πολυσχιδῆ . . . οἷον ὗς καὶ ἄνθρωπος καὶ κύων 11. 12 βαδίζει] Arist. hist. anim. A 5 p. 490b3 πάντα δὲ κινεῖται ὁμοίως, τὰ τετράποδα καὶ πολύποδα· κατὰ διάμετρον γὰρ κινεῖται 12 κρανίον] Arist. l. c. 7 p. 516a16 τὰ μὲν γὰρ ἔχει μονόστεον τὸ κρανίον, ὥσπερ κύων ἄρραφον] cf. Ael. nat. anim. IV 40 (p. 98,12 Herch.) γλῶτταν] unde ductum hoc? 13 κοιλίαν] Arist. hist. anim. B 17 p. 507b19 τὰ μὲν ἔχει μείζω τὴν κοιλίαν, ὥσπερ ὗς καὶ ἄρκτος (καὶ ἥ γε τῆς ὑὸς ὀλίγας ἔχει λείας πλάκας), τὰ δὲ πολὺ ἐλάττω καὶ οὐ πολλῷ μείζω τοῦ ἐντέρου, καθάπερ κύων καὶ λέων καὶ ἄνθρωπος. cf. part. anim. Γ 14 p. 675a29 ἡ δὲ τῆς κυνὸς μικρὰ τὸ μέγεθος καὶ οὐ πολὺ τοῦ ἐντέρου ὑπερβάλλουσα καὶ λεία τὰ ἐντός 14 πνεύμονα—διαφέροντα (17)] quis auctor? 17 ἄρχεται] Arist. hist. anim. E 14 p. 545b3 κύων δ' ὡς ἐπὶ τὸ πολὺ μὲν ὀχεύεται ἐνιαυσία καὶ ὀχεύει ἐνιαύσιος, ἐνίοτε δὲ συμβαίνει ταῦτα καὶ ὀκταμήνοις· μᾶλλον δὲ τοῦτο γίνεται ἐπὶ τῶν ἀρρένων ἢ τῶν θηλειῶν 18 ἐπιβαίνει] Arist. l. c. Z 18 p. 572a5 τὰ δὲ πολλάκις ποιούμενα τὰς ὀχείας καὶ μὴ κατὰ μίαν ὥραν, οἷον τὰ συνανθρωπευόμενα, ὗες τε καὶ κύνες . . . 20 p. 574a30 δοκεῖ δὲ σκύζᾶν τὸν ἴσον χρόνον κύων. τὰ δὲ καταμήνια ταῖς κυσὶν ἑπτὰ ἡμέραις γίνεται· συμβαίνει δ' ἅμα καὶ ἔπαρσις αἰδοίου. ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐ προσίενται ὀχείαν, ἀλλ' ἐν ταῖς μετὰ ταύτας ἑπτὰ ἡμέραις· τὰς γὰρ πάσας δοκεῖ σκύζᾶν ἡμέρας τέτταρας καὶ δέκα

---

1 ante εἶδε inseruit ὡς Hercher ἐπέσαινε D: ὑπεσήμαινε Ael.: ὑπέσαινε Reiske 1. 2 ἀνέβλεπεν εἰς Ael.: ἀνέβλεπον εἰς D: ἀνέβλεπε πρὸς Hercher 2 ἠδικῆσθαί τι τούτους Ael.: ἠδικεῖσθαι τί τοῦτον D 3 ἐξέκοπτε D: ἐξέκοψε Ael. 4 διεσπάσαντο D libr. Ael.: διέσπασαν τότε Aug. Schneider: διεσπάσαντό γε Hercher 4. 5 τόν τε D Ael.: τὸν δὲ Hercher 7 λέοντέ Ael.: λέοντί D 8 οὔτε τὴν D Ael.: οὐ Hercher θήρας Ael.: θῆρας D: θήραν Hercher οὔτε πιόμενοι addidit Aelianus 14 μικράν, ἐντεροειδῆ scripsi: μακρὰν ἑτεροειδῆ D 14. 15 ὀκτάλοβον· ἴσοι scripsi: οὐ κατάλοβον. ἴσα D 16 καρδίαν στρογγύλην scripsi: καρδία στρογγύλη D

ἡ δὲ θήλεια οὐ * πᾶσαν ὥραν, ἀλλὰ τὴν τῆς σκυζήσεως. ὅταν δ' ἄρχηται σκυζᾶν, ἡ μὲν φύσις αὐτῇ διοιδεῖ, τὰ δὲ καταμήνια ῥεῖ ἐπὶ ἑπτὰ ἡμέρας. εἶτα μετὰ ταύτας ἄλλας ἑπτὰ σκυζᾷ. λέγεται δὲ ὡς πολυδρομήσαντες οἱ κύνες πολὺ μᾶλλον ὀχευτικώτεροι γίνονται. (170) κύει δὲ μῆνας δύο· τίκτει δὲ τὰ πλεῖστα δώδεκα, καὶ τὰ μὲν πρῶτα κατὰ τὸν πατέρα ὅμοια, τὰ δὲ ὕστερα κατ' αὐτήν. κατέδεται ⟨δὲ⟩ τὸ χόριον εὐθέως πρὶν ἢ τῆς γῆς θιγεῖν. (171) ὀχεύει δὲ καὶ ὀχεύεται ὁ κύων ἐπὶ τὸν τοῦ ζῆν αὐτοῦ χρόνον. (172) ἄρχεται δὲ τὸ σκέλος αἴρων οὐρεῖν γενόμενος ἑξαμηνιαῖος· ἡ δὲ θήλεια διόλου καθημένη οὐρεῖ. (173) ἀποβάλλει δὲ κύων τοὺς καλουμένους κυνόδοντας γενόμενος τετραμηνιαῖος· γηράσκων δὲ ὑπομελανοῖ τοὺς ὀδόντας καὶ ἀμβλεῖς ποιεῖ· ὅθεν καὶ διαγινώσκεται ὁ νέος παρὰ τὸν γέροντα ἐν τῷ λευκοὺς καὶ ὀξεῖς ἢ λείους καὶ ἀμβλεῖς ἔχειν τοὺς ὀδόντας. (174) εἰσὶ δὲ τῶν κυνῶν αἱ μὲν Λάκαιναι θήλειαι εὐφυέστεραι τῶν ἀρρένων κατὰ τὴν θήραν· ὀσφραντικώτεραι γάρ. τῶν δὲ Μολοττικῶν κυνῶν ἐκ τοῦ ἐναντίου. (175) λέγεται δὲ ἐπὶ τοσοῦτον ὀσφραντικὸν τὸ ζῷον εἶναι, ὥστε καὶ κρέως ὁμογενοῦς ὀπτοῦ ἢ ἑφθοῦ παραβληθέντος μὴ

---

ὡς ἐπὶ τὸ πολύ . . . 574b14 γίνεται δὲ σημεῖον καὶ ὅταν ἡλικίαν ἔχωσι τοῦ ὀχεύεσθαι· ὥσπερ γὰρ τοῖς ἀνθρώποις, ἐπὶ ταῖς θηλαῖς τῶν μαστῶν ἐπιγίνεται ἀνοίδησίς τις καὶ χόνδρον ἴσχουσιν· οὐ μὴν ἀλλ' ἔργον μὴ συνήθει ὄντι ταῦτα καταμαθεῖν· οὐ γὰρ ἔχει μέγεθος οὐθὲν τὸ σημεῖον. τῇ μὲν οὖν θηλείᾳ τοῦτο συμβαίνει, τῷ δ' ἄρρενι οὐθὲν τούτων. cf. Arist. hist. anim. Z 18 p. 572b26 ἔπαρσις μὲν οὖν τοῖς θήλεσιν ἐγγίνεται τῶν αἰδοίων, ὅταν πρὸς τὴν ὀχείαν ὀργῶσι, καὶ ὑγρασία περὶ τὸν τόπον 3 πολυδρομήσαντες] Ael. nat. anim. IV 40 (p. 98,12 Herch.) δραμὼν δὲ ἐπὶ πλέον λάγνης γίνεται, φασί. cf. Arist. hist. anim. Z 20 p. 574b28 ἴδιον δ' ἐπὶ τῶν Λακωνικῶν συμβαίνει πάθος· πονήσαντες γὰρ μᾶλλον δύνανται ὀχεύειν ἢ ἀργοῦντες 4 κύει] Arist. l. c. E 14 p. 545b6 κύει δ' ἑξήκοντα καὶ μίαν ἢ καὶ δύο ἢ τρεῖς ἡμέρας τὸ μακρότατον· ἔλαττον δ' οὐ φέρει τῶν ἑξήκονθ' ἡμερῶν, ἀλλ' ἄν τι καὶ γένηται, οὐκ ἐκτρέφεται εἰς τέλος 5 τίκτει] Arist. l. c. Z 20 p. 574b24 τίκτει δὲ κύων σκυλάκια τὰ πλεῖστα δώδεκα, ὡς δ' ἐπὶ τὸ πολὺ πέντε ἢ ἕξ· ἤδη δὲ καὶ ἓν ἔτεκέ τις· αἱ δὲ Λακωνικαὶ ὡς ἐπὶ τὸ πολὺ ὀκτώ καὶ τὰ μὲν πρῶτα] cf. Ael. nat. anim. IX 5 (p. 219,11—14 Herch.) 6 κατέδεται] similia Aristoteles de equo dicit in Hist. anim. Z 22 p. 577a7 et de cervo I 5 p. 611a18 7 ὀχεύει] Arist. hist. anim. Z 20 p. 574b27 ὀχεύονται δ' αἱ θήλειαι καὶ ὀχεύουσιν οἱ ἄρρενες ἕως ἂν ζῶσιν 8 ἄρχεται] Arist. l. c. p. 574b19 τὸ δὲ σκέλος αἴροντες οὐροῦσιν οἱ ἄρρενες ὡς μὲν ἐπὶ τὸ πολὺ ὅταν ἑξάμηνοι ὦσιν· ποιοῦσι δέ τινες τοῦτο καὶ ὕστερον, ἤδη ὀκτάμηνοι ὄντες, καὶ πρότερον ἢ ἑξάμηνοι· ὡς γὰρ ἁπλῶς εἰπεῖν, ὅταν ἰσχύειν ἄρξωνται, αὐτὸ ποιοῦσιν. αἱ δὲ θήλειαι πᾶσαι καθεζόμεναι οὐροῦσιν 9 ἀποβάλλει] Arist. l. c. p. 575a5 ὀδόντας δὲ κύων οὐ βάλλει πλὴν τοὺς καλουμένους κυνόδοντας· τούτους δ' ὅταν ὦσι τετράμηνοι, ὁμοίως αἵ τε θήλειαι καὶ οἱ ἄρρενες . . . τὰς δ' ἡλικίας ἐκ τῶν ὀδόντων σκοποῦσιν· οἱ μὲν γὰρ νέοι λευκοὺς καὶ ὀξεῖς ἔχουσιν, οἱ δὲ πρεσβύτεροι μέλανας καὶ ἀμβλεῖς. cf. Arist. l. c. B 2 p. 501b5. Ael. nat. anim. IV 40 (p. 98,13 Herch.) 13 εἰσὶ] Arist. l. c. I 1 p. 608a27 αἱ Λάκαιναι κύνες αἱ θήλειαι εὐφυέστεραι τῶν ἀρρένων εἰσίν 15 λέγεται] Ael. nat. anim. IV 40 (p. 98,14 Herch.) εὔρινος δέ ἐστιν οὕτως ὡς μήποτ' ἂν ὀπτοῦ κυνείου κρέως μηδ' ἂν καρυκείᾳ τῇ ποικιλωτάτῃ καὶ δολερωτάτῃ καταγοητευθέντος γεύσασθαι

---

1 post οὐ intercidit velut προσίεται vel πάσχει 2 διοιδεῖ scripsi: διῴδεῖ D 6 δὲ addidi: κατέδει δὲ coni. Diels 13 εὐφυέστεραι scripsi: ἀφυέστεραι D 14 μολοτικῶν D 16 ἐφθοῦ D

θιγεῖν, αἰσθανόμενον. (176) λέγεται δὲ ὡς τοὺς βεβρωκότας κύνας μᾶλλον ἐκβαΰζειν ἢ τοὺς μὴ βεβρωκότας. (177) κάμνουσι δὲ οἱ κύνες νοσήμασι τρισί, κυνάγχῃ, λύσσῃ, ποδάγρᾳ. τούτων δὲ ἡ μὲν λύσσα ποιεῖ μανίαν, καὶ ὅταν δάκῃ, φησί, λυσσῶσα κύων, πάντα τὰ δηχθέντα ὑπ᾽ αὐτῆς ἀποθνήσκει πάρεξ ἀνθρώπου. (178) λέγει δὲ ἐν τῷ ἑβδόμῳ τῆς Ἱστορίας ‘ἀναιρεῖ δὲ καὶ ἡ λύσσα αὐτούς’|, τοὺς λελυσσηκότας τῶν κυνῶν, ‘ἀποθνήσκουσι f. 354v δὲ καὶ οἱ ποδαλγήσαντες αὐτῶν, ὀλίγοι δὲ σώζονται’. οὐχ ὑγιάζονται δὲ οὐδὲ οἱ συναγχικοὶ γενόμενοι. (179) γίνεται δὲ καὶ ψωρίασις περὶ τοὺς κύνας, καὶ τὴν μὲν ἀρχὴν οἱ κυνοτρόφοι θεραπεύουσιν, ἐγχρονίσασα δὲ καὶ αὐτὴ δυσέφικτον. λέγεται δὲ ὡς ἑλμινθιάσασα, σῖτον φαγοῦσα ἐκτινάσσει τὰς ἕλμινθας. (180) ζῇ δὲ ὁ μὲν Λακωνικὸς ἔτη δέκα, ἡ δὲ θήλεια δώδεκα· αἱ δὲ ἄλλαι ζῶσι δεκατέσσαρα. τὸ δὲ μυθολογούμενον περὶ τοῦ τοῦ Ὀδυσσέως κυνός, ὡς εἴκοσιν ἔτη ἔζησε, τῶν εἰκῇ πεπιστευμένων ἐστίν. (181) ἀφίησι δὲ κύων τῶν ἄλλων ζῴων βραδύτερον τὴν ψυχήν.

(182) Ὁ κύων πολλὰ μὲν τίκτει σκυλάκια, τὸ δὲ πρῶτον προελθὸν τῆς ὠδῖνος ὁμοιότατόν ἐστι τοῦ πατρός. ἔοικε γὰρ ἡ φύσις προτιμᾶν τὰ κρείττονα. (183) τὰ δὲ σκυλάκια τίκτεται μὲν ⟨τυφλὰ⟩ καὶ οὐχ ὁρᾷ τῆς μητρῴας ὠδῖνος προελθόντα, καὶ τρισκαίδεκα ἡμερῶν τῶν πρώτων κατείληπται τῷ πάθει τῷδε, εἶτα ὀξυωπέστατα γίνεται τῶν ἄλλων ζῴων ἁπάντων. (184) ἔστι δὲ πολύγονον ὥσπερ ὗς διὰ τὸ ἔχειν τὴν μήτραν τόπους δεκτικοὺς πολλούς· ὁ τοίνυν θορὸς πάντας αὐτοὺς ἐκπληροῖ.

---

1 λέγεται] unde haec? 2 κάμνουσι] Arist. hist. anim. Θ 22 p. 604a4 οἱ δὲ κύνες κάμνουσι νοσήμασι τρισίν· ὀνομάζεται δὲ ταῦτα λύττα, κυνάγχη, ποδάγρα. τούτων ἡ λύττα ἐμποιεῖ μανίαν, καὶ ὅταν δάκῃ λυττῶσιν ἅπαντα τὰ δηχθέντα πλὴν ἀνθρώπου. Ael. nat. anim. IV 40 (p. 98,17 Herch.) τρεῖς δὲ ἄρα νόσοι κυνὶ ἀποκεκλήρωνται καὶ οὐ πλείους, κυνάγχη λύττα ποδάγρα. cf. Timoth. p. 16,29 Haupt. 5 λέγει] Arist. hist. anim. Θ 22 p. 604a7 καὶ ἀναιρεῖ δὲ τὸ νόσημα τοῦτο τάς τε κύνας καὶ ἄν τι δηχθῇ ὑπὸ λυττώσης πλὴν ἀνθρώπου 6. 7 ἀποθνήσκουσι] Arist. l. c. p. 604a8 ἀναιρεῖ δὲ καὶ ἡ κυνάγχη τὰς κύνας· ὀλίγαι δὲ καὶ ἐκ τῆς ποδάγρας περιφεύγουσιν. cf. Ael. nat. anim. IV 40 (p. 98,20 Herch.) 10 λέγεται] Arist. hist. anim. I 6 p. 612a31 αἱ δὲ κύνες ὅταν ἑλμινθιῶσιν, ἐσθίουσι τοῦ σίτου τὸ λήιον. cf. Ael. nat. anim. V 46 (p. 130,26 Herch.). VIII 9 (p. 205,32 Herch.) Timoth. 16,26 11 ζῇ] Arist. hist. anim. Z 20 p. 574b29 ζῇ δ᾽ ἡ μὲν Λακωνικὴ κύων ὁ μὲν ἄρρην περὶ ἔτη δέκα, ἡ δὲ θήλεια περὶ ἔτη δώδεκα τῶν δ᾽ ἄλλων κυνῶν αἱ μὲν πλεῖσται περὶ ἔτη τεσσαρακαίδεκα ἢ πεντεκαίδεκα, ἔνιαι δὲ καὶ εἴκοσιν 12 αἱ δὲ ἄλλαι] Ael. nat. anim. IV 40 (p. 98,22 Herch.) κυνὶ δὲ βίος ὁ μήκιστος τεσσαρεσκαίδεκα ἔτη. Ἄργος δὲ ὁ Ὀδυσσέως καὶ ἡ περὶ αὐτὸν ἱστορία ἔοικε παιδιὰ Ὁμήρου εἶναι 14 ἀφίησι] unde haec? 16 ὁ κύων] cf. Ael. nat. anim. IX 5 (p. 219,11—16 Herch.) 18 τὰ δὲ σκυλάκια] cf. Ael l. c. X 45 (p. 263,26—31 Herch.) 21 ἔστι] cf. Ael. l. c. XII 16 (p. 300,17—23 Herch.)

---

1 ὡς sic D κύνας scripsi: κύνεια D 3 κυνάχῃ D 8 συναχικοὶ D: κυναγχικοί coni. Diels cf. v. 3 10 ἐγχρονήσασα D ἐλμινθιάσασα D 10. 11 σῖτον φαγοῦσα iteravit D 11 ἕλμινθας D 18 τυφλὰ ex Ael. addidi 22 δεκτικοὺς τοῦ σπέρματος Ael.

(185) ἅπας δὲ κύων ἀγρευτικὸς λαβὼν θηρίον ἥδεται, καὶ κέχρηται τῇ ἄγρᾳ ὡς ἄθλῳ, ἐὰν αὐτῷ συγχωρήσῃ ὁ δεσπότης· εἰ δὲ μή, φυλάττει ζῶν ἔστ' ἂν ὁ θηρατὴς ἀφίκηται. νεκρῷ δὲ ἐντυχὼν οὐκ ἂν ἅψαιτο, τοῖς ἀλλοτρίοις ἑαυτὸν πόνοις οὐκ ἐπιγράφων· οὐ γὰρ δεῖται κρεῶν, ἀλλὰ νίκης. (186) ὀχληθεὶς δὲ ὑπὸ νόσου κύων, οἶδε πόαν, ἧς γευσάμενος ἐμεῖ πᾶν τὸ λυποῦν μετὰ φλέγματος καὶ χολῆς, ὑποχωρεῖ τε αὐτῷ ἡ γαστήρ· καὶ μελαίνης μέντοι χολῆς ἐκκρίνει πλῆθος, ἥπερ οὖν ἐμμείνασα λύτταν ἐργάζεται. (187) καὶ ἄλλην δὲ ὁμοίως ἐσθίουσαι, τὸ μὲν ἐπιπολάζον τῆς τροφῆς ἀνεμοῦσι, τὰ δὲ περιττὰ κάτωθεν ἐκκρίνουσιν. ἔχουσι δὲ καὶ τραυμάτων ἀντίπαλον πόαν, τοῦ σίτου δὲ τὸ καλούμενον λήιον ἐσθίουσι, ἐκκρίνουσαι ἕλμινθας. ὁ δὲ τῆς μελίας καρπὸς τοὺς μὲν ὗς ἰαίνει, αὐτῷ δὲ ἄλγημα ἰσχίου προξενεῖ. τοῦτο δὲ τὸν κύνα οὐ λέληθε, διὸ καὶ ἀφίσταται αὐτῆς πάνυ ἐγκρατῶς. (188) ἀναιδέστατον μέντοι καὶ μὴ ὑποστελλόμενον κύων καὶ μῦς. (189) λιμοῦ δὲ μέλλοντος ἐπιδημεῖν αἰσθητικῶς | ἔχουσι κύνες, ὥσπερ δὴ καὶ βόες καὶ αἶγες καὶ ὕες καὶ ὄφεις f. 355r
καὶ ἕτερα ζῷα. καὶ σεισμὸν δὲ καὶ λοιμὸν ⟨προγινώσκει⟩ καὶ ὑγείαν ἀέρος καὶ εὐφορίαν καρπῶν.

(190) Ἡ δὲ Κρῆσσα κύων κούφη καὶ ἁλτικὴ καὶ ὀρειβασίαις σύντροφος· καὶ μέντοι καὶ αὐτοὶ Κρῆτες ᾄδονται τοιοῦτοι. τῶν δὲ Μολοσσῶν οἱ κύνες θυμικώτατοι, ἐπεὶ καὶ θυμοειδέστατοι οἱ ἄνδρες. οἱ δὲ Καρμάνιοι ἀγριώτατοι, ἐπεὶ καὶ τὸ ἔθνος αὐτὸ τὴν φύσιν τοιοῦτόν ἐστιν. (191) οἱ δὲ Αἰγύπτιοι κύνες δειλότατοι. τὰ γοῦν ἐν τῷ Νείλῳ θηρία δεδιότες οὐ κύψαντες πίνουσιν, ἀλλὰ λάπτοντες τρέχουσι, λαθραίως τὸ πόμα

---

1 ἅπας δὲ κύων] Ael. nat. anim. VIII 2 (p. 201,26—202,3 Herch.) κύων ἀγρευτικὸς ἅπας αὐτὸς μὲν λαβὼν θηρίον ἥδεται καὶ κέχρηται τῇ ἄγρᾳ ὡς ἄθλῳ, ἐὰν αὐτῷ συγχωρήσῃ ὁ δεσπότης· εἰ δὲ μὴ φυλάττει ζῶντα ἔστ' ἂν ὁ θηρατὴς ἀφίκηται καὶ κρίνῃ γε ὑπὲρ τοῦ ληφθέντος ὅ τι καὶ θέλει. νεκρῷ δὲ ἐντυχὼν ἢ λαγῷ τινι ἢ συῒ οὐκ ἂν ἅψαιτο, τοῖς ἀλλοτρίοις ἑαυτὸν πόνοις οὐκ ἐπιγράφων οὐδὲ ἀξιῶν σφετερίσασθαι τὰ προσήκοντά οἱ ἥκιστα. ἔοικε δὲ ἐκ τούτων ἔχειν τι καὶ φιλοτιμίας ἐν ἑαυτῷ φυσικῆς· μὴ γὰρ δεῖσθαι κρεῶν, ἀλλὰ νίκης ἐρᾶν
5 ὀχληθεὶς] cf. Ael. l. c. VIII 9 (p. 205,24—32 Herch.) 8 καὶ ἄλλην] cf. Ael. l. c. V 46 (p. 130,29—131,3 Herch.) 9 ἔχουσι] cf. Ael. l. c. (p. 130,26—29 Herch.) 11 ὁ δὲ τῆς μελίας] cf. Ael. l. c. VIII 9 (p. 206,5 Herch,) 13 ἀναιδέστατον] cf. Ael. l. c. VII 19 (p. 183,28 Herch.) 14 λιμοῦ] cf. Ael. l. c. VI 16 (p. 146,13—15 Herch.) 16 καὶ σεισμὸν] cf. Ael. l. c. (p. 146,15—17 Herch.) 18 ἡ δὲ Κρῆσσα—τοιοῦτόν ἐστιν (21)] cf. Ael. l. c. III 2 (p. 60,25—31 Herch.) 22 οἱ δὲ Αἰγύπτιοι] cf. Ael. l. c. VI 53 (p. 163,30—164,5 Herch.) vide infra § 200

---

3 ἅψαιτο Ael.: ἅψεται D 6 τὲ D: δὲ Ael. 7 ἤπερ D 10 λήϊον Ael.: λῖνον D 11 ἐσθίουσαι ἐκκρίνουσιν recte Ael. ἕλμινθας D υἷς D 12 ἰαίνει D: πιαίνει Ael. 13 φίσταται D 14 μῦς D: scribendum μυῖα secundum Ael. δὲ om. Ael. 15 ὥσπερ δὴ om. Ael. αἶγες καὶ ὕες D: ὗς καὶ αἶγες Ael. 16 ἕτερα ζῶα D: ζῷα ἄλλα Ael. σεισμὸν scripsi: σεισμὸς D λοιμὸν scripsi: λιμὸς D προγινώσκει addidi secundum Ael. ὑγίειαν ἀέρων Ael. 18 ἀλτικὴ D 20 ἐπεὶ θυμωδέστατοι καὶ Ael. 22 δειλότατοι D: φυγεῖν δεινότατοι Ael. θηρία om. Ael. 23 πόμα D Ael.: πῶμα Hercher

λαμβάνοντες. (192) φασὶ δὲ τοὺς Μεμφίτας κύνας ἐς μέσον τὰς ἁρπαγὰς κατατιθεμένους ἐσθίειν κοινῇ. (193) Λακωνικαὶ δὲ κύνες ποικίλαι εἰσίν· αἱ μὲν γὰρ τῆς κούφης φορᾶς εἰσι, τοῖς λαγωοῖς ἐπιφερόμεναι καὶ τὸ ἐνθύμημα τῶν διωκομένων προφθάνουσαι οἰκείῳ νοήματι * * * (194) αἱ δὲ Κρητικαὶ κύνες ἰχνευτικαὶ πάνυ· ἕτεραι δὲ Κρητικαὶ κύνες καὶ οἰκουροί εἰσιν. (195) αἱ δὲ Παιονικαὶ πρὸς ἐλάφους ἀγρίους ὁμόσε χωροῦσι μάλιστα καθοπλισθεῖσαι. (196) αἱ δὲ Ὑρκανοὶ κύνες λεοντόποδές εἰσιν, εὔστερνοι καὶ εὐτράχηλοι, βρυχοειδὲς ὑλακτοῦσαι καὶ πρὸς λέοντας μαχόμεναι· ἀπὸ δὲ Ἰνδῶν εἰς Ὑρκανίαν τὸ γένος ἦλθεν. (197) αἱ δὲ Μελιταῖαι κύνες πρὸς τάχος καλαί, ἐπιμελείας δὲ δεόμεναι. (198) πᾶς δὲ κύων, εἰ μὲν ὑγιαίνων δάκῃ, τραῦμα εἰργάσατο, ἐὰν δὲ λυττᾷ, διέφθειρεν, ὕδωρ τε δεδιέναι κατηνάγκασε πρῶτον, καὶ ὁ μετριάσαι δοκῶν πάλιν ἐξάπτεται εἰς τὴν ὀδύνην καὶ ὑλακτήσας ἀπέθανεν. ἀκέστρια δὲ ἀκουμένη χιτώνιον, ῥαγὲν ὑπὸ λυττῶντος κυνός, δακοῦσά πως τῷ στόματι τὸ χιτώνιον, ἵν᾽ ἀποτείνῃ αὐτό, ἐλύττησε καὶ ἀπέθανεν.

(199) Νικίας τις τῶν κυνηγετούντων ἀπροόπτως φερόμενος εἰς ἀνθρακευτῶν κάμινον κατηνέχθη· οἱ δὲ κύνες οἱ σὺν αὐτῷ τοῦτο ἰδόντες οὐκ ἀπέστησαν, ἀλλὰ τὰ μὲν πρῶτα κνυζώμενοι περὶ τὴν κάμινον καὶ ὠρυόμενοι διέτριβον, τὰ δὲ τελευταῖα μονονουχὶ τοὺς παριόντας ἠρέμα καὶ πεφεισμένως κατὰ τῶν ἱματίων δάκνοντες, εἶτα ἕλκοντες ἐπὶ τὸ πάθος, οἷον ἐπικούρους τῷ δεσπότῃ παρακαλοῦντες τοὺς ἀνθρώπους οἱ κύνες. καὶ γοῦν εἷς ὁρῶν τὸ γινόμενον ὑπώπτευσε τὸ συμβὰν καὶ ἠκολούθησε καὶ εὗρε τὸν Νικίαν ἐν τῇ | καμίνῳ καταφλεγέντα, ἐκ τῶν λειψάνων συμβαλὼν f. 355v τὸ γενόμενον.

(200) Οἱ μὲν ἄλλοι κύνες καὶ ἑλεῖν καὶ ἀνιχνεῦσαι τὰ θηρία σοφοί, οἱ δὲ Αἰγύπτιοι φυγεῖν δεινότατοι. τὰ γοῦν ἐν τῷ Νείλῳ δεδιότας ἄγει μὲν αὐτοὺς τὸ δίψος πιεῖν, ἡσυχῇ δὲ καὶ εἰς κόρον πιεῖν τὸ δέος οὐ συγχωρεῖ, καὶ διὰ τοῦτο οὐ πίνουσιν ἐπικύψαντες ὡς ἂν μή τι τῶν κάτωθεν ἀνερπύσαν εἶτα ἐξαρπάσῃ αὐτούς. οὐκοῦν τὴν μὲν ὄχθην παραθέουσι,

---

1 φασὶ] cf. Ael. nat. anim. VII 19 (p. 183, 22—24 Herch.) 2 Λακωνικαὶ — δεόμεναι (11)] haec e Timotheo sumpta esse videntur. cf. Timoth. p. 16, 16 Haupt. ὅτι ἀπὸ διαφόρων ἐθνῶν διάφοροί εἰσι κύνες κατὰ τὴν ἀρετήν 11 πᾶς δὲ κύων] cf. Ael. nat. anim. IX 15 (p. 223, 7—12 Herch.) 13 ἀκέστρια] Ael. l. c. (p. 223, 9—12 Herch.) 16 Νικίας] Ael. l. c. I 8 (p. 7, 19—30 Herch.) 25 οἱ μὲν ἄλλοι] Ael. l. c. VI 53 (p. 163, 29—164, 5 Herch.) cf. § 191 p. 80, 22

---

4 post νοήματι lacunam statuendam esse iudicavi 8 ὑλακτοῦσαι scripsi: ὑλακτοῦντες D 11 εἰ μὲν sic D 12 ὕδωρ — ἀπέθανεν (13) delevit Hercher 13. 14 ἀκέστρια δὲ ἀκουμένη Ael.: ἀκέτρια δὲ ἀκουομένη D 15 ἵνα Ael. ἀποτείνει D 16 Νικίας Ael.: Λικίας culpa rubricatoris D τις Hercher: τίς D: δέ τις Ael. συγκυνηγετούντων Hercher παραφερόμενος Hercher 18 κνυζόμενοι D ὠρυώμενοι D 19 παριόντας Ael.: παρόντας D 20 ἕλκοντες D Ael.: εἷλκον Apost. Hercher 23 ἐν τῇ iteravit D καταφλεχθέντα Ael. 24 γενόμενον Ael.: γινόμενον D 25 ἱ prima littera omissa culpa rubricatoris D ἐλεῖν D 26 τὰ Ael. cf. § 191: τοὺς D 28 διὰ ταῦτα Ael. οὐ Ael.: καὶ D

λάπτουσι δὲ τῇ γλώσσῃ, ἁρπάζοντες ὡς ἂν εἴποι τις ἢ καὶ νὴ Δία κλέπτοντες τὸ πόμα.

(201) Κυνῶν ἐς τοὺς τρέφοντας αὐτοὺς ἄμαχον εὔνοιαν ὁμολογεῖ καὶ ἐκεῖνο δήπου. ἔν τινι τῶν ἐμφυλίων πολέμων ἐν τῇ Ῥώμῃ Κάλβου τοῦ Ῥωμαίου σφαγέντος οὐδεὶς μέντοι τῶν ἐχθρῶν τοῦ ἀνδρὸς ἠδυνήθη τὴν κεφαλὴν ἀποτεμεῖν, καίτοι μυρίων ἀγώνισμα τιθεμένων σφίσι καὶ καλλώπισμα τοῦτο, πρὶν ἢ τὸν παρεστῶτά οἱ κύνα ἀποκτεῖναι ὑπ' αὐτοῦ τραφέντα καὶ μέντοι καὶ τὴν εὔνοιάν οἱ πιστότατα ἀποσώζοντα καὶ ὑπερμαχοῦντα τοῦ κειμένου, ὥσπερ οὖν συστρατιώτην τε καὶ σύσκηνον ἀγαθὸν καὶ ἐς τὰ ἔσχατα φίλον. οἷον δ' αὖ καὶ τόδε ἔρεξεν οὐκ ἀνὴρ μὰ Δία, ἀλλὰ ἀγαθὸς κύων καὶ τὴν γνώμην καρτερός, μαθεῖν ἄξιον. ὁ Ἠπειρώτης Πύρρος ὡδοιπόρει, εἶτα μέντοι περιτυγχάνει νεκρῷ πεφονευμένῳ καὶ κυνὶ παρεστῶτι καὶ φρουροῦντι τὸν δεσπότην, ἵνα μὴ πρὸς τῷ φόνῳ καὶ τῷ νεκρῷ λυμήνηταί τις. ἔτυχε δὲ ἄρα τρίτην ἔχων ὁ κύων ἀπόσιτος τὴν ἡμέραν ἐπὶ τῇ φιλοπόνῳ καὶ καρτερικωτάτῃ φρουρᾷ. ὅπερ οὖν διδαχθεὶς ὁ Πύρρος τὸν μὲν ᾤκτειρε καὶ ταφῆναι ἠξίωσε· τόν γε μὴν κύνα προσέταξε τυχεῖν κηδεμονίας, καὶ ἐδίδου ὅσα κυνὶ παρόντι ἐκ χειρός, καὶ μάλα γε ἱκανὰ καὶ ἐφολκὰ εἰς τὴν ἑαυτοῦ φιλίαν τε καὶ εὔνοιαν, κατὰ μικρὸν ὑπάγων τὸν κύνα Πύρρος. καὶ ταῦτα μὲν ἐς τοσοῦτον. εἶτα μέντοι οὐ μετὰ μικρὸν ἐξέτασις ὁπλιτῶν ἦν, καὶ ὁ βασιλεύς, ὃν προεῖπον, ἐθεᾶτο, καί οἱ παρῆν ἐκεῖνος ὁ κύων. καὶ τὰ μὲν ἄλλα ἑαυτὸν συνεῖχε καὶ πρᾳότατος ἦν· ἐπεὶ δὲ ἄρα τοὺς τοῦ δεσπότου φονέας ἐν τῇ τῶν στρατιωτῶν εἶδεν ἐξετάσει, ὁ δὲ οὐκ ἐκαρτέρησεν ἐνταῦθα ἀτρεμεῖν, ἀλλ' ἐς αὐτοὺς ἐπήδα καὶ ὑλάκτει ἀμύσσων τοῖς ὄνυξι, καὶ ἐς τὸν Πύρρον ἅμα ἐπιστρεφόμενος ὡς οἷός τε ἦν, | ἐπήγετο [f. 356r] μάρτυρα ὅτι ἄρα τοὺς ἀνδροφόνους ἔχει. οὐκοῦν ὑπόνοια εἰσέρχεται καὶ τὸν βασιλέα καὶ τοὺς περιεστῶτας αὐτόν, καὶ ποιοῦνται ἐνθύμιον τὴν τοῦ κυνὸς ὑλακὴν τὴν ἐς τοὺς προειρημένους. καὶ συλληφθέντες στρεβλοῦνται, καὶ κατεῖπον ὅσα ἐτόλμησαν. καὶ δοκεῖ μὲν μῦθος ταῦτα τοῖς ἄλλοις ὅσοι Διὸς Ἑταιρείου καὶ Φιλίου τὸν θεσμὸν πατήσαντες εἶτα μέντοι ζῶντας

---

3 κυνῶν] Ael. nat. anim. VII 10 (p. 176,28—178,12 Herch.)

---

1 γλώττῃ Ael.  καὶ νὴ Ael.: καινὴ D  2 πῶμα Hercher  3 κυνῶν (prima littera omissa a rubricatore) D Hercher: κυνὸς Ael.  αὐτοὺς D Hercher: αὐτὸν Ael.  4 ἐμφιλίων D ut ἐμφυλίων coniecerat Reiske: ἐμφύλων Ael. Hercher  5 ῥωμαίου Ael.: ῥωμαίων D  7 αὐτοῦ D Ael.: αὐτῷ Hercher  10 τόδ' Hercher  ἔρρεξε aut ἔρρεξεν Ael. codd.  ἀλλ' Ael.  12 νεκρῷ D Ael.: delevit Hercher  13 καὶ μέντοι καὶ φρουροῦντι Ael.  καὶ τῷ νεκρῷ D Hercher: καὶ μέντοι καὶ νεκρὸν Ael.  13. 14 λυμήνηταί D Ael.  14 Hercher proponit ἔτυχε δὲ ἄρα τρίτην ταύτην ἔχων ὁ κύων ἀπόσιτος ἡμέραν  16 ταφῆναι D: ταφῆς Ael.  17 παρόντι Ael.: παρότι D: ὀρέγεται Hercher  18 ἐφολκὰ Ael.: ἐφολικὰ D  κατὰ μικρὰ Ael.  19 ὁ Πύρρος Ael.  μικρὸν D Ael.: μακρὸν Hercher  21 συνεῖχε D: σιγῇ εἶχε Ael.: σιγῇ κατεῖχε Hercher  22 ὁ δὲ D: ὅδε Ael.: ὃ δὲ Hercher  23 ἀλλὰ Hercher  24 ἅμα D Ael.: θαμὰ Jacobs  27 ὑλακὴν Ael.: ὑλακτὴν D  28 ἄλλοις delevit Hercher  29 τὸν θεσμὸν D: τοῦ αὐτοῦ θεσμὸν Ael.

προὔδοσαν τοὺς φίλους καὶ ἀποθανόντας· ἐγὼ δὲ οὐ πείθομαι τοῖς νοοῦσι κακῶς τὰ τῆς φύσεως καλά. εἴπερ οὖν τοῖς ἀλόγοις μετέδωκεν εὐνοίας τε καὶ στοργῆς, πάντως που καὶ τῷδε τῷ ζῴῳ τῷ λογικῷ μετέδωκε μᾶλλον. ἀλλὰ οὐ χρῶνται τῷ δώρῳ. καὶ τί δεῖ τὰ λοιπὰ ἐπιλέγειν ὁπόσα ἄνθρωποι ὑπὸ τοῦ πονηροῦ κέρδους κακὰ τοὺς ἑαυτῶν φίλους εἰργάσαντο, ἐπιβουλὰς ῥάπτοντες καὶ προδιδόντες; ὥς ἐμέ γε ἀλγεῖν εἴπερ οὖν ἀνθρώπων πιστότερος καὶ εὐνούστερος ἐλήλεγκται ὁ κύων ὤν.

(202) Ἴδιον δὲ ἄρα τῆς τῶν κυνῶν εἰς τοὺς τρέφοντας εὐνοίας καὶ ἐκεῖνο μαρτυρεῖ· ὁ Κολοφώνιος ἀνὴρ παραγίνεται εἰς τὴν Τέων συνωνησόμενός τινα· καὶ γὰρ ἦν ἐμπορικὸς καὶ τὴν ἐκ τῶν ὠνίων καπηλείαν τε καὶ μεταβολὴν πρόσοδον εἶχεν· ἀργύριον δὲ ἐπήγετο καὶ οἰκέτην καὶ κύνα. ἔφερε δὲ τὸ ἀργύριον ὁ δοῦλος. ἐπεὶ δὲ πρὸ ὁδοῦ ἦσαν, ὁ οἰκέτης ἐξετρέπετο· ἤπειγε γάρ τι αὐτὸν τῶν κατὰ φύσιν· ἠκολούθησε δὲ καὶ ὁ κύων. τὸ τοίνυν φασκώλιον ἀνέπαυσεν ὁ νεανίας, καὶ ἀνελέσθαι πάλιν οὐκ ἐνενόησεν, ἀλλὰ ᾤχετο ἀπιών. ὁ δὲ κύων ἑαυτὸν κατακλίνας ἐπὶ τῷ ἀργυρίῳ ἔμεινεν ἥσυχος. ἐλθόντες τε εἰς τὴν Τέων ὅ τε δεσπότης καὶ ὁ οἰκέτης, εἶτα μέντοι ἄπρακτοι ἐπανῆλθον, ὅτου ὠνήσαιντο οὐκ ἔχοντες· τὴν αὐτήν γε μὴν ἐκτρέπονται πάλιν ἔνθα ὁ οἰκέτης ἀπέλιπε τὸ βαλάντιον, καὶ καταλαμβάνουσι τὸν σφέτερον κύνα ἐπικείμενον αὐτῷ καὶ μόλις ἐμπνέοντα ὑπὸ λιμοῦ. ὁ δέ, ὡς εἶδε τὸν δεσπότην καὶ τὸν ὁμόδουλον, ἑαυτὸν ἀποκλίνας κατὰ τοῦ φασκωλίου, κατὰ τὸν αὐτὸν χρόνον καὶ τὴν φρουρὰν καὶ τὴν ψυχὴν ἀφῆκεν. οὔκουν οὐδὲ ὁ Ἄργος | ὁ κύων μυθοποίημα ἦν, ὦ θεῖε f. 356v Ὅμηρε, σόν, οὐδὲ κόμπος ποιητικός, εἴπερ οὖν καὶ τῷ Τηΐῳ ταῦτα ἀπήντησεν ὅσα προεῖπον.

(203) Ὑρκανοῖς καὶ Μάγνησιν οἱ κύνες συνεστρατεύοντο, καὶ ἦν καὶ τοῦτο συμμαχικὸν ἀγαθὸν αὐτοῖς καὶ ἐπικουρικόν. συστρατιώτην δέ ⟨τις⟩ Ἀθηναῖος ἐν ⟨τῇ⟩ μάχῃ τῇ ἐν Μαραθῶνι ἐπήγετο κύνα, καὶ γραφῇ εἴκασται ἐν τῇ Ποικίλῃ ἑκάτερος, μὴ ἀτιμασθέντος τοῦ κυνός, ἀλλ' ὑπὸ τοῦ κινδύνου

---

8 ἴδιον] Ael. nat. anim. VII 29 (p. 189,8—30 Herch.) 25 Ὑρκανοῖς] Ael. l. c. VII 38 (p. 192,17—26 Herch.)

---

2 κακῶς Ael.: καινῶς D εἴπερ οὖν D: ἤπεροῦν εἰ Ael.: ἤπερ οὖν εἰ Hercher 4 ἀλλὰ D Hercher: ἀλλ' Ael. itemque infra 15 et 28 5 ὑπὸ D: ὑπὲρ Ael. 7 ἐλήλεκται D ὁ κύων ὤν D: καὶ κύων ὢν Ael.: καὶ κύων Reiske: κύων Hercher 8 ἰδίαν δὲ ἄρα κυνῶν ἐς τοὺς τρέφοντας εὔνοιαν Hercher 9 ὁ delevit Hercher (?) κυλοφώνιος D 9 et 16 Τέων Ael.: τέω D 11 εἶχεν Ael.: εἶχον D ἐπήγετο D Hercher: ἐπηγάγετο Ael. 12. 13 ἐξετράπετο Hercher 14 φασκόλιον (similiter v. 21) D ἀνέπαυσεν Ael.: ἀνέπαισεν D 15 ἔμεινεν D: ἔμενεν Ael. 16 τὲ (ante εἰς) D: δὲ Ael. 17 ὥτου D ὠνήσαιντο D: ὠνήσονται Ael.: ὠνήσωνται Hercher γε Ael.: τε D 19 ὑπὸ D Ael.: ὑπὸ τοῦ Hercher secundum Apost. 20 ἑαυτὸν Ael.: ἑαυτοῦ D 21 κατὰ (ante τοῦ) D: deest Ael. 22 ὁ (ante Ἄργος) D: deest Ael. 24 ὅσα D Hercher: ὅσα καὶ Ael. 25 Πυρκανοῖς culpa rubricatoris D 26 συστρατιώτην Ael.: συστρατιώτης D τις addidi ex Ael. 27 ἐν τῇ Ael.: ἐν D 28 ἑκάτερος Ael.: ἑκάτερον D ὑπὸ D: ὑπὲρ Ael. cf. v. 5

μισθὸν εἰληφότος ὁρᾶσθαι σὺν τοῖς ἀμφὶ τὸν Κυναίγειρον καὶ Ἐπίζηλόν τε καὶ Καλλίμαχον. ἔστι δὲ καὶ οὗτοι καὶ ὁ κύων Νίκωνος γράμμα· οἱ δὲ οὐ τούτου, ἀλλὰ τοῦ Θασίου Πολυγνώτου φασί.

(204) Ἴδια δὲ ἄρα κυνῶν καὶ ἐκεῖνα, εὐνοίας ὑπερβολὴν πᾶσαν ἐκνενικηκότα. Πώλῳ μὲν τῶν τῆς τραγῳδίας ὑποκριτῶν ὁ κύων ὁ τρόφιμος αὐτοῦ τεθνεῶτι καὶ καιομένῳ ἑαυτὸν συγκατέπρησε τῇ πυρᾷ ἐμπηδήσας. καιομένῳ δὲ καὶ Μέντορι σκύλακες Ἐρετρικαὶ ἑαυτὰς συγκατέπρησαν ἑκοῦσαι κοινωνήσασαι τοῦ τέλους. Θεόδωρον δὲ ἄνδρα ψαλτικὴν ἀγαθόν, τὸν μὲν ἐς τὴν σορὸν ἐνέθεσαν οἱ προσήκοντες, κυνίδιον δὲ Μελιταῖον ἑαυτὸ ἐνέβαλε εἰς τὴν θήκην τοῦ νεκροῦ καὶ συνετάφη. πέπυσμαι δὲ καὶ Αἰθιόπων εἶναι ἔθνος, ἐν ᾧ βασιλεύει κύων, καὶ τῇ ἐκείνου ὁρμῇ πείθονται, καὶ ὑλακτοῦντος τὴν ὀργὴν συνιᾶσι. τοῦτο εἴ τῳ ἱκανὸς Ἕρμιππος τεκμηριῶσαι μάρτυρά οἱ τοῦ λόγου ἐπαγόμενος Ἀριστοκλέα, πειθέτω· ἐμὲ δὲ μὴ λαθὸν εἶτα ἐν καλῷ τῆς μνήμης ἀφίκετο.

(205) Ἐν δὲ τοῖς Ἰνδικοῖς κύνες εἰσὶ μέγιστοι πάσης γῆς· καὶ πρὸς λέοντας ἕτεροι μὲν κύνες οὐ τολμῶσι προσιέναι, οἱ δὲ Ἰνδικοὶ κύνες ὁμόσε χωροῦσι, καὶ μάχονται αὐτοῖς. καὶ πολλὰ κακὰ κύων Ἰνδικὸς λέοντι παρασχὼν ἡσσᾶται ὑπὸ λέοντος. ἤδη μέντοι τινὰ εἶδον λέοντα ὑπὸ κυνὸς Ἰνδικοῦ διαφθαρέντα ἐν θήρᾳ.

(206) Λόγου μὲν ἄμοιρος κύων, ἰσοδυναμοῦσαν δὲ ὅμως τῷ λόγῳ τὴν αἴσθησιν ἔχει. ἃ γὰρ οἱ κατὰ πολλὴν σχολὴν τοῦ βίου καθεζόμενοι μόλις ἐξεῦρον, οἱ τοῦ κόσμου σοφοί, τὰς τῶν συλλογισμῶν | λέγω πλοκάς, f. 357r
ταῦτα δείκνυται παρὰ τῆς φύσεως ὁ κύων πεπαιδευμένος. τὸ γὰρ ἴχνος τοῦ θηρίου διερευνώμενος, ἐπειδὰν εὕρῃ αὐτὸ πολυτρόπως σχιζόμενον, τὰς ἑκασταχοῦ φερούσας ἐκτροπὰς ἐπελθών, μονονουχὶ τὴν συλλογιστικὴν φωνὴν ἀφίησι δι' ὧν πράσσει. "ἢ τήνδε, φησίν, ἐτράπη τὸ θηρίον ἢ τήνδε ἢ ἐπὶ τόδε τὸ μέρος, ἀλλὰ μὴν οὔτε τήνδε οὔτε τήνδε· λειπόμενόν ἐστι τῇδε ὁρμεῖσθαι αὐτό". οὕτω τῇ ἀναιρέσει τῶν ψευδῶν εὑρίσκει τὸ ἀληθές. τί περισσότερον ποιοῦσιν οἱ ἐπὶ τῶν γραμμάτων σεμνῶς καθεζόμενοι καὶ τὴν κόνιν καταχαράσσοντες, τριῶν προτάσεων ἀναιροῦντες τὰς δύο καὶ ἐν τῇ

---

4 ἴδια] Ael. nat. anim. VII 40 (p. 194, 3—18 Herch.) 15 ἐν δὲ τοῖς Ἰνδικοῖς] cf. Ael. l. c. IV 19 (p. 87, 7—14 Herch.) 20 λόγου] Bas. Magn. hom. in Hexaem. IX ed. Mignii Patrol. Graec. vol. XXIX, p. 197, B—D. cf. Ael. nat. anim. VI 59 (p. 166, 10—28 Herch.)

---

1 Κυναίγειρον D Ael.: Κυνέγειρον Hercher 2 νίκωνος D Ael.: Μίκωνος Meursius Πολυγνώτου Ael.: πολυγνώστου D 3 φασίν Hercher 4 ἴδια Ael.: Διὰ culpa rubricatoris D 5 Πώλῳ Ael.: πολλῶν D μὲν D Hercher: μὲν οὖν Ael. τῷ τῆς τραγῳδίας ὑποκριτῇ recte Ael. 8 ψαλτικὴν Ael.: ψαντικὴν, ψ ex μ correcto, D[1] 9 ἐνέθησαν D 11 post πείθονται add. κνυζωμένου τε ἴσασιν ὅτι μὴ θυμοῦται Ael. 12 ἕρμιππος D 13 ἀριστοκλέα D: Ἀριστοκλέωνα Ael.: Ἀριστοκρέωνα Schneider 15 ἐν δὲ τοῖς ἰνδικοῖς D: κύνες Ἰνδικοὶ Ael.: fortasse ἐν δὲ τῇ Ἰνδικῇ 17 κύων D: ὁ κύων Bas. 25 συλλογιστικὴν Bas.: συλλογικὴν D 27. 28 τῇδε ὁρμεῖσθαι D: τῇδε ὡρμῆσθαι Migne: τήνδε ὡρμῆσθαι Reg. sextus cod. Bas.: τήνδε ὁρμᾶσθαι Reg. tertius cod. Bas. 28 καὶ οὕτως Bas. 29 γραμμάτων D Reg. primus cod. Bas.: διαγραμμάτων ceteri codd. Bas. Migne 30 τὰς Bas.: τὰ D

λειπομένῃ τὸ ἀληθὲς ἐξευρίσκοντες· τὸ δὲ μνημονικὸν τῆς χάριτος τοῦ ζῴου τίνα τῶν ἀχαρίστων πρὸς εὐεργεσίαν οὐ καταισχύνει; ὅπου γε καὶ φονευθεῖσι δεσπόταις κατ᾽ ἐρημίαν πολλοὶ τῶν κυνῶν ἐπαποθανόντες μνημονεύονται; ἤδη δέ τινες ἐπὶ θερμῷ τῷ πάθει καὶ ὁδηγοὶ τοῖς ἐκζητοῦσι τοὺς φονέας ἐγένοντο. καὶ ὑπὸ δίκην ἀχθῆναι τοὺς κακούργους ἐποίησαν.

(207) Ὁ λύκος ἔστι μὲν καὶ αὐτὸς καρχαρόδους καὶ τῶν πολυσχιδῶν, βαδίζει δὲ κατὰ διάμετρον. (208) ἔχει δὲ τὸν αὐχένα μονοσπόνδυλον, καθάπερ ὁ λέων. (209) αἰδοῖον δὲ ἔχει ὀστῶδες καθαρὸν καθάπερ ὁ ἀλώπηξ καὶ ἡ γαλῆ. (210) ἀνατμηθεὶς δὲ ἔχει γλῶτταν μεγάλην καὶ παχεῖαν, πνεύμονα ὀκτάλοβον, ἧπαρ ἑξάλοβον, κοιλίαν κυνὸς ὁμοίαν, τὰ δ᾽ ἄλλα ὅμοια κυνί. (211) ὀχεύεται δὲ καὶ ὀχεύει ὁ λύκος ⟨κατὰ μίαν ὥραν⟩, τὰ δ᾽ ἄλλα πράσσει περὶ τὴν ἔκτεξιν ὅμοια κυνί. (212) ἴδιον δὲ ἔχει τοῦτο· καὶ καρχαρόδους γὰρ ὑπάρχων, ἔστι καὶ σαρκοφάγος. (213) ἐπιτίθεται δὲ μᾶλλον μὲν ὄνῳ, εἶτα βοΐ, καὶ κατὰ φλέβα λύων αἱμοποτεῖ. (214) λέγεται δὲ τοὺς μονολύκους καὶ ἀνθρώποις ἐπιτιθεμένους σαρκοφαγεῖν.

(215) Ἱστορεῖ δὲ περὶ τὴν Μαιῶτιν λίμνην τοὺς λύκους ἐπὶ τοσοῦτον συνήθεις εἶναι τοῖς τὴν ἄγραν τῶν ἰχθύων ποιουμένοις, ὥστε καὶ συναναιρεῖσθαι τοῖς ἰχθυοθήραις τῶν ληφθέντων τοὺς ἡμίσεις. εἰ δέ ποτε μὴ δῶσι δοκοῦντες λήσεσθαι, τὰ δίκτυα αὐτῶν ψυχόμενα κατασχίζουσι.

(216) Ζῇ δὲ ὁ λύκος ὅσα περ καὶ ὁ κύων ἔτη.

---

7 καρχαρόδους] Arist. hist. anim. Θ 5 p. 594a25 τῶν δὲ τετραπόδων καὶ ζῳοτόκων τὰ μὲν ἄγρια καὶ καρχαρόδοντα πάντα σαρκοφάγα· πλὴν τοὺς λύκους φασίν, ὅταν πεινῶσιν, ἐσθίειν τινὰ γῆν    τῶν πολυσχιδῶν] Arist. gener. anim. B 6 p. 742a8 ὅσα πολυσχιδῆ τῶν τετραπόδων, οἷον κύων λέων λύκος ἀλώπηξ θώς. cf. Δ 4 p. 771a21 κύων δὲ καὶ λύκος καὶ τὰ πολυσχιδῆ πάντα    8 βαδίζει] Arist. hist. anim. A 5 p. 490b3 πάντα δὲ κινεῖται ὁμοίως, τὰ τετράποδα καὶ πολύποδα· κατὰ διάμετρον γὰρ κινεῖται    ἔχει δὲ] Arist. part. anim. Δ 10 p. 686a20 τοῖς μὲν οὖν ἄλλοις ἐστὶ καμπτὸς καὶ σφονδύλους ἔχων, οἱ δὲ λύκοι καὶ λέοντες μονόστουν τὸν αὐχένα ἔχουσιν. cf. Timoth. p. 9,6 Haupt.    9 αἰδοῖον] Arist. hist. anim. B 1 p. 500b23 τὰ δ᾽ ὀστώδη, ὥσπερ ἀλώπεκος καὶ λύκου καὶ ἰκτίδος καὶ γαλῆς· καὶ γὰρ ἡ γαλῆ ὀστοῦν ἔχει τὸ αἰδοῖον    12 ὀχεύει] Arist. l. c. Z 35 p. 580a11 λύκος δὲ κύει μὲν καὶ τίκτει καθάπερ κύων τῷ χρόνῳ καὶ τῷ πλήθει τῶν γιγνομένων, καὶ τυφλὰ τίκτει ὥσπερ κύων· ὀχεύει δὲ καὶ ὀχεύεται κατὰ μίαν ὥραν, καὶ τίκτει ἀρχομένου τοῦ θέρους. cf. E 2 p. 540a8 λύκος δ᾽ ὀχεύει καὶ ὀχεύεται τὸν αὐτὸν τρόπον ὅνπερ καὶ κύων    14 σαρκοφάγος] Arist. l. c. I 1 p. 609b1 λύκος δ᾽ ὄνῳ καὶ ταύρῳ καὶ ἀλώπεκι πολέμιος· ὠμοφάγος γὰρ ὢν ἐπιτίθεται τοῖς βουσὶ καὶ τοῖς ὄνοις καὶ τῇ ἀλώπεκι    16 λέγεται] Arist. l. c. Θ 5 p. 594a29 ἀνθρωποφαγοῦσι δ᾽ οἱ μονοπεῖραι τῶν λύκων μᾶλλον [αὐτῶν] ἢ τὰ κυνηγέσια    18 ἱστορεῖ] Arist. l. c. I 36 p. 620b5 καὶ περὶ τὴν Μαιῶτιν δὲ λίμνην τοὺς λύκους φασὶ συνήθεις εἶναι τοῖς ποιουμένοις τὴν θήραν τῶν ἰχθύων· ὅταν δὲ μὴ μεταδιδῶσι, διαφθείρειν αὐτῶν τὰ δίκτυα ξηραινόμενα ἐν τῇ γῇ. cf. Ael. nat. anim. VI 65 (p. 169,22—31 Herch.). Antig. Caryst. 33. Plin. hist. nat. X 10    22 ζῇ] unde haec?

---

2 ἀχαρίτων D    εὐεργεσίαν D: εὐεργέτας Bas.    3 πολλοὶ Bas.: πολλὴν D    5 δίκην D: τὴν δίκην Bas.    12. 13 κατὰ μίαν ὥραν supplevi ex Arist.    13 ἔκτεξιν scripsi: ἔκταξιν D    20 εἰ sic D. cf. § 91 p. 58,3 et § 198 p. 81,11

(217) Ὅτι οἱ λύκοι ποταμὸν διαβαίνοντες, τὰς οὐρὰς τὰς ἀλλήλων ἐνδακόντες, ἀντιπίπτουσι τῷ ῥεύματι, καὶ ἀλύπως καὶ ἀσφαλῶς διενήξαντο. (218) ἐν Κρήτῃ δὲ | λύκος οὐκ ἔστιν. f. 357v

(219) Ἔχθιστον δέ ἐστι τοῖς ἄλλοις θηρίοις. (220) δέδοικε δὲ λύκος κατὰ πρόσωπον ταύρου ἰέναι διὰ τὰ κέρατα· ὡς ἐξ εὐθείας οὖν μαχούμενος ἑαυτὸν ὑποφαίνει, εἶτα, ἐξελίξας, εἰς τὰ νῶτα ἀνέθορε, καὶ ἐγκρατῶς ἔχεται, καὶ κατισχύει σοφίᾳ φυσικῇ.

(221) Λύκοι δὲ φεύγοντες ἐρημίας καὶ τὰ οἰκούμενα διώκοντες χειμῶνα δηλοῦσι.

(222) Βοῦν δὲ ἐμπεσόντα εἰς τέλμα λύκοι φοβοῦσιν, ἐπιβῆναι τῆς γῆς οὐκ ἐπιτρέποντες· ἀναγκάζουσι δὲ ἰλυσπώμενον ἀποπνιγῆναι. εἷς δὲ εἰσπηδήσας ἐλάβετο τῆς οὐρᾶς, καὶ ἕλκει εἰς τὸ ἔξω, ⟨καὶ⟩ ἕτερος ἐκείνου καὶ ἄλλος ἑτέρου μέχρι τοῦ ἑστῶτος ἔξω τοῦ ὕδατος. καὶ τὸν τρόπον τοῦτον ἐξαγαγόντες δειπνοποιοῦνται τὸν βοῦν. καὶ βοὸς δὲ μόσχον εὑρόντες οἱ λύκοι προσπηδῶσι, καὶ τῶν μυκτήρων λαβόμενοι ἕλκουσιν· ὅταν δὲ θεάσωνται σφόδρα ἀντιτείνοντα, μεθῆκαν· καὶ ἐκεῖνος ὑπὸ τῆς ἐς τοὐπίσω βίας ἀνατέτραπται, καὶ οἱ λύκοι προσπεσόντες ἀνέρρηξαν τὴν νηδύν, καὶ ἐσθίουσιν αὐτόν.

(223) Πόα δέ τίς ἐστι τοῦ Νείλου πλησίον ἧς ἐπιβὰς λύκος πρὸ ὥρας ἀποθνήσκει· καλεῖται δὲ λυκοκτόνος.

(224) Οὐ ῥᾳδίως λύκοι τὴν ὠδῖνα ἀπολύουσιν, ἀλλὰ ἐν ἡμέραις δώδεκα καὶ νυξὶ τοσαύταις.

(225) Ὁ λύκος ἐμπλησθεὶς εἰς κόρον οὐδ' ἂν τοῦ βραχίστου τὸ λοιπὸν ἐπιγεύσαιτο· περιτείνεται μὲν ⟨γὰρ⟩ ἡ γαστὴρ τῷδε, οἰδαίνει δὲ ἡ γλῶσσα καὶ τὸ στόμα ἐμφράγνυται, πρᾳότατος δὲ ἐντυχεῖν ἐστιν ἀμνοῦ δίκην, καὶ οὐκ ἂν ἐπιβουλεύσαι ἢ ἀνθρώπῳ ἢ θρέμμασιν, οὐδὲ εἰ τῆς ἀγέλης βαδίζοι μέσος. μειοῦται δὲ ἡσυχῇ καὶ κατ' ὀλίγον ἡ γλῶττα αὐτῷ, εἶτα εἰς τὸ ἀρχαῖον σχῆμα ἐπάνεισι, καὶ λύκος γίνεται αὖθις.

(226) Τῷ λύκῳ ὁ τράχηλος εἰς βραχὺ συνῆκται· οὔκουν οἷός τέ ἐστιν ἐπιστραφῆναι· ὁρᾷ δὲ ἐς τὸ πρόσω ἀεί, εἰ δὲ βούλοιτό ποτε εἰς τοὐπίσω

---

1 ὅτι οἱ λύκοι] cf. Ael. nat. anim. III 6 (p. 61,20—25 Herch.) 3 ἐν Κρήτῃ] cf. Ael. l. c. III 32 (p. 73,32 Herch.) 4 ἔχθιστον] cf. Arist. hist. anim. I 1 p. 609 b 1 ad § 212 cit. δέδοικε] cf. Ael. nat. anim. V 19 (p. 118,22—30 Herch.) 8 λύκοι] cf. Ael. l. c. VII 8 (p. 175,24—27 Herch.) 10 βοῦν δὲ] cf. Ael. l. c. VIII 14 (p. 209,13—32 Herch.) 18 πόα] cf. Ael. l. c. IX 18 (p. 224,25—28 Herch.) 20 οὐ ῥᾳδίως] Ael. l. c. IV 4 (p. 82,11—12 Herch.) 22 ὁ λύκος] Ael. l. c. IV 15 (p. 85,26—86,2 Herch.) 28 τῷ λύκῳ] Ael. l. c. X 26 (p. 255,19—256,11 Herch.)

---

3 κρίτῃ D 6 μαχούμενος scripsi ex Ael.: μαχόμενος D 8 ἐρημίας iteravit D 11 ἰλυσπόμενον D 12 καὶ addidi ex Ael. 14 δειπνοποιοῦνται τὸν βοῦν D: τὸν βοῦν ποιοῦνται δεῖπνον Ael. 17 προσπεσόντες D: ἐμπεσόντες Ael. 18 δέ τι ἐστὶ D 20 λύκοι D: οἱ λύκοι Ael. 23 ἐπιγεύσαιτο D: ἀπογεύσαιτο minus recte Ael. περιτείνεται recte D Ael. (cf. Arist. H. An. Θ 2 p. 591 b 2): παρατείνεται Hercher γὰρ addidi ex Ael. οἰδαίνει Ael.: ὑγιαίνει ex ὑδαίνει correxit D[1] 25 ἐπιβουλεύσαι Ael.: ἐπιβουλεῦσαι D: ἐπιβουλεύσειεν Hercher θρέμματι Ael. βαδίζοι Ael.: βαδίζει D 28 οὔκουν Ael.: οὐκοῦν D

θεάσασθαι, πᾶς ἐπιστρέφεται. ὀξυωπέστατον δέ ἐστι ζῷον καὶ μέντοι καὶ νύκτωρ καὶ σελήνης οὐκ οὔσης ὁ δὲ ὁρᾷ καὶ ὅτε πᾶσίν ἐστι σκότος. ἔνθεν τοι καὶ λυκόφως κέκληται ὁ καιρὸς ἐκεῖνος τῆς νυκτός, ἐν ᾧ μόνος ἐκεῖνος τὸ φῶς ὑπὸ τῆς φύσεως προσλαβὼν ἔχει. δοκεῖ δέ μοι καὶ Ὅμηρος λέγειν ἀμφιλύκην νύκτα καθ' ἣν ἤδη κλέπτοντες λύκοι βαδίζουσι. λέγουσι δὲ φίλον ἡλίου εἶναι αὐτόν, καὶ διὰ ταῦτα εἰς τιμὴν τοῦ ζῴου κεκλῆσθαι καὶ τὸν ἐνιαυτὸν λυκάβαντα εἰσὶν οἳ λέγουσι. χαίρειν δὲ αὐτῷ καὶ τὸν Ἀπόλλωνα λόγος, καὶ ἡ αἰτία | ἐκείνη διαρρέουσα καὶ εἰς ἐμὲ ἀφίκετο. τὸν f. 358r γάρ τοι θεὸν τοῦτον τεχθῆναί φασι τῆς Λητοῦς μεταβαλούσης τὸ εἶδος εἰς λύκαιναν. ταύτῃ τοι λέγει καὶ Ὅμηρος λυκηγενέϊ κλυτοτόξῳ· ταύτῃ τοι καὶ ἐν Δελφοῖς ἀνακεῖσθαι λύκον πέπυσμαι χαλκοῦν τὴν τῆς Λητοῦς ὠδῖνα αἰνιττόμενον. οἱ δὲ οὐ διὰ τοῦτό φασιν, ἀλλ' ἐπεὶ κλαπέντα ἀναθήματα ἐκ τοῦ νεὼ καὶ κατορυχθέντα ὑπὸ τῶν ἱεροσύλων λύκος τὸ ζῷον κατεμήνυσε· παρελθὼν ⟨γὰρ⟩ εἰς τὸν νεὼν καὶ τῶν προφητῶν τινα τῆς ἐσθῆτος τῆς ἱερᾶς ἑλκύσας τῷ στόματι καὶ προσαγαγὼν μέχρι τοῦ τόπου ἐν ᾧ τὰ ἀναθήματα ἐκέκρυπτο εἶτα τοῖς προσθίοις ὤρυττεν αὐτόν.

(227) Τὰ δὲ ἴδια τῶν ζῴων εἰδέναι οὐδὲ θεοὶ ὑπερορῶσιν. ἀκούω γοῦν Εὐρυσθένην καὶ Προκλέα [κατὰ] τοὺς Ἀριστομάχου τοῦ Κλεάνδου τοῦ Ὕλλου τοῦ Ἡρακλέους παῖδας βουλομένους ἄγεσθαι γυναῖκας ἐλθόντας εἰς Δελφοὺς τὸν θεὸν ἔρεσθαι τίνι ἂν κηδεύσαντες Ἑλλήνων ἢ βαρβάρων εἶτα μέντοι καλῶς καὶ εὐβούλως γῆμαι δόξαιεν, τὸν δὲ θεὸν αὐτοῖς ἀποκρίνασθαι ἐπανιέναι μὲν εἰς Λακεδαιμονίαν, ὑποστρέφειν δὲ κατὰ τὴν ὁδὸν ταύτην, καθ' ἣν ἀφίκοντο. ἐν ᾗ δ' ἂν αὐτοῖς χώρᾳ τὸ ἀγριώτατον ἀπαντήσῃ ζῷον φέρον τὸ πραότατον, ἐνταῦθά τοι ἁρμόσασθαι γάμους· οὕτως γὰρ αὐτοῖς ἔσεσθαι λῷον. καὶ οἱ μὲν ἐπείθοντο· οἱ δὲ γίνονται κατὰ τὴν Κλεωναίων χώραν, καὶ ἐντυγχάνει αὐτοῖς λύκος φέρων ἄρνα ἔκ τινος ποιμένος αὐτὸν ἁρπάσας. συνέβαλον οὖν ἐκεῖνοι λέγειν ταῦτα τὰ ζῷα τὸν χρησμόν, καὶ ἡρμόσαντο τὰς Θεσάνδρου τοῦ Κλεωνύμου θυγατέρας δοκίμου ἀνδρός. εἰ δὲ οἱ θεοὶ ἴσασι τὸ ἡμερώτατον ζῷον καὶ τὸ ἀγριώτατον, οὐδὲ ἡμῖν ἐκμελὲς τὰς φύσεις αὐτῶν εἰδέναι.

---

17 τὰ δὲ ἴδια] Ael. nat. anim. XII 31 (p. 307,18—308,5 Herch.)

---

1 ζῴων Ael. 2 καὶ ὅτε πᾶσιν ἐστὶ σκότος D: καὶ ὅτε πᾶσίν ἐστι σκότος ἐκεῖνος βλέπει Ael.: delevit Hercher 4 προσλαβὼν D: λαβὼν Ael.: λαγὼν Hercher 5 ἤδη D Ael.: δὴ Hercher κλέπτοντες D: βλέποντες Ael. 6 ἡλίου D: Ἡλίῳ Ael. τιμὴν τὴν τοῦ Ael. 7. 8 Ἀπόλλω Hercher 8 ἐκείνη delevit Hercher 10 ὅμηρος D Hercher: Ὅμηρος εἰπὼν Ael. λυκηγενέει D 13 λύκος Ael.: λύκοις D 14 γὰρ addidi ex Ael. 18 κατὰ τοὺς Ἀριστομάχου D: Προκλέα τοὺς Ἀριστομάχου libri Ael.: Προκλέα τοὺς ⟨Ἀριστοδήμου τοῦ⟩ Ἀριστομάχου rest. Sylburg κλεάνδου D: κλεάδα vel κλεόδου libri Ael.: Κλεόδα Lobeck 19 ἡρακλέως D 20 ἔρεσθαι sic D 22 Λακεδαίμονα Ael. 23 καθ' ἣν καὶ Ael. 24 φέρον τὸ Ael.: φέροντο D ἐνταῦθά Ael.: ἐντεῦθέν D 25 γίνονται δὲ Hercher Κλεωναίων Ael.: κλαιονέων D 26 καὶ ἐντυγγάνει D Ael.: ἐντυγχάνει δὲ Hercher ποιμένος D Ael.: ποίμνης rest. Gesnerus 27 ἁρπάσας D: ἡρπασμένον Ael.: συνηρπακὼς Hercher 28 θεσάνδρου D Ael.: Θερσάνδρου Hercher 29 οὐδὲ Ael.: οὐδὲν D

(228) Γέλωνος τοῦ Συρακουσίου παιδὸς ὄντος λύκος μέγιστος εἰσπηδήσας εἰς τὸ διδασκαλεῖον ἐξήρπασε τῶν χειρῶν τοῖς ὀδοῦσι τὴν δέλτον, καὶ ὁ Γέλων ἐξαναστὰς τοῦ θάκου ἐδίωκεν αὐτόν, τὸ μὲν θηρίον μὴ καταπτήξας, περιεχόμενος δὲ τῆς δέλτου ἰσχυρῶς. ἐπεὶ δὲ ἔξω τοῦ διδασκαλείου ἐγένετο, τὸ μὲν κατηνέχθη καὶ τοὺς παῖδας αὐτῷ διδασκάλῳ κατέλαβε, θείᾳ δὲ προμηθείᾳ ὁ Γέλων περιήει μόνος, καὶ τό γε παράδοξον, οὐκ ἀπέκτεινεν ἄνθρωπον, ἀλλ᾽ ἔσωσε λύκος, οὐκ ἀτιμασάντων τῶν θεῶν † ὅσον οὐδὲν διὰ τῶν ἀλόγων τῷ μὲν τὴν βασιλείαν προδηλῶσαι, τὸν δὲ τοῦ μέλλοντος κινδύνου σῶσαι· ἴδιον δὲ τῶν ζῴων καὶ τὸ θεοφιλές.

(229) Μὴ λάθῃ δέ σε ὁ λύκος | μηδέποτε προϊδεῖν, ἐπεὶ ἄφωνόν f. 358v σοι τὸ στόμα καὶ μηδὲ φθόγγον ἀφιέναι θείῃ δυνάμενον.

(230) Λέγεται γοῦν ὡς πρόβατον ἁρπαγὲν ὑπ᾽ αὐτοῦ αὐθαιρέτως ἀκολουθεῖ οὔτ᾽ ὀδοῦσι δακνόμενον οὔτε στόματι ἐφελκόμενον· ἀλλ᾽ ἡνίκα δ᾽ ἂν τῆς ποίμνης ἀποκριθῇ, ἕπεται αὐτομόλως· εἰ δέ που καὶ ἀπειθήσειεν, ἀλλ᾽ αὐτὸ τῇ οὐρᾷ μαστίζων ὁ λύκος ἐλᾷ.

(231) Βορώτατον μέντοι ὄντα καὶ φαγεῖν ἄτοπον ἡ φύσις μέτρα παιδεύει τροφῆς. ἡνίκα γὰρ διακορὴς γένηται καὶ ὑποπλησθῇ τὴν γαστέρα, ἐξοιδεῖται αὐτῷ ἡ γλῶσσα καὶ τοὺς τῆς τροφῆς ἀποφράγνυσι πόρους· καὶ τοιαύτην ὑπέχει δίκην ἀδηφαγίας ὁ λύκος.

(232) Ἔστι δὲ τὴν ἀκοὴν τὸ ζῷον ὀξύτατον. λάθῃ γὰρ αὐτὸν οὐδὲ φαυλότατόν τι κνῦμα κτύπου, οὐδὲ τοῦ σηκοῦ ποτε τῶν προβάτων ὑπεξιόντων ἡ βάσις αὐτὸν διαφύγῃ, καὶ πορρωθέν γε ὄντα. τὴν κεφαλὴν γὰρ τῇ γῇ προσερείδων σαφῆ τῆς ἐκείνων βληχῆς τὴν αἴσθησιν ὑπανέλκει.

(233) Διοίγεται μέντοι αὐτῷ τὸ στόμα οὐκ εὐπετῶς· ἔστι γὰρ τοῖς ὀδοῦσι συνειλημμένον. ἀλλ᾽ ἡνίκα δ᾽ ἂν εἰς θήραν χωροίη, μόλις αὐτὸ διοίξας, κεχηνὼς τοῦ λοιποῦ περιθέει τὴν ἄγραν. (234) οὕτω δὲ τὸ θηρίον πεπολεμωμένον ἐστὶ τοῖς προβάτοις, ὡς μηδὲ θανάτῳ ποτὲ σπέν-

---

1 Γέλωνος] Ael. nat. anim. XIII 1 (p. 318,4—16 Herch.) 10 μὴ λάθῃ] Timoth. p. 8,10 Haupt. κεφ. ζ΄. περὶ λύκου. ὅτι ὁ λύκος ἐὰν πρότερος ἴδῃ τινά, ἐνεὸν αὐτὸν ποιεῖ καὶ ἄφθογγον ὥρας τινάς 12 λέγεται] Timoth. p. 8,12 ὅτι φύσει τοῖς προβάτοις πολέμιός ἐστι, καὶ ἁρπάζων αὐτὰ πολλάκις τῇ οὐρᾷ μαστίζων ἐλαύνει, κἀκεῖνα αὐτομάτως ἀκολουθεῖ 16 βορώτατον] Timoth. p. 8,15 ὅτι ἡνίκα ὑπὲρ μέτρον φάγοι, φυσᾶται αὐτοῦ ἡ γλῶσσα καὶ φράσσει τὸν λαιμὸν αὐτοῦ. cf. § 225 p. 86,22 20 ἔστι δὲ τὴν ἀκοὴν] probabiliter e Timotheo 24 διοίγεται] probabiliter e Timotheo 26 οὕτω δὲ τὸ θηρίον] Timoth. p. 8,17 ὅτι οὕτως ἐχθρωδῶς ἔχει πρὸς τὰ πρόβατα ὥστε εὑρισκομένης πολλάκις χορδῆς αὐτοῦ ἐν κιθάρᾳ τὰς ἄλλας τῶν προβάτων χορδὰς ἀργεῖν καὶ κρουομένας μὴ φθέγγεσθαι. τοῦτο δὲ καὶ ἐπὶ τυμπάνων ὁμοίως. cf. Opp. Cyneg. III 282 sqq.

---

1 Γέλωνος δὲ Ael. συρακουσίου Ael.: συρρακουσίου D: Συρακοσίου Hercher 3 τὸ μὲν Ael.: τὸ δὲ D 5 κατέβαλε Hercher 6 περιήει D Ael.: περιῆν rest. Abresch 7. 8 ὅσον οὐδὲν D: ὅσον οὐ vel οὐδὲ vulg. Ael.: οὐδὲ V Hercher 8 τῷ μὲν Ael.: τῶν μὲν D 14 ἀπειθείσειεν D 20 λάθῃ D: fortasse λάθοι, cui ἂν in hoc scriptore addi non oportet 21 κνῦμα scripsi (cf. Aristoph. Eccl. 36): κύημα D 22 διαφύγῃ D: fortasse διαφύγοι 24 διοίγεται scripsi: διοίχεται D αὐτῷ scripsi: αὐτῶν D

δεσθαι. ἀλλὰ καὶ ἔτι δήλην αὐτοῖς γίνεσθαι τὴν διαφοράν. εἰ γάρ, οὕτω συμβάν, κιθάρα προβάτων χορδαῖς ἡρμοσμένη λύκου μία χορδὴ συμμιγείη, ταύτην μὲν ἀκούσεις ἄμουσόν τι καὶ ἀπῳδὸν ὑποφθεγγομένην, αἱ δὲ λοιπαὶ σιωπήσουσιν, ὥσπερ ἂν τοῦ πονηροῦ γείτονος ὑποσταλεῖσαι τὴν παρουσίαν.

(235) Λυκάβαντα δὲ τὸν ἐνιαυτὸν σύνηθες ὀνομάζειν παρ' ὃ μὴ πέφυκε πλεῖον ἢ ἐκ δώδεκα ἡ τῶν λύκων ἀγέλη ξυνισταμένη, ἢ ὅτι παρ' ὅλον ἐνιαυτὸν ἅπαξ μέμνηται λύκος ἀφροδισίων.

(236) Πρόβατον μέντοι ὑπὸ λύκου πληγὲν ἡδὺ μὲν ὑπάρχει φαγεῖν, τὸν χιτῶνα δὲ τὸν ἐκ τῶν ἐρίων φθειρῶν μάλιστα παρέχει γεννητικόν.

(237) Πλεῖστα δὲ τὰ εἴδη τῶν λύκων· ὁ μὲν γὰρ ἰκτῖνος, ὁ δὲ κίρκος, ὁ δὲ τοξευτήρ, ἄλλος δὲ ὃς καὶ βασιλεύς ἐστι λύκων καὶ καλεῖται. οὗτος δὲ οὐδὲ πέφυκε βαρὺς εἶναι τοῖς προβάτοις, ἀλλ' εἰ καὶ τῷ λιμῷ ποτε εἴκων διαρπάσειε, συνδιαιρεῖται τῷ νομεῖ τὴν θήραν. αὐτός τε τὸ ἥμισυ βεβρωκώς, ἐκείνῳ θάτερον ὑπολείπει. καὶ ἦν ἄρα ποτὲ βασιλεὺς Λυκάων δικαιοσύνης ἐχόμενος, τὸ γένος ἕλκων ἐξ Ἀρκαδίας, ὃς ἐπείπερ εἰς λύκον | ἔτυχε μεταβεβληκώς, οὐ συμμετήλλαχε καὶ τὸ ἦθος, ἀλλ' ἔμεινε δήπου f. 359r δίκαιος ὤν.

(238) Οἱ λύκοι μὲν οὖν, ὁπότε δύο ἢ καὶ πλείονες μίαν διαρπάσουσιν αἶγα, διαιροῦνται κατ' ἰσότητα πρὸς ἀλλήλους, καὶ ἄδικος οὕτω θήρα δικαίας τυγχάνει νομῆς. (239) νοσοῦντι δὲ λύκῳ καὶ ἀπορουμένῳ τροφῆς τὸν χοῦν αὐτῷ λέγεται γίνεσθαι βρῶσιν, καὶ τοῦτον ἐσθιόντα διαζῆν, καθάπερ ἄρα καὶ ἄγρωστιν μὲν οἱ κύνες, ἔλαφος δὲ τὸν ὄφιν. θηρᾷ δ' ἔγχελυν ἀετός, ὕαινα δὲ σκύλακα καὶ ἀσπίδα μὲν ὁ ἰχνεύμων, τὸν βάτραχον δὲ οἱ κύκνοι. (240) ἔστι μέντοι ὁ λύκος φίλος τῷ ψιττακῷ. (241) δέδοικε δὲ τὸ τῆς σκίλλης ἄνθος, καὶ ἐντυχών, δαιμονίοις τισὶ σπασμοῖς κυλινδεῖται·

5 λυκάβαντα] Timoth. p. 8,21 Haupt. ὅτι λυκάβας λέγεται ὁ ἐνιαυτὸς ἀπὸ ἀριθμοῦ (πορθμοῦ falso ut iam apparet coni. Hercher) τῶν λύκων cf. § 226 p. 87,6 8 πρόβατον] Timoth. p. 8,23 ὅτι τῶν ὑπὸ λύκων ἐσθιομένων προβάτων τὰ κρέα ἡδέα ἐστί, τὰ δὲ ἀπὸ τῶν ἐρίων αὐτῶν γινόμενα ἱμάτια φθεῖρας πολλοὺς ποιεῖ 10 πλεῖστα] Timoth. p. 8,26 ὅτι πολλὰ εἴδη τῶν λύκων ἐστίν. cf. Opp. Cyneg. III 293—335 18 οἱ λύκοι] Timoth. p. 8,27 ὅτι ἐὰν δύο λύκοι ὁμοῦ ἁρπάσωσι πρόβατον καὶ τῷ τῶν ὀδόντων τιναγμῷ διέλωνται αὐτό, εἰς ἴσα γίνεται ὁ διαμερισμός 20 νοσοῦντι] Timoth. p. 9,1 ὅτι ὁ λύκος ἡνίκα νοσεῖ ἐσθίει γῆν. cf. Arist. hist. anim. Θ 5 p. 594a26 πλὴν τοὺς λύκους φασίν, ὅταν πεινῶσιν, ἐσθίειν τινὰ γῆν, μόνον δὴ τοῦτο τῶν ζῴων 24 ἔστι] Timoth. p. 9,2 ὅτι τὸν ψιττακὸν φίλον ἔχει, ὡς δορκὰς τοὺς πέρδικας, ὡς ἔλαφοι τοὺς ἀτταγᾶς, ὡς ἵπποι τὰς ὠτίδας, ὡς αἶγες τοὺς ἰχθῦς τοὺς σαργούς, ὅτε πρὸς τοῖς ὕδασι λούονται. cf. Opp. Cyneg. II 404 sqq. δέδοικε] Timoth. p. 9,11 ὅτι φοβεῖται ὁ λύκος τὴν σκίλλαν. ὡς ὁ λέων τὴν πρῖνον καὶ ἡ πάρδαλις τὴν κράνειαν. cf. Timoth. p. 6,15. Ael. nat. anim. I 36 (p. 21,2 Herch.)

1 διαφοράν scripsi: διαφθοράν D 4 τοῦ πονηροῦ scripsi: τόπον κροῦ D 5 παρὸ D 6 πλεῖον ἢ ἐκ δώδεκα ἡ τῶν scripsi: πλείων· ἢ δώδεκα, ἡ ἐκ D 8 μέντοι scripsi: μὲν D 15 ἀρκαδίας ex ἀρκαδείας correxit D[1] 16 συμμετήλαχε D 18 ὁπότε sic D διαρπάσουσιν D: fortasse διαρπάσωσιν cf. p. 95,19. 20 22 ἄγροστιν D 23. 24 fortasse ὁ κύκνος 24 ψιτακῷ D 25 σκίλλης scripsi: σκήλης D

ταύτῃ τοι καὶ ἀλώπηξ ὑπὸ σκίλλαν κατευνηθεῖσα τῶν φοβούντων αὐτὴν ἀνεῖται [φροντίδων].

(242) Λύκου δ' ὀδόντα τις ἐξαψάμενος τοῦ αὐχένος, ἀδεῶς ἂν τοῖς ὁμοφύλοις ἐντύχῃ θηρίοις. (243) πρὸς ὕπνον δ' ἂν αὐτὸν ἐκκαλέσειας, φρύνου τὴν ὠμοπλάτην ἐπὶ χεῖρας ἔχων. (244) ἔστι δέ τις θὴρ λύκῳ μὲν ἐοικώς, κρείττων δὲ ὢν ἢ κατὰ λύκον. ἔστι δὲ καλὸς μὲν ἰδεῖν, χρυσοειδεῖ δὲ τῇ χαίτῃ κομῶν· ἔχει δὲ τὴν γένυν ἰσχυροτάτην· εἴκει γὰρ αὐτῇ καὶ λίθος καὶ σίδηρος, καὶ πᾶν ὅ τι τῶν ἀντιτύπων ἴσα καὶ τοῖς μαλακωτάτοις ὑπ' αὐτῆς κατείργασται. δέδοικε μέντοι τὰς τοῦ Σειρίου ἀνατολὰς καὶ κατὰ τήνδε τὴν ὥραν ἀθέατός ἐστι πέτραν τινὰ κοίλην ὑποδραμών, ἕως ἂν ἄρα αἴσθηται ψυχροτέρας ὑποπνεούσας αὔρας.

(245) Ἔστι μὲν ἡ πάρδαλις καρχαρόδους καὶ πολυσχιδής· καὶ γὰρ πενταδάκτυλος ἐκ τῶν ἐμπροσθίων, ἐκ δὲ τῶν ὀπισθίων τετραδάκτυλος. (246) πορεύεται δὲ κατὰ διάμετρον. (247) ἔχει δὲ μαστοὺς δύο. (248) ἀνατμηθεῖσα δὲ τὰ μὲν ἄλλα ἔχει ὅμοια κυνί, γλῶσσαν δὲ ἔχει τραχεῖαν καὶ ῥινώδη, πνεύμονα ἑπτάλοβον καὶ κοιλίαν ὑείαν, κύησιν καὶ ἔκτεξιν πάντα ὅμοια κυνί.

(249) Ἔστι δὲ ἡ θήλεια ἀνδρειοτέρα τοῦ ἄρρενος. (250) λέγεται δὲ ⟨ὅτι⟩ ὅταν καταφάγῃ μὴ γνοῦσα σὺν ἄλλοις φυταρίοις τὸ παρδαλιαγχὲς

---

3 λύκου] Timoth. p. 9,9 Haupt. ὅτι ὀδόντα αὐτοῦ εἴ τις φορέσειεν, οὐ φοβεῖται λύκον, καὶ ἵππος φορῶν αὐτὸν ταχύτατος γίνεται 4 πρὸς ὕπνον] Timoth. p. 9,13 ὅτι ὀστοῦν φρύνου κατέχων τις κοιμίζει τὸν λύκον 5 ἔστι δέ τις θήρ] Timoth. p. 9,14 ὅτι ἔστι λύκος κατεσθίων σίδηρον καὶ τοὺς λίθους. κρύπτεται δὲ κατὰ τὸν καιρὸν τοῦ Σειρίου κυνὸς ἕως οὗ καταψύξῃ ὁ ἀήρ. cf. Opp. Cyneg. III 314—323 12 καρχαρόδους] Arist. hist. anim. B 1 p. 501 a 16 ἔτι δὲ τὰ μέν ἐστι καρχαρόδοντα αὐτῶν, οἷον λέων καὶ πάρδαλις καὶ κύων. cf. Ael. nat. anim. XI 37 (p. 289,21 Herch.) πολυσχιδής] Arist. hist. anim. B 1 p. 499 b 6 τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ζῳοτόκων τὰ μέν ἐστι πολυσχιδῆ, ὥσπερ αἱ τοῦ ἀνθρώπου χεῖρες καὶ οἱ πόδες (πολυδάκτυλα γὰρ ἔνιά ἐστιν, οἷον κύων, λέων, πάρδαλις) 13 πενταδάκτυλος] Arist. part. anim. Δ 10 p. 688 a 4 τῶν δὲ πολυδακτύλων ἔνια καὶ διὰ τοῦτο καὶ πενταδακτύλους ἔχει τοὺς προσθίους πόδας, τοὺς δ' ὄπισθεν τετραδακτύλους, οἷον λέοντες καὶ λύκοι, ἔτι δὲ κύνες καὶ παρδάλεις· ὁ γὰρ πέμπτος ὥσπερ ὁ τῆς χειρὸς γίνεται μέγας πέμπτος. cf. Ael. nat. anim. IV 49 (p. 103,17 Herch.) 14 πορεύεται] Arist. hist. anim. A 5 p. 490 b 3 πάντα δὲ κινεῖται ὁμοίως, τὰ τετράποδα καὶ πολύποδα· κατὰ διάμετρον γὰρ κινεῖται ἔχει δὲ μαστοὺς] Arist. l. c. B 1 p. 500 a 28 ἡ δὲ πάρδαλις τέτταρας ἐν τῇ γαστρί 18 ἔστι] Arist. l. c. I 1 p. 608 a 33 ἀθυμότερα δὲ τὰ θήλεα πάντα τῶν ἀρρένων πλὴν ἄρκτου καὶ παρδάλεως· τούτων δ' ἡ θήλεια δοκεῖ εἶναι ἀνδρειοτέρα. cf. Ael. nat. anim. IV 49 (p. 103,18 Herch.) λέγεται] Arist. l. c. I 6 p. 612 a 7 ἡ δὲ πάρδαλις ὅταν φάγῃ τὸ φάρμακον τὸ παρδαλιαγχές, ζητεῖ τὴν τοῦ ἀνθρώπου κόπρον· βοηθεῖ γὰρ αὐτῇ. διαφθείρει δὲ τοῦτο τὸ φάρμακον καὶ λέοντας. διὸ καὶ οἱ κυνηγοὶ κρεμαννύουσιν ἐν ἀγγείῳ ἔκ τινος δένδρου τὴν κόπρον, ὅπως μὴ ἀποχωρῇ μακρὰν τὸ θηρίον· αὐτοῦ γὰρ προσαλλομένη ἡ πάρδαλις καὶ ἐλπίζουσα λήψεσθαι τελευτᾷ. cf. Ael. nat. anim. IV 49 (p. 103,19 Herch.). Timoth. p. 11,19

---

2 φροντίδων delevi 4 ἐντύχῃ D cf. p. 51,4 5 φρύνου scripsi e Timotheo: φρένου D 9 κατείργασται scripsi: κατειργάσθαι D 15 δύο D: τέτταρας Arist. 19 καταφάγῃ scripsi: καταφύγῃ D παρδαλιαγχὲς Arist.: παρδαλοαγχὲς D: παρδαλίαγχον Tim.: παρδαλιάγχου in gen. Ael.

λεγόμενον βοτάνιον, ἀνθρωπείαν κόπρον φαγοῦσα ὑγιάζεται· ὅθεν οἱ θηρεύοντες αὐτὰς τὴν κόπρον κατὰ τῆς ἐνέδρας τιθέασι.

(250ᵃ) Γίνονται δ' ἐν τῇ Ἀσίᾳ παρδάλεις, ἐν δὲ τῇ Εὐρώπῃ οὐδ' ὅλως γίνονται.

(251) Ἴδιον δ' ἔχει ἡ πάρδαλις τὸ κινεῖν τὸ ἄκρον τῆς οὐρᾶς αὐτῆς ἀκινητούσης.

(252) Ὅτι διὰ τὸ ἀποδιδράσκειν τοὺς πιθήκους ἐπὶ ⟨τὰ⟩ δένδρα, ἡ πάρδαλις τοῦ πιθήκου δολερωτέρα οὖσα τοιαῦτα παλαμᾶται. ἑαυτὴν ὑπέρριψε δένδρῳ, | καὶ κεῖται ὑπτία, καὶ τὴν γαστέρα διώγκωσε, παρῆκε δὲ τὰ f. 359ᵛ σκέλη καὶ τὼ ὀφθαλμὼ κατέμυσε, πιέζει δὲ καὶ συνέχει τὸ ἆσθμα καὶ κεῖται οἷα νεκρά. ἕνα οὖν οἱ πίθηκοι ἀδεέστερον καταπέμπουσιν, ὁ δὲ κάτεισι καὶ μικρὸν ἰδὼν ἀνέστρεψε καὶ πάλιν κατῆλθε, καὶ πλησίον γενόμενος ἀνεχώρησε καὶ ὑπέστρεψεν αὖθις, καὶ τὴν πανουργίαν ἐξήτασε τῆς κειμένης. ἡ δὲ ἀτρεμεῖ μάλα ἐγκρατῶς. ἀθρόοι οὖν γενόμενοι οἱ πίθηκοι περιχορεύουσι καὶ κυβιστῶσι κέρτομόν τι καὶ ὀρχηστικόν. ἡ δὲ ὑπομένει, καὶ καμόντας αὐτοὺς ὑπὸ τῆς χορείας ἀδοκήτως ἀναπηδήσασα τοὺς μὲν τοῖς ὄνυξι διέξηνε, τοὺς δὲ τοῖς ὀδοῦσι διέσπασε, καὶ πανθοινίαν ἀφθονωτάτην ἔχει.

(253) Ἔχθιστον δὲ τῇ παρδάλει ἡ ὕαινα.

(254) Ἄμπελον δὲ ὁμώνυμον τῷ φυτῷ πάρδαλίν τινα οὕτω καλεῖσθαί φασι φύσεως ἰδίας μετειληχυῖαν, καὶ οὐρὰν οὐκ ἔχειν ἀκούω αὐτήν· καὶ εἰ ὀφθῇ γυναικί, εἰς νόσον ἀδόκητον ἐμβάλλει αὐτήν.

(255) Πάρδαλις δὲ Καρικὴ καὶ Λυκιακὴ οὐκ ἔστι θυμική, οὐδὲ ἁλτικὴ σφόδρα, τὸ σῶμα δὲ μακρά, ἀντίτυπος δὲ τῇ φθορᾷ καὶ οὐ ῥᾳδίως τῷ σιδήρῳ εἴκουσα.

(256) Ἔστι δὲ τὸ ζῷον ἡ πάρδαλις τῶν καρχαροδόντων.

(257) Εὐωδίας τινὸς θαυμαστῆς τὴν πάρδαλιν μετειληχέναι φασί, ἡμῖν μὲν ἀπορρήτου, αὐτὴ δὲ οἶδε τὸ πλεονέκτημα τὸ οἰκεῖον, καὶ μέντοι καὶ τὰ ἄλλα ζῷα συνεπίσταται τοῦτο τῇ παρδάλει, καὶ ἁλίσκεται τὸν τρόπον

---

3 γίνονται] Arist. hist. anim. Θ 28 p. 606ᵇ16 παρδάλεις δ' ἐν τῇ Ἀσίᾳ, ἐν δὲ τῇ Εὐρώπῃ οὐ γίγνονται  5 ἴδιον] probabiliter e Timotheo. cf. supra A 143 p. 34,12  7 ὅτι διὰ τὸ ἀποδιδράσκειν] cf. Ael. nat. anim. V 54 (p. 135,21—136,27 Herch.)  19 ἔχθιστον] cf. Ael. nat. anim. VI 22 (p. 148,32—149,1 Herch.)  20 ἄμπελον] Ael. nat. anim. X 39 (p. 261,28—32 Herch.) ἄμπελον ὁμώνυμον τῷ φυτῷ πάρδαλίν τινα οὕτω καλεῖσθαί φασι φύσεως ἰδίας παρὰ τὰς λοιπὰς μετειληχυῖαν καὶ οὐρὰν οὐκ ἔχειν ἀκούω αὐτήν. ἥπερ οὖν εἰ ὀφθῇ [ὀφθείη corr. Schneider] γυναιξίν, ἐς νόσον ἐμβάλλει ἀδόκητον αὐτάς  23 πάρδαλις] Ael. nat. anim. XVII 43 (p. 431,27—30 Herch.) Πάρδαλις Καρικὴ καὶ Λυκιακὴ οὐκ ἔστι μὲν [μὲν delebat Hercher] θυμικὴ οὐδὲ οἵα σφόδρα ἁλτικὴ εἶναι, τὸ σῶμα δὲ μακρά. τιτρωσκομένη δὲ καὶ δόρασι καὶ αἰχμαῖς ἀντίτυπός ἐστι καὶ οὐ ῥᾳδίως τῷ σιδήρῳ εἴκει  26 ἔστι] cf. § 245 p. 90,12  27 εὐωδίας] Ael. nat. anim. V 40 (p. 128,15—25 Herch.)

---

3 οὐδόλως D  7 τὰ addidi ex Ael.  9 τὴν μὲν Ael.  διόγκωσε D  13. 14 τῆς κειμένης scripsi: τοῦ κειμένου D  17 διέξηνε Ael.: διέξανε D  διεσπάσατο Ael.  27 εὐωδία D

τοῦτον. ἐκείνη ἡ πάρδαλις τροφῆς δεομένη ἑαυτὴν ὑποκρύπτει ἢ λόχμῃ πολλῇ ἢ φυλλάδι βαθείᾳ, καὶ ἐντυχεῖν ἐστιν ἀφανής, μόνον δὲ ἀναπνεῖ. οὐκοῦν οἱ νεβροὶ καὶ δορκάδες καὶ αἶγες αἱ ἄγριαι καὶ τὰ τοιαῦτα τῶν ζῴων, ὡς ὑπό τινος ἴυγγος τῆς εὐωδίας ἕλκεται, καὶ πλησίον γίνεται· ἡ δὲ ἐκπηδᾷ καὶ ἔχει τὸ θήραμα.

(258) Τὰ ἄλογα καὶ τῶν συνήθων σφίσι γενομένων ἀπέχεσθαι φιλεῖ καὶ φείδεσθαι πολλάκις. ἀκούω γοῦν τὸν λόγον ἐκεῖνον. πάρδαλιν ἐκ νηπίου θηρατὴς ἀνὴρ ἡμερώσας εἶχεν, οἷα δήπου φίλην ἢ ἐρωμένην ἀγαπῶν καὶ περιέπων ἰσχυρῶς. οὐκοῦν ἔριφον αὐτῇ φέρων ζῶντα ἐδίδου, τροφὴν ἐν ταὐτῷ καὶ ἡδονήν τινα ἐπινοήσας τῷ θηρίῳ ἐν τῷ διασπᾶν τὸν ἔριφον, ἀλλὰ μὴ δοκεῖν ἐσθίειν κενέβριόν τι καὶ θνησείδιον. καὶ δὴ κομισθέντος ἐρίφου, ἡ δ' ἐγκρατῶς ἔσχε, δεομένη ἀπόσιτος εἶναι διὰ πλησμονήν. ἔδρασε δὲ καὶ τῇ δευτέρᾳ τοῦτο· ἐδεῖτο γὰρ ἔτι ὡς φαρμάκου τοῦ λιμοῦ. f. 360r τῆς δὲ τρίτης ἐπιστάσης ἡμέρας ἐπείνη μὲν καὶ συνήθως ἐπεδείκνυτο τοῦτο τῷ φθέγματι, οὐ μὴν τοῦ ἐρίφου γενομένου δύο ἡμερῶν ἑαυτῇ φιλτάτου ἔτι προσήψατο, ἀλλὰ ἐκεῖνον μὲν εἴασεν, ἄλλους δὲ ἔλαβεν. ἄνθρωποι δὲ καὶ ἀδελφοὺς προὔδοσαν καὶ τοὺς γειναμένους καὶ φίλους ἀρχαίους, καὶ πολλοὶ πολλάκις.

(259) Θήρα δὲ παρδάλεων Μαυρουσία εἴη ἄν. καὶ ἔστιν αὐτοῖς οἰκοδομία λίθων περιπεποιημένη καὶ ἔοικε ζωαγρίᾳ τινί· καὶ ἔστιν ὁ λόγος ὅδε ὁ πρῶτος· ὅ γε μὴν δεύτερος, ἐνδοτέρω σαπροῦ κρέως καὶ ὀδωδότος μοῖραν μηρίνθου τινὸς μακροτέρας ἐξαρτῶσι· θύραν δὲ ἐκ ῥιπίδων καί τινων καλάμων ἀραιὰν ἐπέστησαν, καὶ μέντοι καὶ δι' αὐτῶν ἐκπνεῖται ἡ τοῦ κρέως τοῦ προειρημένου ὀσμὴ διαρρέουσα. αἴσθονται δὲ οἱ θῆρες· καὶ γὰρ ἐπὶ τοῖς κακόσμοις φιληδοῦσι· προσβάλλει γὰρ αὐταῖς ὁ τῶν προειρημένων ἀήρ, ἐάν τε ἐν ἀγρίοις τοῖς ὄρεσιν ἐάν τε ἐν φάραγγι, καὶ μέντοι καὶ ἐν αὐλῶνι. εἶτα ἀνεφλέχθη καὶ ἣ τῇ ὀσμῇ ἐντυχοῦσα, καὶ ὑπὸ τῆς ἄγαν ὁρμῆς ἐς τὴν θοίναν τὴν φίλην ᾄττει φερομένη· ἕλκεται δὲ ὑπ' αὐτῆς ὡς ὑπό τινος

---

6 τὰ ἄλογα] Ael. nat. anim. VI 2 (p. 139, 11—28 Herch.) 19 θήρα] Ael. l. c. XIII 10 (p. 323, 21—324, 8 Herch.)

---

1 ἐκείνη ἡ πάρδαλις D libri Ael.: delendum est ἡ πάρδαλις. aliter Hercher συνεπίσταται τοῦτο ἐκείνῃ, καὶ ἁλίσκεταί οἱ τὸν τρόπον τοῦτον 2 φυλάδι D 3 δορκάδες D Ael.: αἱ δορκάδες Hercher και (ante αἶγες) D: καὶ αἱ Ael.: καὶ οἱ Hercher οἱ ἄγριοι Hercher 4 γίνεται πλησίον Ael. 6 καὶ D Ael.: deleri voluit Hercher 10 ἐν ταὐτῷ scripsi ex Ael.: ἐν αὐτῷ D 11 κενέβριόν τι scripsi: καὶ νέβριόν τι D: κενέβριόν τε Ael.: κενέβρειόν τε Hercher 12 τοῦ ἐρίφου Hercher ἡ δ' D: ἥδ' Ael.: ἣ δὲ Hercher 13 δὲ καὶ τῇ δευτέρᾳ iteravit D 15 φιλτάτου D: φίλου Ael. 16 ἐκεῖνον Ael.: ἐκεῖνο D ἄλλους D: ἄλλον Ael. 20 περιπεποιημένη D: πεποιημένη Ael. ζωαγρίᾳ D Ael.: ζωγρείῳ Schneider ἔστι μὲν ὁ Ael. 21 ἐνδοτέρω Ael.: ἐν δευτέρῳ D 22 μοίραν μυρίνθου D θόραν D ἐκ ῥιπίδων Ael.: ἐκ κρηπίδων D 24 αἰσθάνονται Schneider γὰρ ἐπὶ D: γάρ πως Ael. 25 αὐτὰς Hercher ὁ ⟨ἐκ⟩ τῶν malit Hercher 26 ἀγρίοις D Ael.: ἄκροις Reiske 27 καὶ ἣ scripsi: καὶ ἡ D: om. Ael. 28 θοίναν D cf. Moeris p. 198, 28 Bekk.: θοίνην Ael.

ἴυγγος. εἶτα ἐμπίπτει τῇ θύρᾳ καὶ ἀνατρέπει αὐτὴν καὶ ἔχεται τοῦ δυστυχοῦς δείπνου. τῇ γάρ τοι μηρίνθῳ τῇ προειρημένῃ συνυφάνθη ἡ πάγη καὶ μάλα σοφή, ἥπερ οὖν ἐσθιομένου τοῦ κρέως κινεῖται, καὶ περιλαμβάνει τὴν λίχνον πάρδαλιν. καὶ ἑάλω γαστρὸς ἀδηφάγου καὶ μυσαρᾶς ἑστιάσεως δίκας ἐκτιννύουσα ἡ δυστυχής.

(260) Ἡ δὲ πάρδαλις, διττὸν τὸ γένος αὐτῇ· αἱ μὲν γὰρ μικραί, αἱ δὲ πεφύκασιν οὖσαι μεγάλαι. καὶ ἔστι ταῖς μὲν μικραῖς ἡ οὐρὰ μηκίστη, ταῖς δὲ μεγάλαις μικρά. (261) ἀμφοτέραις δὲ ὑπὸ τῷ τέλει τῆς οὐρᾶς κέντρον ἀνίσχει κατὰ τὸν λέοντα, καὶ ἡ γλῶσσα ταύταις ὁμοίως ἐκείνῳ τραχεῖα. (262) γλαυκαὶ δὲ αὐταῖς αἱ τῶν ὀφθαλμῶν κόραι, καὶ μεμύκασι πρὸς τὸ φῶς, πρός τε ⟨τὸ σεληναῖον⟩ καὶ τὸ ἐξ ἡλίου. (263) μισοῦσι δὲ καὶ αὐλῶν ᾠδὰς καὶ ὀμμάτων ἀνθρωπίνων αὐγάς. οἷς γε δὴ καὶ ἐφορμᾷ πάρδαλις.

(264) Πρηνεῖ δὲ | κειμένῳ περιτυχοῦσα παρέλθοι ἂν εἰς οὐδὲν f. 360v βλάψασα. (265) ἔξωροι δὲ οὖσαι ἤδη καὶ τὸ θηρεύειν οὐκ ἔχουσαι, κατὰ κράτος τρέπονται πρὸς τὸν δόλον. καὶ λοχῶσαι τὰς αἰγάγρους μηχανῇ χρῶνται τοιᾷδε. ἐν τριόδῳ γινόμεναι τῇ μιᾷ μὲν τὰ οὖρα, τῇ δὲ ἑτέρᾳ τὴν σφῶν ἐνέθηκαν κόπρον, τῇ λοιπῇ δὲ ἑαυτὰς ὁδῷ ὑπεκάθισαν. εἶθ' οὕτως ἐκεῖθεν ἐκτρεπόμενα τὰ ζῷα ἐν οἷς οὐδὲν οἴεται σφαλερὸν ἐφορμᾷ καὶ ἐμπίπτει τῇ θήρᾳ.

(266) Λέγει δὲ τὰς παρδάλεις, γυναῖκας οὔσας τὸ πρότερον, τροφοὺς εἶναι Διονύσου. ὁπότε δὲ ὁ Πενθεὺς εἰς αὐτὸν ἐξυβρίσειεν, εὔξασθαι ταύτας εἰς θῆρας μεταβαλούσας ἀμύνασθαι τὸν ἐξυβρικότα καί, νῦν ὅπερ εἰσί, παρδάλεις γεγονέναι καὶ διασπαράξαι τὸν Πενθέα. (267) ταύτῃ τοι καὶ φιλοῦσι τὸν οἶνον αἱ παρδάλεις. αἴτιος ⟨δ'⟩ αὐταῖς οὗτος γίνεται τοῦ ἁλῶναι· καὶ γὰρ οἱ θηρῶντες κατὰ γῆν ἐρήμην ὕδατος, οἴνου παραπλήσαντες ἀμφορέας ἀπέλιπον· αἱ δ' ἐν τῷ τόπῳ γενόμεναι, τῆς δίψης αὐτὰς αἱρούσης, ἐκθύμως

---

6 ἡ δὲ πάρδαλις] Timoth. p. 11, 6 Haupt. κεφ. ια' περὶ παρδάλεως. ὅτι δύο γένη ἐστὶ παρδάλεων, τῶν μὲν μεγάλων καὶ μικρὰν . . . οὐρὰν ἐχουσῶν. cf. Opp. Cyneg. III 63 sqq. 8 ἀμφοτέραις] Timoth. p. 11, 8 ὅτι ἐν τῇ οὐρᾷ ἔχει ἡ πάρδαλις κέντρον ὡς ἐπὶ τοῦ λέοντος καὶ τὴν γλῶσσαν σαρκοφάγον 10 γλαυκαὶ] probabiliter e Timotheo. cf. Opp. Cyneg. III 70 11. 12 μισοῦσι] probabiliter e Timotheo 14 πρηνεῖ] probabiliter e Timotheo 15 ἔξωροι] Timoth. p. 11, 17 ὅτι τέχνῃ ἀγρεύουσι τοὺς αἰγάγρους, τὰς τριόδους κόπρῳ καὶ οὔρῳ φράττουσαι 21 λέγει] Timoth. p. 11, 10 ὅτι αἱ παρδάλεις τροφοὶ ἦσαν τοῦ Διονύσου, καὶ ὅτι ὁ Πενθεὺς τὸν Διόνυσον ἠτίμασε, καὶ ηὔξαντο θηρία γενέσθαι καὶ διασπαράξαι τὸν Πενθέα, καὶ τοῦτο ἐγένοντο καὶ τὸν ἄνδρα διέφθειραν. cf. Opp. Cyneg. IV 301 sqq. 24 ταύτῃ] Timoth. p. 11, 14 ὅτι φιλοῦσι τὸν οἶνον αἱ παρδάλεις, κἀντεῦθεν ἀγρεύονται ὑπὸ τῶν θηρευτῶν τῷ προσφερομένῳ πολλῷ οἴνῳ μεθυσκόμεναι καὶ ἀποκοιμώμεναι

---

1 θύρᾳ Ael.: θήρᾳ D 2 μιρίνθῳ D 2. 3 ἡ πάγη D Ael.: πάγη articulo omisso Hercher 4 μισαρᾶς D 5 ἐκτίνουσα Ael. 6 Ἡ scripsi: Ὁ culpa rubricatoris D 10 αἱ τῶν scripsi: αὐτῶν D 11 τὸ σεληναῖον addidi 12 δῆ D 14 παρέλ.οι (θ littera blattis corrosa) D 17 τριόδῳ scripsi: τῇ ὁδῷ D fortasse γενόμεναι 22 αὐτὸν scripsi: αὐτὴν D malim ἐξύβρισεν 24 διασπαράξαι scripsi: διεσπάραξαν D 25 δ' addidi 27 δ' ἐν τῷ scripsi: δέ, τῷ D αὐτὰς αἱρούσης scripsi: αὐτοὺς αἱρούσης D

ἀποχρῶνται τῷ οἴνῳ. εἶτα πρῶτον ἡδύ τι καὶ ἁπαλὸν σκιρτῶσι, ὡς δὲ ἥττους ἤδη τῆς μέθης γεγόνασιν, ἀνῆκαν ἑαυτὰς τῇ γῇ· βαθεῖ τῷ ὕπνῳ ⟨δὲ⟩ δεδαμασμένας οἱ θηραταὶ καταλαβόντες ὅπως ἂν καὶ γνώμης ἔχωσι ταύταις χρῶνται.

(268) Δέδοικε δὲ πάρδαλις κρανίαν τὸ φυτόν, καθάπερ δὴ καὶ πρῖνον ὁ λέων, καὶ ἀπόσχοιτο ἂν ἀνδρὸς αὕτη ῥόπαλον ἐκ τοῦδε φέροντος τοῦ φυτοῦ.

(269) Εἰσί γε μὴν κατὰ τὴν Ἰνδίαν παρδάλεις ξανθαί τε καὶ κυαναῖ καὶ μέλαιναι καὶ λευκαί, πάσας δὲ γραμμαί τινες εὔκυκλοί τε καὶ μέλαιναι περιβάλλουσιν.

(270) Ἡ δὲ καμηλοπάρδαλις μίξις τις εἶναι δοκεῖ καὶ αὐτὴ δύο θηρῶν, ἐς ταὐτὸ συνελθόντων, καμήλου τε καὶ παρδάλεως. (271) ἀνὴρ γὰρ Ἰνδὸς διὰ Γάζης, φησί, τῆς ἐμῆς διῆλθε, δύο θῆρας τοιούσδε κομίζων δῶρον τῷ βασιλεῖ· Ἀναστάσιος δὲ οὗτος ἦν· καὶ ἦσαν μέγεθος μὲν κατὰ κάμηλον, τὸ δέρμα δὲ ἀτεχνῶς πάρδαλις· εὐρεῖα χηλή, [πόδες, μέγεθος μὲν κατὰ κάμηλον] πόδες μακροί, ἥσσονες δὲ οἱ ὀπίσθιοι καὶ ὑποκλάζειν ἄρα δοκοῦντες. ἀμέλει γοῦν καὶ ἡ ῥάχις αὐταῖς οὐκ ἴση, οὐδὲ ὁμαλὴ τὴν θέσιν, ἀλλὰ πρὸς τὰ κάτω μᾶλλον κατὰ μικρὸν ὑπορρέουσα. μικρὰ ἡ οὐρά, δορκάσι παραπλησία καί πως κατὰ τὸ ἄκρον μελαινομένη· | μικρὰ καὶ τὰ f. 361r ὦτα. τὰ κέρατα τοῖς τῶν δορκάδων ἀφομοιοῦντα· τὸ στόμα δὲ καὶ τὴν κεφαλὴν εἰκάσαις ἂν αὐτῶν ταῖς ἐλάφοις. συνόδοντες δὲ κατὰ βοῦν, καὶ αἱ κόραι τῶν ὀφθαλμῶν αὐταῖς μέλαιναι. οὐδὲ τοῖς ἄλλοις ζῴοις ὁμοίως εἶχον τὴν βάσιν. ἐκεῖνα μὲν γὰρ ἀμοιβαίως ἑκατέρωθεν πέμπει τὸν πόδα. δεξιῷ τῷ πρόσθεν ὕστερον ἐπάγοντα τὸν ὀπίσθιον· ταῦτα δὲ ὁμοῦ δύο μὲν τοὺς δεξιούς, δύο δὲ τοὺς ἀριστεροὺς ἐξ ἀμφοῖν ἐν ἴσῳ τῷ μέτρῳ πέμπει. στίγμασι δὲ μέλασιν ἐπὶ λευκῇ πυκάζονται τῇ δορᾷ· ταύτῃ τοι καὶ δοκεῖ τὸ ζῷον ἐκ καμήλου τε καὶ παρδάλεως συνεστάναι. (272) τὰ δ᾽ οὕτως

---

5 δέδοικε] probabiliter e Timotheo 5. 6 πρῖνον ὁ λέων] cf. Ael. nat. anim. I 36 (p. 21, 1 Herch.) 7 εἰσί] probabiliter e Timotheo 10 ἡ δὲ καμηλοπάρδαλις] Timoth. p. 15, 5 Haupt. κεφ. κδʹ περὶ καμηλοπαρδάλεως. ὅτι ἡ καμηλοπάρδαλις ζῷόν ἐστιν Ἰνδικόν· γίνεται δὲ ἀπὸ ἐπιμιξίας ζῴων ἑτερογενῶν 11 ἀνὴρ] Timoth. p. 15, 8 ὅτι διὰ Γάζης παρῆλθέ τις ἀνὴρ ἀπὸ τῶν Ἰνδικῶν, Ἀελίσιος δὲ τὸ γένος, ἄγων δύο καμηλοπαρδάλεις καὶ ἐλέφαντα τῷ βασιλεῖ Ἀναστασίῳ. τοῦτο ἐθεάθη καὶ ἐφ᾽ ἡμῶν· τῷ γὰρ βασιλεῖ τῷ Μονομάχῳ καὶ ἄμφω ταυτὶ τὰ ζῷα προσαχθέντα ἐξ Ἰνδίας ὡς θαῦμα ἐπὶ τοῦ τῆς Κωνσταντινουπόλεως θεάτρου ἑκάστοτε τῷ λαῷ ἐπεδείκνυντο. cf. Diod. II 51 26 τὰ δ᾽ οὕτως] Arist. hist. anim. H 6 p. 585b36 καὶ ἐοικότες δὲ τοῖς γεννήσασιν ἢ τοῖς ἄνωθεν γονεῦσιν, ὁτὲ δ᾽ οὐδὲν οὐδενί. ἀποδίδωσι δὲ καὶ διὰ πλειόνων γενῶν, οἷον ἐν Σικελίᾳ ἡ τῷ Αἰθίοπι μοιχευθεῖσα· ἡ μὲν γὰρ θυγάτηρ ἐγένετο οὐκ Αἰθίοψ, τὸ δ᾽ ἐκ ταύτης. καὶ ὡς μὲν ἐπὶ τὸ πολὺ τὰ θήλεα ἔοικε τῇ μητρὶ μᾶλλον, τὰ δ᾽ ἄρρενα τῷ πατρί. cf. Aubert et Wimmer, qui ἐν Ἤλιδι scripsit

---

3 δὲ addidi 5 πρίνον D 7 κυαναί D 8 μέλαιναι scripsi: μέλανες D (cf. ad p. 30, 6) 10 Ἡ scripsi: Ὁ culpa rubricatoris D 12 Ἰνδὸς scripsi: ἰνδῆς D 14 εὐρεῖα χηλή scripsi: εὑρεία χηλῇ D 14. 15 πόδες μέγεθος μὲν κατὰ κάμηλον dittographiam delevi 17 θέσιν suspectum puto 22 ἀμειβαίως D 23 ὕστερον ἐπάγοντα τὸν scripsi: ἄστερον ἐπάγοντα τὸ D 24 μέτρῳ scripsi: μέτρα D

ἐξ ἑτερογενῶν συνελθόντα τῇ μητρὶ μᾶλλον ἐοικέναι τυγχάνει. καὶ ἐν μέντοι τοῖς ἀνθρώποις πολλάκις ἡ τῶν γειναμένων εἰκὼν ἔσχατον ἀνεγνώσθη καθάπερ δὴ καὶ γυναῖκα παθεῖν ἐν Ἤλιδι λόγος ἀνδρὶ μὲν κατὰ νόμον ἡγμένην, Αἰθίοπι δὲ τὴν εὐνὴν κλέπτουσαν. κόρην μὲν γὰρ ἐκείνῳ τίκτει λευκήν, αὕτη δέ, φεῦ, τῇ μητρὶ τὸ μύσος ἀνακαλύπτει, καὶ παῖδα γεννᾷ μέλανα, σαφῶς ὅστις ἦν ὁ πάππος διασαφοῦντα. (273) πλεῖστα δὲ καὶ ἄλλα τῶν ζῴων ἀλλοτρίους ἔρωτας καὶ μίξεις φιλεῖ. αὐτίκα, φησί, παρδάλεσι καὶ κυσίν, ὃ καὶ ξένον ἀκούειν, λέοντας οἶδα συγγινομένους, λύκους δὲ ὑαίναις· βουβαλίδας δὲ ἵπποις τε καὶ βουσὶ τοῖς ἀγρίοις· ἵππων δὲ τίγρητες ἐς ἔρωτα ἦλθον, κυνῶν δὲ ἀλώπεκες, ὅθεν δή φασι καὶ ἀλωπὸν φύεσθαι· οἶδα δὲ καὶ ἄρκτον κυνὶ συνελθοῦσαν, ἐξ ὧν ἕλκει τὸ γένος ἃς καλοῦσιν ἀρκτόκυνας, αἳ καὶ τὰ ἤθη κατὰ τὰς Ἄλπεις ἔχουσι. καὶ κυνὶ δὲ Ἰνδῷ τίγρις καὶ ἵπποι τόνδε τὸν τρόπον ὄνοις συνῆλθον. οὐκ ἀπορεῖ δὲ οὐδὲ θάλαττα ξένων ἐρώτων. ἀλλ' ἤδη καὶ μυραίνης κοίτην ὁ γηγενὴς ἔκλεψεν ὄφις.

(274) Λεόπαρδος μέντοι τὸ ζῷον καὶ αὐτὸ διαφόρους ἔχει τοὺς γειναμένους· τίκτεται γὰρ λέοντός τε καὶ παρδάλεως κοινὸν ἐς ἔρωτα ξυνελθόντων. σώζει δὲ μητρὸς μὲν τὸ χρῶμα καὶ στίγματα καὶ ὁρμήν, πατρὸς δὲ μέγεθος καὶ θυμοειδὲς αὐτὸ καὶ ἄτρεστον. (275) ὁπότε δὲ λέαινα παρδάλει τῆς κοίτης ἐκστῇ, τὰ ἤθη τότε λιποῦσα πόρρω μεταφοιτᾷ καὶ δασεῖαν ὕπεισι λόχμην· οὐδὲ γὰρ ἔχει θαρρούντως ὑποστῆναι τὸν τόκον, εἰς ἔλεγχον ὥσπερ σαφῆ τὸ στικτὸν ἄγουσα τοῦ σκυμνίου. (276) ἀμέλει γοῦν καὶ μετὰ μίξιν | ποταμοῖς ἐκλούει τὸ σῶμα, καὶ ἀμαυροῖ τὴν ἐξ f. 361v ὀσμῆς αἴσθησιν. εἰ γὰρ ὁ σύνευνος ταῦτα γνοίη, αὐτῷ παιδὶ διολέσει καὶ τὴν τεκοῦσαν.

(277) Ῥαγδαῖον ἡ πάρδαλις καὶ ὀξύρροπον. ταῖς ὁρμαῖς ἐπιτήδειον αὐτῇ τὸ σῶμα συνέζευκται, τῇ ὑγρότητι καὶ τῷ κούφῳ τοῖς τῆς ψυχῆς κινήμασι συνεπόμενον.

---

ex Antig. Caryst. c. 122 et Arist. gener. anim. A 18 p. 722a8 ἀποδιδόασι γὰρ διὰ πολλῶν γενεῶν αἱ ὁμοιότητες, οἷον καὶ ἐν Ἤλιδι ἡ τῷ Αἰθίοπι συγγενομένη· οὐ γὰρ ἡ θυγάτηρ ἐγένετο, ἀλλ' ὁ ἐκ ταύτης Αἰθίοψ. ceterum hanc § e Timotheo continuatam esse oratio docet 6 πλεῖστα] probabiliter e Timotheo 13 οὐκ ἀπορεῖ] cf. Ael. nat. anim. I 50 (p. 26,17—26 Herch.). IX 66 (p. 242,8—18 Herch.) 16 λεόπαρδος] Timoth. p. 11,21 κεφ. ιβ' περὶ λεοπάρδου. ὅτι ἐκ συνουσίας λέοντος καὶ παρδάλεως τίκτεται 19 ὁπότε] Timoth. p. 11,23 ὅτι ἡνίκα λέαινα τίκτει ἐκ παρδάλεως, κρύπτει τὸ τεχθὲν καὶ ἑαυτὴν ἵνα μὴ ὁ λέων εὑρὼν διασπαράξῃ 22 ἀμέλει] Timoth. p. 11,25 ὅτι ἐν πολλοῖς λούεται ποταμοῖς ἵνα ἀπορρύψηται τὴν ὀσμήν· ἐὰν γὰρ αἴσθηται ὁ λέων, ἀναιρεῖ καὶ οὐκέτι οὐδὲ ἄλλῃ συγγίνεται 26 ῥαγδαῖον] cf. Arist. physiogn. 5 p. 809b36—810a10

---

1 ἐοικέναι τυγχάνει scripsi: ἔοικε τυγχάνειν D 2 μέντοι D: fortasse μὲν 3 ἥλιδι D 4 ἡγμένην scripsi: ἡγμένη D κλέπτουσαν scripsi: κλέπτουσα D 12 ἔχουσι scripsi: ἔχουσαι D 13 ἵπποι scripsi: ἵπποις D 14 ἐρώτων scripsi: ἐρώντων D 16 εόπαρδος, Λ a rubricatore omisso, D 18 στίγματα scripsi: στίγμα D 27 αὐτῇ scripsi: αὐτὴ D

(278) Ἡ καμηλοπάρδαλις παρ' Ἰνδοῖς ἐστι μάλιστα γινομένη· ἔστι δὲ τὰ μὲν ἄλλα ἔλαφος μεγίστη ⟨εἰς⟩ καμήλου ὕψος ἀφικνουμένη, διαφέρει δὲ τῷ τε ἄκερως εἶναι καὶ τὸν αὐχένα μήκιστον καὶ ὑπὲρ τὴν ἀναλογίαν τοῦ λοιποῦ σώματος ἔχειν εἰς ὕψος ἀνορθούμενον, καὶ τὴν δορὰν ἅπασαν ἀπὸ κεφαλῆς ἄκρας ἕως ποδῶν ἐσχάτων παρδάλει μάλιστα τῇ ποικιλίᾳ παρεμφερεστάτην, καὶ τοὺς ἔμπροσθεν πόδας τῶν ὀπισθίων ὑψηλοτέρους.

(279) Ὁ πάνθηρ παρεμφέρει μὲν τῇ παρδάλει, μικροτράχηλος δέ ἐστι καὶ τὸ πρόσωπον στρογγύλος, καὶ τὸ ἄκρον τῆς οὐρᾶς οὐ κινεῖ· τὰ δὲ περὶ τὴν ὀξείαν καὶ τὴν ἔκτεξιν ὅμοιος τῇ παρδάλει.

(280) Ὅτι τοὺς πάνθηρας ἐν Ἰνδίᾳ θηρεύουσι τίγρεις.

(281) Παντοδαπόν τι γένος ὁ πάνθηρ· δηλοῖ δὲ τὸ εἶδος, δηλοῖ καὶ αὐτὸ τοὔνομα. λέγεται γοῦν ἡ μήτηρ μυρίων ἔρωτας θηρῶν δεχομένη τὸν πολυειδῆ τόνδε θῆρα γεννᾶν. φέρει γὰρ ἐν μὲν ταῖς ὀφρύσιν ὑαίνης τὸ ἐπισκύνιον, οἱ ὀφθαλμοὶ δὲ αὐτῷ λέοντος, τὸ δὲ στόμα παρδάλει ἴσον, αἰγάγρου δὲ δίκην τῇ κεφαλῇ τὰ κέρατα ἀνεστᾶσι, μακρὰ τὰ ὦτα, αὐτόχρημα λαγωοῦ. τοὺς δὲ πόδας τὰ κάτω μὲν μέχρι καὶ τῶν γονάτων ὁμοίους ἔχει τῷ λέοντι καὶ ὄνυξιν ἴσοις καθωπλισμένους. αἱ κνῆμαι δέ, δορκάδων εἴποις ἂν αὐτάς. τῷ δὲ στήθει λέοντι ἂν ἢ παρδάλει αὐτὸν ὁμοιώσαις. τὴν οὐρὰν δὲ λύκῳ φέρει παραπλησίαν. κατάγραφος αὐτῷ πᾶσα ἡ δορὰ καὶ εἰς ζῆλον ἔσχατον τῇ παρδάλει. θέειν δὲ ὀξύτατον ὄν, δειλὸν ὅμως ἄκρως ἐστί, καὶ οὐδὲ μακρόθεν ὑπομείνειεν ὄψιν ἀνθρώπου. δοκεῖ γοῦν τὸ πρὸς τὰς γονὰς ξυμφορητόν τε καὶ πάμμικτον θήλειαν αὐτῷ καὶ ἄνανδρον τὴν ψυχὴν διαθεῖναι.

(282) Καὶ ἄλλος δὲ πάνθηρ ἐστὶν ἐν Ἰνδοῖς μύρου κατάπλεως· ὅς γε ἡνίκα αὐτὸν ὁ λιμὸς αἱρεῖ, τοῦ φωλεοῦ | πρόεισι, καὶ ξυνέρχεται τοῖς f. 362r
θηρίοις· τὰ δὲ τῇ ὀσμῇ κηλούμενα ἡδέως τούτῳ συνομιλεῖ· πρὸς δὲ καὶ ἠρέμα θέλγων ἄγει πρὸς τὴν εὐνήν, καὶ αὐτὰ συλλαμβάνων ἐσθίει.

(283) Ἀριστοφάνους. Ὁ λεγόμενος θὼς ἔστι μὲν τῶν καρχαροδόντων καὶ πολυσχιδῶν, καὶ πορεύεται κατὰ διάμετρον. (284) διοιχθεὶς

1 ἡ καμηλοπάρδαλις] Timoth. p. 15,5 Haupt. κεφ. κδ' περὶ καμηλοπαρδάλεως. ὅτι ἡ καμηλοπάρδαλις ζῷόν ἐστιν Ἰνδικόν· γίνεται δὲ ἀπὸ ἐπιμιξίας ζῴων ἑτερογενῶν 7 ὁ πάνθηρ] e Timotheo (cf. p. 12,5)? 10 ὅτι] e Timotheo? 11 παντοδαπὸν] Timoth. p. 12,5 κεφ. ιδ' περὶ πάνθηρος. ὅτι ὁ πάνθηρ ὡς ἐκ πολλῶν τῶν θηρίων τῆς μητρὸς συλλαβούσης τίκτεται 24 καὶ ἄλλος] Timoth. p. 12,7 ὅτι ὁ Ἰνδικὸς πάνθηρ μύρου ὄζων διὰ τῆς εὐωδίας τὰ θηρία ἐφελκόμενος ἐπὶ τὸν ἴδιον ἄγει φωλεὸν καὶ κατεσθίει 29 πολυσχιδῶν] cf. Arist. gener. anim. B 6 p. 742a8 κατὰ διάμετρον] cf. Arist. hist. anim. Λ 5 p. 490b3

2 εἰς addidi 3 ἄκερος D 4 ἀνορθούμενον scripsi: ἀνορθουμένην D 6 παρεμφερεστάτην scripsi: παρεμφερεστάτη D 7 Ὁ scripsi: Ἡ culpa rubricatoris D μικροτράχηλος scripsi: μακροτράχηλος D 8 στρογγύλος scripsi: στρογγύλον D 11 δὲ scripsi: τι D 14 ἐπισκίνιον D 15 αἰγάγρου scripsi: αἰγάγρῳ D τῇ κεφαλῇ D: malim τῆς κεφαλῆς 17 ἔχει scripsi: ἔχειν D 21 ὑπομείνειεν scripsi (ἂν additum non opus est cf. § 85 p. 57,2): ὑπομείνειν D 22 θήλειαν scripsi: θῆλυν D. etiam illud θῆλυν αὐτὸν cogitari potest

δὲ τὰ ἐντόσθια ὅμοια τῷ λύκῳ ἔχει. ὡσαύτως καὶ τὰ περὶ τὴν ὀχείαν καὶ ἔκτεξιν. (285) ἴδιον δὲ ἔχει τὸ μικροσκελῆ αὐτὸν ὑπάρχοντα ταχύτερον τῶν ἄλλων ζῴων τρέχειν. (286) μάχεται δὲ ὁ θὼς καὶ λέουσι καὶ κυσί. (287) ἔστι δὲ αὐτῶν γένη δύο. καὶ ὁ μὲν αὐτῶν ἐστι μικρός, ὁ δὲ μείζων. ἀνδρειότερος δὲ ὁ μικρός. (288) μεταβάλλουσι δὲ τὰς τρίχας τοῦ μὲν θέρους λεῖοι γινόμενοι, χειμῶνος δὲ δασεῖς. (289) ἔστι δὲ τῶν δυναμένων τιθασεύεσθαι ὑπὸ ἀνθρώπου τὸ ζῷον.

(290) Αἰλιανοῦ. Ὅτι λέγουσι τὸν θῶα τὸ ζῷον ⟨φιλανθρωπότατον εἶναι⟩ καὶ ἀνθρώπῳ ἐντυχόντα ἐκτρέπεσθαι αὐτόν· ὅταν δὲ ὑπὸ θηρίου ἀδικούμενον θεάσηται αὐτόν, ἐπαμύνει αὐτῷ.

(291) Ἐκ τοῦ Τιμοθέου. Καὶ ὁ θὼς τὸ ζῷον τῶν ἐκ διαφόρων ἐστὶ θηρῶν γεννωμένων, παρδάλεώς τε καὶ λύκου κοινὴν Ἀφροδίτην ἀσπασαμένων. ἐκμέμακται δὲ τῷ εἴδει τὰς τῶν γεννητόρων μορφάς· σώζει γὰρ τοῦ πατρὸς μὲν στόμα τε καὶ ὄμματα, καὶ ἔστιν ἐκ τούτων οἷα λύκος ἰδεῖν, μητρὸς δὲ τῷ ποικίλῳ κέχρηται τῆς δορᾶς. φαίνεται γοῦν λύκῳ μὲν ὅμοιος, πλὴν ἀλλ' ἥττων ἢ κατ' ἐκεῖνον κεφαλή τε δήπου καὶ ἡ οὐρά. (292) τουτὶ δὲ τὸ ζῷον ἀνθρώπων μὲν οὐδένα οὐδέποτε βλάψει, ἐλάφων δὲ μᾶλλον καθοπλίζεται καὶ κυνῶν. (293) δοκεῖ δὲ τῷ λέοντι ἐν τάξει θεράποντος εἶναι, καὶ κοινωνεῖ γε αὐτῷ τροφῆς ἐς τοσοῦτον ἐς ὅσον ἄρα τὸ αἷμα τοῦ θηρὸς ἐκπιεῖν. θηρεύων γὰρ ἔλαφον, ἡνίκα ἂν θεάσηται λέοντα, θᾶττον ἀποχρῆται τῷ αἵματι, καὶ θύσας ὥσπερ καὶ σχεδιάσας αὐτῷ τὴν τράπεζαν παραχωρεῖ τῶν σαρκῶν οὔ τι ἄκων· μισθὸς γὰρ ἱκανὸς

---

1 ἐντόσθια] Arist. hist. anim. B 17 p. 507b17 ἔχει δὲ καὶ ὁ θὼς πάντα τὰ ἐντὸς ὅμοια λύκῳ  τὰ περὶ τὴν ὀχείαν] Arist. l. c. Z 35 p. 580a26 καὶ οἱ θῶες δ' ὁμοίως κυΐσκονται τοῖς κυσί, καὶ τίκτουσι τυφλά· τίκτουσι δὲ καὶ δύο καὶ τρία καὶ τέτταρα τὸν ἀριθμόν. cf. Arist. gener. anim. Δ 6 p. 774b15  2 ἴδιον] Arist. hist. anim. Z 35 p. 580a29 ὁμοίως δὲ ταχυτῆτι διαφέρει, καίπερ τῶν σκελῶν ὄντων βραχέων, διὰ τὸ ὑγρὸς εἶναι, καὶ πηδᾷ πόρρω  3 μάχεται] cf. Arist. l. c. I 1 p. 610a13 πολέμιοι δὲ καὶ ὁ λέων καὶ ὁ θὼς ἀλλήλοις. Arist. l. c. I 44 p. 630a10 πολεμοῦσι δὲ τοῖς κυσὶ καὶ τοῖς λέουσι  4 γένη] Arist. l. c. I 44 p. 630a11 ἄριστοι δ' οἱ μικροὶ τῶν θώων· γένη δ' αὐτῶν οἱ μέν φασιν εἶναι δύο, οἱ δὲ τρία. cf. Timoth. p. 11, 28 Haupt.  5 μεταβάλλουσι] Arist. hist. anim. I 44 p. 630a14 καὶ οἱ θῶες μεταβάλλουσι κατὰ τὰς ὥρας, καὶ τό τε χρῶμα ἕτερον τοῦ χειμῶνος καὶ τοῦ θέρους ἴσχουσι, καὶ τοῦ μὲν θέρους λεῖοι γίνονται, τοῦ δὲ χειμῶνος δασεῖς. cf. Timoth. p. 11, 29  6 ἔστι] Arist. hist. anim. I 44 p. 630a9 φιλάνθρωποι δ' εἰσὶ καὶ οἱ θῶες, καὶ οὔτ' ἀδικοῦσι τοὺς ἀνθρώπους οὔτε φοβοῦνται σφόδρα  8 Αἰλιανοῦ] cf. Ael. nat. anim. I 7 (p. 7, 15 Herch.)  17 τουτὶ δὲ τὸ ζῷον] Timoth. p. 11, 31 ὅτι ἄνδρα οὐ βλάπτει ὁ θώς, ἀλλὰ κύνας καὶ ἐλάφους ἐνεδρεύων ἀγρεύει. cf. Arist. hist. anim. I 44 p. 630a9  18 δοκεῖ] Timoth. p. 12, 1 ὅτι τοῦ λέοντος θεράπων εἶναι δοκεῖ· καταλαμβάνων γὰρ τὴν ἔλαφον τὸ αἷμα πίνει καὶ φανέντι τῷ λέοντι ταύτην καταλιμπάνει, ὥσπερ τῆς θήρας τὰ ἀριστεῖα αὐτῷ προσφέρων τῆς ἀρετῆς ἕνεκα καὶ ἵνα αὐτὸν μὴ βλάψῃ

---

7 τιθασεύεσθαι scripsi: τὸ τασσεύεσθαι ex τὸ ψασσεύεσθαι correxit D[1]  8 Ἡλιανοῦ culpa rubricatoris D  θώα D  φιλανθρωπότατον εἶναι addidi ex Ael.  9 ἐκτρέπεσθαι Ael.: ἐντρέπεσθαι D  13 ἐκμέμακται scripsi: ἐκμίμακται D  14 τοῦ πατρὸς scripsi: τῷ πατρὶ D  στόμα τε scripsi: στόματι D  15 ποικίλλῳ D

αὐτῷ σῶον ἀπὸ λέοντος ἐκχωρεῖν. (294) σιτεῖται δὲ ὁ λέων οὐδὲ τοῦτο εἶναι ῥαθυμίας δεῖπνον οἰόμενος, ὅτι τε οἱ θηράσαντες ἀφίστανται φόβῳ | τῆς ἄγρας, καὶ ὅτι δὴ ζῶντι τῷ θηράματι χρῆται, πεφυκὼς ἀεί ποτε f. 362v τὸν νεκρὸν ἀτιμάζειν.

(295) Ἀριστοφάνους. Ὁ αἴλουρός ἐστι μὲν πολυσχιδὴς καὶ καρχαρόδους, καὶ πορεύεται κατὰ διάμετρον. (296) ἔχει δὲ τὰ ἐντόσθια ὅμοια κυνί, σπλῆνα δὲ δυσὶ λοβοῖς ἐλάττονα, τὸν δὲ πνεύμονα καὶ τὸ ἧπαρ τοῖς αὐτοῖς δυσίν. (297) αἱμοποτεῖ δὲ καὶ οὗτος κατὰ φλέβα. (298) ὀχεύει δὲ πᾶσαν ὥραν ὀρθός, τῆς θηλείας ὑποτιθείσης ἑαυτήν. (299) κύουσι δὲ καὶ τίκτουσι καθὼς καὶ οἱ κύνες. ζῇ δὲ ὁ αἴλουρος οὐ πλείω ἐτῶν ἕξ.

(300) Αἰλιανοῦ. Ὅτι τῶν αἰλούρων ὁ μὲν ἄρρην ἐστὶ λαγνίστατος, ὁ δὲ θῆλυς φιλότεκνος, φεύγει δὲ τὴν πρὸς τὸν ἄρρενα ὁμιλίαν. ἀφίησι γὰρ τὸν θορὸν θερμότατόν τε καὶ προσεοικότα πυρί, καὶ καίει τῆς θηλείας τὸ ἄρθρον. (301) ὁ οὖν ἄρρην τὰ κοινὰ τέκνα ἐσθίων εἰς ἑτέρων παίδων πόθον κινήσας αὐτὴν ἀπολαύει πάλιν τοῦ ἔρωτος. μισοῦσι δὲ τὰ δυσώδη· διὸ καὶ τὰ ἑαυτῶν περιττώματα βόθρον ὀρύξαντες καὶ γῆν ἐπιβαλόντες ἀφανίζουσιν.

(302) Ἐκ τοῦ Τιμοθέου. Τὸ μυοκτόνον τουτὶ θηρίον, ὃ λέγεται αἴλουρος, τοῖς ὅλοις μὲν ἔοικε τῇ παρδάλει, ποσί τε καὶ ἅλμασι καὶ τάχει τῆς οὐρᾶς, οἷα στίγματα φερούσης μελαυγῆ. ἐζήλωκε δὲ οὐδὲν ἧττον καὶ τὸ ποικίλον αὐτὸ τῆς δορᾶς, πλὴν ὅσον ὁ μὲν κυαναῖς ῥάβδοις ἐστὶ κατάγραφος, ἡ δὲ πάρδαλις ὥσπερ ἀστέρων κύκλοις ἔστικται μέλασι τὴν χροιάν. λόγος οὖν ἔχει νόθον εἶναί τι γένος αὐτὰς τῶν παρδάλεων. (303) αἱ γοῦν τούτων θήλειαι ἀκατάσχετοί εἰσι καὶ ἐπίφοροι πρὸς τὴν μίξιν, πρότεραί τε τοὺς ἄρρενας εἰς τοῦτο διερεθίζουσι. (304) πλὴν οὗτος μὲν οὐ πάνυ τι δι' ἔχθρας γίνεται τοῖς μυσίν· ἄλλος δέ τίς ἐστιν ἄγριος, ὃς νύχιον μὲν ὑφίσταται πλάνον, ἀνθρώποις δὲ προστυχὼν ἐφαλλόμενος αὐτῶν τοῖς προσώποις ἀμύσσει. (305) ἔχει δὲ τοὺς ὀφθαλμοὺς ὁ θὴρ συμπάσχοντας τῇ σελήνῃ καὶ ὅπως αὕτη διάκειται δηλοῦσιν οὗτοι τῷ βουλομένῳ· ἡβῶσα μὲν γὰρ ἢ φθίνουσα, ὁπότε καὶ ὀξὺ τὸ κέρας ἐκτείνει, τότε δὴ συνδιατεί-

---

1 σιτεῖται] e Timotheo haud dubie continuatum 9 ὀχεύει] Arist. hist. anim. E 2 p. 540a 10 οἱ δ' αἴλουροι (ὀχεύουσιν) οὐκ ὄπισθεν συνιόντες, ἀλλ' ὁ μὲν ὀρθός, ἡ δὲ θήλεια ὑποτίθησιν ἑαυτήν 10 κύουσι] Arist. l. c. Z 35 p. 580a 23 οἱ δ' αἴλουροι καὶ οἱ ἰχνεύμονες τίκτουσιν ὅσαπερ καὶ οἱ κύνες, καὶ τρέφονται τοῖς αὐτοῖς· ζῶσι δὲ περὶ ἔτη ἕξ 12 Αἰλιανοῦ] Ael. nat.-anim. VI 26 (p. 151, 29—32 Herch.) 15 ὁ οὖν ἄρρην] cf. Ael. l. c. VI 27 (p. 152, 1—7 Herch.) 19 τὸ μυοκτόνον] Timoth. p. 22,3 Haupt. κεφ. λϛ'. περὶ αἰλούρου. ὅτι ὁ αἴλουρος ὁ λεγόμενος παρ' ἡμῖν κατὰ συνήθειαν ῥωμαϊστὶ κάττα λέγεται ὡς ἐκ μίξεως πάρδου γένοιτο κατὰ τὴν Λιβύην 24. 25 αἱ γοῦν τούτων θήλειαι] Timoth. p. 22,5 λέγεται δὲ ἡ θήλεια πορνικωτέρα εἶναι καὶ τὸν ἄρρενα σαίνειν ἐν συνουσίᾳ

---

7 σπλῆνα scripsi: σωλῆνα D 12 Ἡλιανοῦ culpa rubricatoris D ὅτι τῶν desunt in Ael. 20 τάχει nisi hiat oratio corruptum 25 ἀκατάσχετοι scripsi: καὶ ἄσχετοι D 30 αὕτη scripsi: αὐτὴ D 31 ἢ scripsi: ἡ D

νεται καὶ τῷ θηρὶ τὸ | ὄμμα ὀξύ τε καὶ πλάγιον καὶ πρὸς ἑκάτερα τὰ f. 363r μέρη ῥέπον, ἡνίκα δὲ πλήρης ἐστὶ καὶ εὔκυκλος ἤδη καὶ συγκεκροτημένη, τότε δὴ κἀκεῖνο κυκλοειδὲς ἐν ἴσῳ πέφυκε τῷ σχήματι βλέπειν. (306) ἀεὶ δὲ διεγρηγόρασι τὰ σκυμνία καὶ οὐδὲν ἂν αὐτῶν θεάσῃ τῷ ὕπνῳ κάτοχον. εἰ γάρ τι δὴ καὶ ὑπνώσειεν, ἀλλ' αὐτῷ πάντες ἐφαλλόμενοι καταξανοῦσι τοὺς ὀφθαλμοὺς οἷα δὴ καὶ χλευάζοντες ὡς ἀνάξιον ὂν τῆς τεκούσης. (307) ἐχθρὸν δὲ αὐτοῖς τὸ μύρον, καθάπερ ἄρα πέφυκε καὶ γυψί· ταῦτα δὲ καὶ περὶ ἰκτίδος οἱ πολλοὶ λέγουσιν, εἰσὶ δὲ οἳ τῷ αἰλούρῳ μόνῳ προσήκειν φασίν.

(308) Ἀριστοφάνους. Ὅτι ὕαινά ἐστι μὲν καὶ αὐτὴ καρχαρόδους καὶ πολυσχιδής, πορεύεται δὲ κατὰ διάμετρον. (309) ἀνατμηθεῖσα δὲ τὰ ἐντὸς ἔχει ὅμοια λύκῳ πλὴν τοῦ ἥπατος, τοῦτο δὲ ὑικόν. (310) ἔχει δὲ καὶ ὑπὸ τὴν κέρκον τὰ αἰδοῖα καὶ ὁ ἄρρην καὶ ἡ θήλεια καὶ περισσότερόν τινα τόπον ἔγκοιλον, πόρον μὴ ἔχοντά φασι. (311) κοιλίαν δὲ ἔχει τὸ μέγεθος ὕαινα κυνός. (312) ἔχει δὲ καὶ χαίτην ὁμοίαν ἵππῳ· ἐπιτίθεται δὲ ἀνθρώπῳ. τοὺς δὲ κύνας ἐμοῦσα θηρεύει μιμουμένη τὸν ἄνθρωπον. λέγεται δὲ καὶ τυμβωρυχεῖν τὸ ζῷον τοῦτο. (313) τὰ δὲ περὶ τὴν κύησιν καὶ ἔκτεξιν κυνὸς πάντα ἔχει.

(314) Τοῦ Αἰλιανοῦ. Ἡ ὕαινα, ὡς Ἀριστοτέλης λέγει, ἐν τῇ ἀριστερᾷ χειρὶ ἔχει δύναμιν ὑπνοποιόν, καὶ ἐνεργάζεται κάρον μόνον προσθιγοῦσα· πάρεισι γοῦν ἐς τὰ αὔλια πολλάκις, καὶ ὅταν ἐντύχῃ τινὶ καθεύδοντι προσελθοῦσα ἡσυχάζει, τήν τε ὑπνοποιόν, ὡς ἂν εἴποις, χεῖρα ὑπέθηκε τῇ ῥινί, ὁ δὲ ἕλκεται καὶ πιέζεται, ἡ δὲ μᾶλλον ἀναισθήτῳ ἔοικε. καὶ ἐκείνη μὲν ὑπορύττει τὴν γῆν ὑπὸ τῇ κεφαλῇ ἐς τοσοῦτον, ἐς ὅσον ἀνέκλασεν

4 ἀεὶ] Timoth. p. 22, 7 Haupt. ὅτι οἱ σκύμνοι φυλάττουσιν ἀλλήλους ἐν τῷ καθεύδειν. ἐὰν δέ τινα ἴδωσιν * * * διασπαράττουσιν αὐτόν. τινὲς δὲ ταῦτα λέγουσι περὶ τῆς ἴκτιδος, ἥτις λέγεται ἐν τῇ ἡμετέρᾳ συνηθείᾳ αἴλουρος 12 ἔχει] Arist. hist. anim. Z 32 p. 579b16 περὶ δὲ τῶν αἰδοίων ὃ λέγεται, ὡς ἔχει ἄρρενος καὶ θηλείας, ψεῦδός ἐστιν. ἀλλ' ἔχει τὸ μὲν τοῦ ἄρρενος ὅμοιον τῷ τῶν λύκων καὶ τῶν κυνῶν, τὸ δὲ δοκοῦν θηλείας εἶναι ὑποκάτω μὲν ἔχει τῆς κέρκου, παραπλήσιον δ' ἐστὶ τῷ σχήματι τῷ τοῦ θήλεος, οὐκ ἔχει μέντοι οὐδένα πόρον· ὑποκάτω δ' ἐστὶν αὐτοῦ ὁ τῆς περιττώσεως πόρος. ἡ δὲ θήλεια ὕαινα ἔχει μὲν καὶ τὸ ὅμοιον τῷ τῆς θηλείας λεγομένῳ αἰδοίῳ, ἔχει δ' ὥσπερ ὁ ἄρρην αὐτὸ ὑποκάτω τῆς κέρκου, πόρον δ' οὐδένα ἔχει· μετὰ δὲ τοῦτο ὁ τῆς περιττώσεώς ἐστι πόρος, ὑποκάτω δὲ τούτου τὸ ἀληθινὸν αἰδοῖον 15 χαίτην] Arist. l. c. Θ 5 p. 594a31 ἣν δὲ καλοῦσιν οἱ μὲν γλάνον οἱ δ' ὕαιναν, ἔστι μὲν τὸ μέγεθος οὐκ ἐλάττων λύκου, χαίτην δ' ἔχει ὥσπερ ἵππος, καὶ ἔτι σκληροτέρας καὶ βαθυτέρας τὰς τρίχας, καὶ καθ' ὅλης τῆς ῥάχεως· ἐπιβουλεύει δὲ καὶ θηρεύει τοὺς ἀνθρώπους, τοὺς δὲ κύνας καὶ ἐμοῦσα θηρεύει ὥσπερ οἱ ἄνθρωποι· καὶ τυμβωρυχεῖ δὲ ἐφιέμενον τῆς σαρκοφαγίας τῆς τοιαύτης 19 τοῦ Αἰλιανοῦ] Ael. nat. anim. VI 14 (p. 144, 4—18 Herch.)

4 οὐδὲν ἂν αὐτῶν scripsi: οὐδένα ἂν αὐτὸν D θεάσῃ sic D 5 τι scripsi: τοι D αὐτῷ scripsi: αὐτὸ D 6 δὴ scripsi: δὲ D 6. 7 τῆς τεκούσης scripsi: τῇ τεκούσῃ D 7 αὐτοῖς scripsi: αὐτῶν D 13 οἰδοῖα D 14 φασί D: fortasse φύσει 22 ἡσυχάζει τήν τε D: ἡσυχάζει καὶ τὴν Ael.: ἡσυχάζει καὶ delevit Hercher 23 ἕλκεται D Ael.: ἄγχεται Hercher (latet θέλγεται Diels cf. infra p. 108, 27) ἡ δὲ μᾶλλον D: καὶ μᾶλλον Ael.: fortasse latet καὶ δὴ: totum locum delevit Hercher 24 ὑπορρύττει D τὴν γῆν τὴν ὑπὸ Ael. ἐς ἐς τοσοῦτον D

ἐς τὸν βόθρον, καὶ τὴν φάρυγγα ὑπτίαν ἀπέφηνε καὶ γυμνήν· ἐνταῦθά τε ἡ ὕαινα ἐνέφυ καὶ ἀπέπνιξε, καὶ ἐς τὸν φωλεὸν ἀπάγει. καὶ τοῖς κυσὶ δὲ ἐπιτίθεται ἡ αὐτὴ τὸν τρόπον ἐκεῖνον. ὅταν ᾖ πλήρης ὁ τῆς σελήνης | κύκλος, κατόπιν λαμβάνει τὴν αὐγὴν καὶ τὴν αὐτῆς σκιὰν ἐπιβάλλει τοῖς f. 363v κυσί, καὶ παραχρῆμα αὐτοὺς κατεσίγασε, καὶ καταγοητεύσασα ὡς αἱ φαρμακίδες εἶτα ἀπάγει σιωπῶντας καὶ κέχρηται ὅ τι καὶ βούλεται τὸ ἐντεῦθεν αὐτοῖς.

(315) Ἐκ τοῦ Τιμοθέου. Ἡ ὕαινα ζῷον τῷ λύκῳ μὲν ἰσομέγεθες, ὀξὺ δὲ τὴν τρίχα ἐστὶ καὶ λάσιον, ἕν τε ὀστοῦν ἀπὸ τῆς κεφαλῆς αὐτῇ μέχρι καὶ ἐς οὐρὰν διήκει· τῷ τοι καὶ ἀνεπίστροφος ὁ αὐχὴν καὶ ὁ δρόμος ἰθυτενὴς τῷ θηρίῳ. (316) τοῦτο δὲ διὰ πόθον ξενικῶν ἐρώτων τῷ λύκῳ μίγνυται, καὶ τὸ τεχθὲν οὔτε λύκῳ τὴν μορφὴν ἔχει ὁμοίαν οὔθ' ὑαίνῃ φέρει παραπλησίαν, ἀλλόκοτον δὲ ὅλως ἐστὶ καὶ δεινῶς ἄγριον· ὅθεν δή τινα λόχμην ἢ καὶ πέτραν ὑποδυόμενον ἀνθρώποις ἐπιτίθεται καὶ ποιμνίοις.˙ ταύτῃ τοι καὶ μονόλυκον αὐτὸν οἱ νομεῖς καλοῦσιν ἀπὸ τοῦ ἤθους. (317) μιαρὸν δὲ οὖσα ζῷον ἡ ὕαινα καὶ * χαῖρον ἑάλω πάσῃ τροφῇ. λόγος ἐστὶ καὶ τῶν τάφων ἀποσυλῶσαν αὐτὴν τὰ νεκρὰ θοινᾶσθαι. (318) ἥδεται μέντοι μάλιστα κυνείων ἐμφορουμένη κρεῶν. ἐπειδὰν οὖν αὐτοὺς ὑλακτοῦντας ἴδῃ, τοὺς κύνας πράως ὕπεισι σαίνουσα καὶ τῇ οὐρᾷ καταψῶσα καὶ ἠρέμα τούτοις τιθασεύουσα τὸν θυμόν· διεγείρουσά τε πρὸς παιδιάν, τοῦτο μὲν ἑαυτὴν ἀνῆκεν ὑπτίαν, τοῦτο δὲ καὶ γαστρὶ αὐτῶν ἐφάλλεται καὶ τοῖς νώτοις, δήγμασί τε οὐδὲν λυποῦσιν ἐφάπτεται κακοήθως. ὁπότε δὲ ἀνεθέντας ἴδοι, τὴν σκηνὴν ἀποδυσαμένη κραταιῶς ἐνέφυ τῷ φάρυγγι καὶ ὅπερ ἦν ἐδηλώθη, οὐ φίλη αὐτοῖς οὖσα καὶ συνήθης, ἀλλ' ἀγρία τὸ ἦθος καὶ δυσμενής. (319) ὑποδήμασι μὲν οὖν ποιηθεῖσι δορᾶς ὑαίνης εἴ ποτε χρήσαιο ἀβλαβὴς ἂν διὰ μέσου κυνῶν διέλθῃς μηδὲ ὑλακῆς αὐτῶν ἐπακούσας. (320) λέγεται δὲ καὶ βλέπειν ὕαιναν ἴσα καὶ φωτὶ κατὰ νύκτα καὶ μεμνῆσθαί πως γοητείαν ὑπὸ τῆς φύσεως. ὅθεν δὴ νυκτὸς

---

8 ἡ ὕαινα] Timoth. p. 5, 3 Haupt. ὅτι τρίχα ἔχει ὀξεῖαν καὶ πυκνήν. ὅτι τὸν τράχηλον οὐ κάμπτει, ἐπειδὴ ἓν ὀστοῦν ἔχει ἀντὶ σφονδύλου 11 τοῦτο] Timoth. p. 5, 6 ὅτι συγγίνεται λύκῳ καὶ τίκτει τὸν καλούμενον μονόλυκον, ὃς οὐκ ἀγελάζεται ἀλλὰ μόνος διάγει, ἅρπαξ ἀνθρώπων καὶ θρεμμάτων 17 λόγος] Timoth. p. 6, 3 ὅτι ἀπὸ τῶν τάφων κλέπτει τὰ σεσηπότα σώματα 18 ἐπειδὰν] Timoth. p. 6, 7 ὅτι τοὺς κύνας κολακεύει καὶ πιέζουσα τῷ στόματι πνίγει 25 ὑποδήμασι] Timoth. p. 6, 17 ὅτι ἐάν τις ἔχῃ ὑπόδημα ἀπὸ δέρματος ὑαίνης καὶ παρέλθῃ διὰ κυνῶν, οὐ φοβεῖται 27 λέγεται] Timoth. p. 6, 4 ὅτι ἐν νυκτὶ βλέπει ὡς ἐν ἡμέρᾳ 28 ὅθεν] Timoth. p. 6, 9 ὅτι ἐν σελήνῃ ἐρχομένη ἐὰν κυνὸς ὄντος ἐπὶ στέγους λάβηται κάτωθεν τῆς αὐτοῦ σκιᾶς, αὐτὸν καταφέρει ἄνωθεν τὸν κύνα. cf. Ael. nat. anim. III 7 (p. 61, 27 Herch.). Geopon. XV 1, 10

---

1 ὑπτίαν Ael.: ὑπτία D τὲ D: δὲ Ael. 2 καὶ τοῖς D Ael.: καὶ delevit Hercher 4 λαμβάνει τὴν αὐγὴν Ael.: λαμβάνῃ τὴν γῆν D αὐτῆς Hercher: αὐτῆς D Ael. libri σκιὰν Ael.: σκϊ καὶ D 9 τὴν τρίχα scripsi: τῇ τρίχα D 10 τοι ex τι correxit D[1] 13 δεινῶς scripsi: δεινῷ D 16 post καὶ lacunam indicavi 17 ἀποσυλλῶσαν D 19 ἴδῃ ex ἤδῃ correxit D[1] 26 διέλθῃς sic D

THE INSTITUTE OF MEDIAEVAL STUDIES
ST. MICHAEL'S
COLLEGE
LIBRARY

σελήνης ὑπολαμπούσης. κύνα πρὸς τῷ τέγει κείμενον ἄνωθεν αὐτὸν καθαιρεῖ τῷ εἰδώλῳ τῆς αὐτοῦ σκιᾶς ἀρρήτως καταφαρμάξασα. | μέλει τοιγαροῦν f. 364r
αὐτῇ καθ' ὅσον ἐστὶ δύναμις λάθρα τῇ σκιᾷ προσβαλεῖν καὶ μηδεμίαν τῷ κυνὶ παρασχεῖν αἴσθησιν. εἰ γὰρ αὐτὸς θεάσαιτο πρῶτος, εἰδὼς ὃ μέλλει πείσεσθαι πέφευγε. καὶ τὴν αὐτὸς αὑτοῦ σκιὰν ἀποκρύπτει. (321) ἀνδρὶ μὲν οὖν ὑπνοῦντι προσβαλοῦσα, παραμετρεῖ ἑαυτήν· καὶ εἰ μὲν εἴη τὸ μῆκος ἔχουσα πλέον, καὶ αὐτὴ δή πως ἐπικρατεστέρα γένοιτο ἄν· εἰ δὲ ὁ ἀνὴρ μεῖζον ἔχει τὸ μέγεθος, αὐτὸς ἂν καὶ διαναστὰς ἄροιτο τὴν νικῶσαν. (322) ἄνδρα δὲ θηρατὴν οὐκ ἂν λάθοι, καθὼς ἔχει περιτρέχειν φύσεως· εἰ μὲν γὰρ ἐπ' ἀριστερὰ διώκοιτο, ῥᾷον ἂν ἁλώσιμος εἴη, ἐπὶ δεξιὰ δέ τις ἐλαύνων μάτην ἂν πονῶν ὀφθείη καὶ ἀκίχητα, τὸ τοῦ λόγου, διώκων. (323) ταύτης ἡ χολὴ μάλιστα συνενέγκοι ἀνδρὶ χειμῶνος ἀνιωμένῳ τοὺς ὀφθαλμούς· τῷ μετοπώρῳ γὰρ ἐπιχριομένη τό τε φῶς καθαρὸν ἂν ἅψαι καὶ τὸ καταρρέον αὐτῶν ὑγρὸν ἀναστεῖλαι. (324) στρύχνον δὲ μισεῖ καὶ δέδοικεν ὕαινα καθάπερ δὴ καὶ ἄλλα τῶν ζῴων τῶν φυτῶν ἕτερα.

(325) Περὶ ὑαινῶν. Ἐν τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι ὃ ἐπειδὰν προΐδῃ τι θηρίον ἢ ἀνθρώπου βάλῃ ἐπὶ τὴν σκιὰν ἀφωνίαν ⟨ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥστε μὴ δύνασθαι κινεῖν⟩ τὸ σῶμα· τοῦτο δὲ ποιεῖ καὶ ἐπὶ τῶν κυνῶν.

(326) Ἀριστοφάνους περὶ ἄρκτων. Ἡ ἄρκτος ἔχει μὲν δακτύλους πέντε, ὀδόντας τοὺς μὲν ἄνω ὀξεῖς καὶ διεστῶτας καθάπερ τὰ καρχαρόδοντα, τοὺς δὲ κάτω συνεχεῖς, γλῶτταν παχεῖαν καὶ πλατεῖαν, μαστοὺς τέσσαρας, δύο πρὸς τῇ κοιλίᾳ καὶ δύο ἐν τοῖς μηροῖς. (327) βαδίζει δὲ κατὰ διάμετρον. (328) διοιχθεῖσα δὲ πνεύμονα μὲν ἔχει ἑξαμερῆ, ἧπαρ ἑπτάλοβον καὶ χολὴν ἐπ' αὐτοῦ, σπλῆνα δὲ ἐκ πολλῶν μερῶν συγκεί-

---

12 ταύτης] Timoth. p. 6. 14 Haupt. ὅτι ἡ χολὴ τῆς ὑαίνης ὠφελεῖ εἰς ὀξυδορκίαν. cf. Galen. t. XIII p. 284 et 942. Plinius hist. nat. XXIX 117  14 στρύχνον] Timoth. p. 6, 15 ὅτι φοβεῖται τοῦ στρύχνου τὸ φυτόν, ὡς λύκος τὴν σκίλλαν. cf. Anatolium in Fabricii Bibl. Gr. t. IV p. 300  16 ἐν τῇ Ἀραβίᾳ] Arist. mirab. ausc. 145 p. 845a24 ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προΐδῃ τι θηρίον ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν. cf. Timoth. p. 6, 9  20. 21 δακτύλους] Arist. hist. anim. B 1 p. 498a33 (ἡ φώκη ἔχει) τοὺς πόδας ὁμοίους χερσίν, ὥσπερ καὶ οἱ τῆς ἄρκτου· πενταδάκτυλοι γάρ εἰσι  21 ὀδόντας] Arist. hist. anim. B 17 p. 507b15 τὰ δ' ἀμφώδοντα μίαν ἔχει κοιλίαν, οἷον ἄνθρωπος, ὗς, κύων, ἄρκτος, λέων, λύκος  22 μαστοὺς] Arist. l. c. B 1 p. 500a22 ἡ δ' ἄρκτος τέτταρας

---

1 τῷ scripsi: τὸ D  2 nonne αὑτοῦ (cf. v. 5)?  5 πείσεσθαι scripsi: πήσεσθαι D αὑτοῦ scripsi: αὐτοῦ D  7 δή scripsi: δέ D  9 λάθοι scripsi: λάβοι D. *venatorem non lateat, quam callida sit se circumvenire* περί, τρέχειν D  10 ἂν ἁλώσιμος scripsi: ἀναλώσιμος D  13 ἂν ἅψαι scripsi (poteras etiam ἂν ἀνάψαι): ἀνάψαι D  14 ἀναστεῖλαι scripsi: ἀνάστειλαι D  16 ἀρραβίᾳ D  17 ἀνθρώπου βάλῃ scripsi: ἄνθρωπον, βάλλει D  ἀφωνίαν Arist.: ἀφθονεῖν D  18 ἐργάζεται — κινεῖν omissa in D ex Arist. explevi

μενον καθάπερ ὁ βόειος νεφρός· αἰδοῖον ὁ ἄρρην μακρὸν ὡς καὶ ὁ ἐλέφας, τοὺς δὲ ὄρχεις ἔσω πρὸς τῇ ὀσφύι καθάπερ οἱ ἀλεκτρυόνες. (329) ὀργᾷ δὲ ἡ ἄρκτος ἄλλοτε ἄλλως· καιρὸς δὲ τῆς κυήσεως αὐτῇ οὐκ ἔστιν ἑστώς. (330) ὀχεύουσι δὲ παρακεκλιμένοι οἱ ἄρρενες πρὸς τὰ ὀπίσθια τῶν θηλειῶν. (331) κύει δὲ πάσας τὰς ἡμέρας τριάκοντα· τίκτει δὲ ἓν ὃ ἔστι τῷ μεγέθει ἔλαττον μὲν γαλῆς, μεῖζον δὲ μυός, ἄναρθρον καὶ τυφλόν. θεραπεύει δὲ τὸ | σκυμνίον καθάπερ καὶ ἡ κύων. (332) ἔστι δὲ καὶ f. 364v ἡ θήλεια ἀνδρειοτέρα τοῦ ἄρρενος. (333) λέγεται δὲ φωλεύειν τὸ ζῷον τοῦτο ἡμέρας τὰς χειμεριωτάτας τριάκοντα, ὡς ἑπτὰ μὲν οὐδ᾽ ὅλως κινεῖσθαι, τὰς δὲ ἄλλας εἰκοσιτρεῖς μόνον στρέφεσθαι. ἐξελθοῦσα δὲ ἐκ τοῦ φωλεοῦ μασᾶται ξύλα καὶ ἄλλα κάρφη ὥσπερ ὀδοντοφυοῦσα. (334) ἔστι δὲ τὸ ζῷον τοῦτο παμφάγον καὶ ἐπιτιθέμενον πᾶσι· χρῆται δὲ τοῖς κρέασι προσήπουσα αὐτά. (335) φεύγουσαι δέ ποτε καὶ λαβόμεναι δένδρων, κάτω τὴν κεφαλὴν ποιήσασαι, τὰ δὲ ὀπίσθια ἄνω, οὕτως ἀναβαίνουσι. (336) ζῇ δὲ ἡ ἄρκτος ἔτη τριάκοντα ἢ μικρῷ πλέον ἢ ἔλαττον.

(337) Αἰλιανοῦ. Αἱ ἄρκτοι τῶν θηρατῶν τοὺς εἰς στόμα πεσόντας καὶ τὸ πνεῦμα εἰς ἑαυτοὺς ὤσαντας ὀσφρησάμεναι ὡς νεκροὺς παραλιμπάνουσι, καὶ δοκεῖ τοῦτο τὸ ζῷον νεκρὸν βδελύττεσθαι.

(338) Ἡ ἄρκτος χειμῶνος μὲν ἀποτίκτει, καὶ φωλεύει τεκοῦσα, καὶ ὑφορωμένη τοὺς κρυμοὺς τὴν ἐπιδημίαν τοῦ ἦρος μένει, οὐδ᾽ ἂν πρὶν ἢ

4 ὀχεύουσι] Arist. hist. anim. E 2 p. 539b33 τῶν δὲ τετραπόδων αἱ ἄρκτοι παρακεκλιμέναι τὸν αὐτὸν τρόπον ὄνπερ τἆλλα ἐπὶ τῶν ποδῶν ποιούμενα τὴν ὀχείαν, πρὸς τὰ πρανῆ τῶν θηλειῶν τὰ ὕπτια τῶν ἀρρένων. cf. Arist. l. c. Z 30 p. 579a18 5 κύει] Arist. l. c. p. 579a20 κύει δ᾽ ἄρκτος τριάκονθ᾽ ἡμέρας. τίκτει δὲ καὶ ἓν καὶ δύο, τὰ δὲ πλεῖστα πέντε. ἐλάχιστον δὲ τίκτει τὸ ἔμβρυον τῷ μεγέθει ὡς κατὰ τὸ σῶμα τὸ ἑαυτῆς· ἔλαττον μὲν γὰρ γαλῆς τίκτει. μεῖζον δὲ μυός, καὶ ψιλὸν καὶ τυφλόν, καὶ σχεδὸν ἀδιάρθρωτα τὰ σκέλη καὶ τὰ πλεῖστα τῶν μορίων 7 θεραπεύει] Arist. l. c. I 6 p. 611b32 αἱ δ᾽ ἄρκτοι, ὅταν φεύγωσι, τὰ σκυμνία προωθοῦσι καὶ ἀναλαβοῦσαι φέρουσιν. cf. Ael. nat. anim. VI 9 (p. 142, 4—14 Herch.) ἔστι] Arist. hist. anim. I 1 p. 608a33 ἀθυμότερα δὲ τὰ θήλεα πάντα τῶν ἀρρένων πλὴν ἄρκτου καὶ παρδάλεως· τούτων δ᾽ ἡ θήλεια δοκεῖ εἶναι ἀνδρειοτέρα 8 λέγεται] Arist. l. c. Θ 17 p. 600a28 ὅτι μὲν οὖν φωλοῦσιν αἱ ἄγριαι ἄρκτοι φανερόν ἐστι, πότερον δὲ διὰ ψῦχος ἢ δι᾽ ἄλλην αἰτίαν ἀμφισβητεῖται ... b3 τὸ δ᾽ ἐλάχιστον φωλεῖ περὶ τετταράκονθ᾽ ἡμέρας· τούτων δὲ δὶς ἑπτὰ λέγουσιν ἐν αἷς οὐδὲν κινεῖται, ἐν δὲ ταῖς πλείοσι ταῖς μετὰ ταῦτα φωλεῖ μὲν κινεῖται δὲ καὶ ἐγείρεται. cf. infra § 338 10 ἐξελθοῦσα] Arist. l. c. I 6 p. 611b34 καὶ ὅταν ἐκ τοῦ φωλεοῦ ἐξέλθωσι, πρῶτον τὸ ἄρον ἐσθίουσιν, ὥσπερ εἴρηται πρότερον, καὶ τὰ ξύλα διαμασῶνται ὥσπερ ὀδοντοφυοῦσαι. cf. § 338 11 ἔστι] Arist. hist. anim. Θ 5 p. 594b5 ἡ δ᾽ ἄρκτος παμφάγον ἐστί ... 9 διὰ γὰρ τὴν ἰσχὺν ἐπιτίθεται οὐ μόνον τοῖς ἐλάφοις, ἀλλὰ καὶ τοῖς ἀγρίοις ὑσίν, ἐὰν δύνηται λαθεῖν ἐπιπεσοῦσα, καὶ τοῖς ταύροις 12 χρῆται] Arist. l. c. p. 594b16 τὰ δὲ κρέα πάντα κατεσθίει προσήπουσα πρῶτον 13 φεύγουσαι] Arist. l. c. I 6 p. 611b33 ὅταν δ᾽ ἐπικαταλαμβάνωνται, ἐπὶ τὰ δένδρα ἀναπηδῶσιν. cf. Ael. nat. anim. VI 9 (p. 142, 4—8 Herch.) 16 αἱ ἄρκτοι] Ael. l. c. V 49 (p. 132, 21—24 Herch.) 19 ἡ ἄρκτος] Ael. l. c. VI 3 (p. 139, 32—140, 23 Herch.)

3 αὐτῇ scripsi: αὐτῆς D 10 στρέφεσθαι scripsi ex Aeliano: τὸἔφεσθαι D 11 μασσᾶται D 16 Οἰλιανοῦ culpa rubricatoris D αἱ Ael.: οἱ D 19 Ἡ scripsi: Ὁ culpa rubricatoris D ἡ ἄρκτος om. Ael. 20 κρυμοὺς Ael.: κρυμοὺς ex κρημνοὺς correxit D¹ προσμένει Ael.

πληρωθῆναι τρεῖς μῆνας ἐξάγοι ποτὲ τὰ βρέφη. ὅταν δὲ αἴσθηται ἑαυτῆς πεπλησμένης, ὑφορωμένη τοῦτο ὡς νόσον, ζητεῖ φωλεόν. ἐντεῦθέν τοι καὶ κέκληται τῇ ἄρκτῳ φωλεία τὸ πάθος. εἶτα εἰσέρχεται οὐ βαδίζουσα, ἀλλ' ὑπτία, ἀφανίζουσα τοῖς θηραταῖς τὰ ἴχνη· ἑαυτὴν γὰρ ἐπισύρει κατὰ νώτου. καὶ παρεισελθοῦσα ἡσυχάζει, καὶ τρόπον τινὰ τὴν ἕξιν ῥινᾷ, καὶ δρᾷ τεσσαράκοντα ἡμέρας αὐτό. καὶ λέγει μὲν Ἀριστοτέλης ὅτι ἄρα δὶς ἑπτὰ ἡμερῶν ἀκίνητος μένει καὶ ἀτρεμεῖ, τῶν δὲ ἄλλων στρέφεται μόνον. ἄσιτος δὲ ἄρα διαμένει τῶν τεσσαράκοντα πασῶν καὶ ἄτροφος, ἀπόχρη δὲ αὐτῇ τὴν δεξιὰν περιλείχεσθαι. ἐκ δὲ τῆς συντήξεως τῆς ἄγαν συνέπτυκται τὸ ἔντερον αὐτῇ καὶ συνῆλθεν. ὅπερ εἰδυῖα, ὅταν προέλθῃ, τοῦ καλουμένου ἄρου τοῦ ἀγρίου ἐσθίει. τὸ δὲ ἄρον φυσῶδες ὂν διίστησιν αὐτῇ τὸ ἔντερον καὶ εὐρύνει αὐτὸ καὶ ἀποφαίνει τροφῆς δεκτικόν. ὅταν δὲ αὖ πάλιν ᾖ πεπληρωμένον, μυρμήκων ἐσθίει καὶ κενοῦται ῥᾷστα. κενώσεις μὲν δὴ φυσικαὶ τῶν ἄρκτων καὶ πληρώσεις εἰς | δέον εἰς τοσοῦτον εἴρηνταί μοι, f. 365r μήτε ἰατρῶν μήτε γραμμάτων ὡς ἄνθρωποι δεόμεναι.

(339) Σοφία δὲ ἄρκτου καὶ ἐκεῖνο· διωκομένη μετὰ τῶν σκυλάκων προωθεῖ αὐτὰ εἰς ὅσον δύναται, ὅταν δὲ ἀπείπῃ τὸ μὲν κατὰ τὸν νῶτον ἐχόμενον τοῖς ὄνυξι, τὸ δὲ κατὰ τοῦ στόματος φέρει, καὶ δένδρου λαβομένη ἀναπηδᾷ. ταύρῳ δὲ λιμώττουσα ἐὰν ἐντύχῃ, ἐξ εὐθείας οὐ μάχεται, προσπαλαίει δέ, καὶ τοῦ τένοντος λαβομένη κλίνει καὶ ἐσθίει· καὶ ὁ μὲν πιέζεται καὶ μέμυκε, καὶ τελευτῶν ἀπεῖπε καὶ κεῖται, καὶ ἐκείνη ἐμπίπλαται.

(340) Ἐκ τοῦ Τιμοθέου. Τῇ ἄρκτῳ δὲ τὸ σκυμνίον ἄμορφόν τε καὶ ἄναρθρον οὐκ ἐκ τῆς νηδύος, ἀλλ' ἐκ τοῦ λαιμοῦ προϊέναι λόγος κατέχει, καὶ τάχα δὴ τῷ σπεύδειν ἤδη περὶ τὴν μίξιν ἐξαμβλοῖ τὸ τικτόμενον καὶ ἀτελὲς ἀφίησι πρὸ τῆς ὥρας. καὶ γὰρ ἄνευ λαγωοῦ καὶ λύκου θὴρ πᾶσα θήλεια παρ' ὅλον δήπου τὸν τῆς κυήσεως χρόνον ἀπαγορεύει τὴν μίξιν. ἤδη δὲ περὶ τὸ ὠδίνειν οὖσα τῇ ἀστρῴᾳ ἄρκτῳ προσανατενίζει καὶ κουφοτέρας ὑφίσταται τὰς ὠδῖνας. (341) ἔστι δὲ ἀδηφάγον ζῷον ἡ ἄρκτος· δένδρων τε γὰρ καρποὺς ἐσθίει, καὶ μύρμηκας καὶ μελίσσας ἐπιλαφύσσει, τῶν καρκίνων τε καταγνῦσα τὸ ὄστρακον διατρώγει τὴν σάρκα.

(342) Ἐκ τοῦ Ἀριστοτέλους Περὶ παραδόξων ἀκουσμάτων. Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκῶν αἳ ὅταν κυνηγῶνται ἀφίασι τοιαύτην πνοήν, ⟨ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ

16 σοφία] cf. Ael. nat. anim. VI 9 (p. 142,4—14 Herch.) 25 καὶ γὰρ] cf. A 100 p. 30,1 32 ἐν Μυσίᾳ] Arist. mirab. ausc. 144 p. 845a17

1 ἐξαγάγοι Ael. 2 ἔνθεν τοι Hercher 3 φωλέα D ἀλλὰ Ael. 4 κατὰ τὰ νῶτα Ael. 5 ἕξιν ῥινᾷ sic D Ael. 5. 6 τετταράκοντα Ael. 6 ἡμέρας D: ἡμερῶν Ael. 9 περιλείχεσθαι D: περιλιχμᾶσθαι Ael. συνέπτυκται Ael.: συνέπυκται D 11 ἄρον Ael.: ἄρα D αὐτῇ Ael.: αὐτὸ D 13 πεπληρωμένη Ael. 14 εἰς τοσοῦτον delevit Hercher εἴρηνταί Ael.: εἴρηταί D 15 γραμμάτων D: συγγραμμάτων Ael.: συγκραμάτων Weigelius ὡς D: ὢ Ael. 16 σοφία D Ael.: σοφὰ Hercher καὶ ἐκεῖνο D: ἦν ἄρα ἐκεῖνα Ael. 28 ὠδῖνας scripsi: ὀδύνας D 32 λευκῶν D: λευκόν Arist. 33 ὥστε—ποιεῖν (104,1) omissa in D ex Arist. addidi

τῶν λοιπῶν θηρίων ἀβρώτους ποιεῖν⟩· ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, φασίν, ἐκ τοῦ στόματος φλέγμα πάμπολυ ἔοικε προσφυσᾶν πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε ἀποπνίγειν καὶ ἀποτυφλοῦν.

(343) Λέγουσι δὲ τὸ τῆς ἄρκτου στέαρ ὅταν διαπεπηγὸς ᾖ ὑπὸ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ, αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα, ἐν οἷς ἂν ᾖ.

(344) Ἐκ τῆς Ἑξαημέρου τοῦ θείου Βασιλείου. Νωθρὰ ἡ φύσις τῆς ἄρκτου, ἰδιότροπον καὶ τὸ ἦθος, ὕπουλον, βαθύ, ἐνδεδυκός, ὅμοιον ἠμφίεσται καὶ τὸ | σῶμα, βαρύ, συμπεπηγός, ἀδιάρθρωτον, πρέπον τῷ f. 365v ὄντι φωλάδι κατεψυγμένῃ. αὕτη πολλάκις, βαθυτάταις κατατρωθεῖσα πληγαῖς, ἑαυτὴν ἰατρεύει πάσαις μηχαναῖς τῷ φλόμῳ τούτῳ ξηρὰν τὴν φύσιν ἔχοντι τὰς ὠτειλὰς παραβύουσα.

(345) Ἀριστοφάνους. Μῦς ἔστι μὲν καρχαρόδους καὶ πολυσχιδής, ἔχει δὲ δύο πόδας καὶ δύο χεῖρας, τὰ δὲ περὶ τὸν φάρυγγα καὶ τὸν στόμαχον καὶ τὰ ἄλλα σπλάγχνα ὅμοιος κυνί, καρδίαν δὲ μείζονα ἢ κατ' αὐτόν, ἧπαρ εὔχρουν ἑπτάλοβον ἄχολον, νεφροὺς μεγάλους καὶ κύστιν μεγάλην καὶ περὶ ταύτην τὸ ἡμερολόγιον· ἔστι δὲ τοῦτο ὅμοιον στέατι· στρογγύλον αἰδοῖον καὶ ὄρχεις ἔξωθεν καθάπερ κάπρου. (346) ἡ δὲ θήλεια τὰς ὑστέρας ἔχει κοτυληδόνας ἐχούσας, καὶ ὅταν κυήσῃ κατὰ τὸν ἀριθμὸν τοῖς τικτομένοις ἐμβρύοις καὶ πρὸς ἕκαστον ἔμβρυον μίαν προσκειμένην. (347) ἀνασχισθεῖσα δέ ποτέ φησιν ἐφάνη ἔχουσα ἔμβρυα ἑκατὸν καί τινα

5 λέγουσι] Arist. mirab. ausc. 67 p. 835a30 8 νωθρὰ] Basil. Magn. Homil. in Hexaem. IX ed. Mign. Patrol. Graec. vol. XXIX p. 192D—193A 14 μῦς] cf. Arist. hist. anim. Γ 1 p. 511a30 καὶ τῶν ἀμφωδόντων οἷον μῦς. Θ 6 p. 595a8 καὶ τῶν μὴ καρχαροδόντων οἷον οἱ μύες πολυσχιδὴς] Arist. gener. anim. Δ 4 p. 771a22 καὶ τὰ πολυσχιδῆ πάντα πολυτόκα σχεδόν, καὶ τὰ μικρὰ τῶν τοιούτων, οἷον τὸ τῶν μυῶν γένος 16 καρδίαν] Arist. part. anim. Γ 4 p. 667a19 μεγάλας δὲ τὰς καρδίας ἔχουσι λαγώς, ἔλαφος μῦς etc. 17 ἄχολον] Arist. l. c. Δ 2 p. 676b29 ἐν δὲ τοῖς γένεσι τοῖς αὐτοῖς τὰ μὲν ἔχειν φαίνεται (χολήν), τὰ δ' οὐκ ἔχειν, οἷον ἐν τῷ τῶν μυῶν 19 ἡ δὲ θήλεια] Arist. hist. anim. Γ 1 p. 511a28 τὰ μὲν γὰρ κερατοφόρα καὶ μὴ ἀμφώδοντα ἔχει κοτυληδόνας ἐν τῇ ὑστέρᾳ, ὅταν ἔχῃ τὸ ἔμβρυον, καὶ τῶν ἀμφωδόντων οἷον δασύπους καὶ μῦς καὶ νυκτερίς. Arist. part. anim. Δ 4 p. 771b30 ἐν ταὐτῷ γὰρ γίνονται τόπῳ τῆς ὑστέρας δύο πολλάκις (κοτυληδόνες), ἐν δὲ τοῖς πολυτόκοις, ὅταν πληρωθῇ τῶν ἐμβρύων, ἐφεξῆς κείμενα φαίνεται 22 ἀνασχισθεῖσα] Arist. hist. anim. Z 37 p. 580b29 τῆς δὲ Περσικῆς ἔν τινι τόπῳ ἀνασχιζομένης τῆς θηλείας τῶν ἐμβρύων τὰ θήλεα κύοντα φαίνεται. φασὶ δέ τινες καὶ ἰσχυρίζονται ὅτι ἂν ἅλα λείχωσιν, ἄνευ ὀχείας γίνεσθαι ἐγκύους. cf. Antigon. mirab. 113. 114

1 ἐγγύσῃ D 2 φασίν D: ἀφιᾶσιν Arist. πάμπολύ τι ὡς ἔοικεν, ὃ προσφυσᾷ Arist. προσφυσσᾶν D 3 ὥστε D: ὥστε καὶ Arist. 5 δὲ D: δὲ καὶ Arist. ὑπὸ D: διὰ Arist. 9 ἐνδεδυκὸς Bas.: ἐκδεδυκὸς D 10. 11 πρέπον τῷ ὄντι φωλάδι κατεψυγμένῃ Bas.: πρεπόντως ὄντι, φυλλάδι κατεψηγμένῃ D 11 αὕτη D: ἄρκτος Bas. 12 φλώμῳ D ξηρὰν τὴν Bas.: ξηραντήν D 14 καρχαρόδους D: scribendum ἀμφόδους vel ἀμφόδους, οὐ καρχαρόδους cf. Arist. l. c. 17 ἦπαρ D 18 ἡμερολόγιον D cf. Hesych. Lex. ἡμερολόγιον· μέρος τι τῶν περὶ τὴν κύστιν 20 κοτυληδόνας scripsi: καὶ τυλιδόνας D

τῶν ἐμβρύων ἔγκυα ὑπάρχοντα. λέγεται δὲ αὐτὰς κύειν μᾶλλον καὶ ὡς ὅτι τάχιστα τὸν ἅλα ἐσθιούσας· ὅθεν καὶ ἁλικύμονες οἱ μύες ὑπὸ τῶν ποιητῶν λέγονται.

(348) Ὅτι μυὸς ἧπαρ σελήνης αὐξανομένης λοβὸν ἑαυτῷ τινα ἐπιτίκτει ὁσημέραι μέχρι διχομήνου· εἶτα μειουμένου τοῦ μηνὸς κατ' ὀλίγον ὑπαφανίζεται ὁ λοβός.

(349) Οἱ μύες δέ, φασίν, ἐὰν εἰς ψυκτῆρας ἐμπέσωσι, τὰς ἀλλήλων οὐρὰς ἐνδακόντες ἐφέλκουσι τὸν δεύτερον ὁ πρῶτος καὶ ὁ δεύτερος τὸν τρίτον.

(350) Ἐκβάλλουσι δὲ τοὺς ἐν ταῖς αὑτῶν διαίταις ἀποθνήσκοντας· μισοῦσι γὰρ τοὺς νεκρούς. καὶ μέντοι χελιδὼν ἐκβάλλει χελιδόνα νεκρὰν καὶ μέλιττα καὶ μύρμηξ, ἐπεὶ καὶ τοῦτο ἴδιον τῶν ἀλόγων, τὰ ὁμογενῆ τεθνεῶτα τῶν ὀφθαλμῶν ἀποφέρειν θᾶττον.

(351) Ἔστι δὲ καὶ ἄλλως πολύγονον τὸ ζῷον καὶ ἐπὶ μιᾷ ὠδῖνι πολλὰ τίκτουσιν· εἰ δὲ καὶ ἁλὸς γεύσονται, πολλῷ πλείονα.

(352) Μύες μέντοι καὶ γαλαῖ τρίζοντες χειμῶνα | ἰσχυρὸν σημαίνουσι. f. 366r

(353) Δειλὸν δὲ ὁ μῦς, καὶ κτύπον φοβεῖται, καὶ τὴν γαλῆν δέδιε· δειλοὶ δέ εἰσι καὶ οἱ ἀρουραῖοι. οἵ γε μὴν θαλάττιοι μικρὸν μὲν τὸ σῶμα ἔχουσι, τόλμαν δὲ ἄμαχον. θαρροῦσι δὲ δύο ὅπλοις, δορᾷ τε εὐτόνῳ καὶ ὀδόντων κράτει· μάχονται δὲ ἰχθύσι καὶ ἁλιεῦσι.

(354) Μύες δὲ δὴ ἀποθνήσκοντες καθ' ἑαυτοὺς καὶ ἐκ μηδεμιᾶς ἐπιβουλῆς ἀπορρεόντων αὐτοῖς τῶν μελῶν κατὰ μικρὸν ἀπέρχονται τοῦ βίου. (355) εἰσὶ δὲ λαγνίστατοι ὅτι μάλιστα.

(356) Κατὰ δὲ τὴν γῆν τὴν Κασπίαν ἐν περιτροπαῖς ὡρῶν τινων γίνεται μυῶν τι πλῆθος, οἳ ἐπινήχονται, ποταμοῦ φερομένου ῥοίζῳ, τὰς οὐρὰς ἀλλήλων ἐνδακόντες, ἔρμα αὐτοῖς τοῦτο ποιοῦντες καὶ σύνδεσμον. ἐς τὰς ἀρούρας δὲ ἀπονηξάμενοι καὶ τὰ λήια ἀποκείρουσι, καὶ διὰ τῶν δένδρων ἀνέρπουσι, καὶ τὰ ὡραῖα δεῖπνον ἴσχουσι, καὶ τοὺς κλάδους δὲ διακόπτουσιν, οὐδὲ ἐκείνους ἀδυνάτως ἔχοντες κατεσθίειν.

(357) Ἀκούω δὲ ἐν τῇ Θηβαΐδι χαλάζης πεσούσης ἐπὶ τῆς γῆς, ὁρᾶσθαι μῦς, ὧν τὸ μὲν πηλός ἐστιν ἔτι, τὸ δὲ σὰρξ ἤδη.

---

4 ὅτι μυὸς] Ael. nat. anim. II 56 (p. 58, 15 Herch.) μυὸς ἧπαρ καὶ μάλα ἐκπληκτικῶς τε καὶ παραδόξως τῆς μὲν σελήνης αὐξανομένης λοβὸν ἑαυτῷ τινα ἐπιτίκτει ὁσημέραι μέχρι διχομήνου· εἶτα αὖ πάλιν ὑπολήγει μειουμένου τοῦ μηνὸς τὸν ἴσον λόγον ὑπαφανίζον [hoc delevit Hercher] ἔστ' ἂν ἐς σῶμα κατολίσθῃ ἀνείδεον 7 οἱ μύες] cf. Ael. l. c. V 22 (p. 120, 14 Herch.) 9 ἐκβάλλουσι] cf. Ael. l. c. V 49 (p. 132, 24 Herch.) 13 ἔστι] cf. Ael. l. c. IX 3 (p. 218, 13 Herch.) 15 μύες] cf. Ael. l. c. VII 8 (p. 175, 22 Herch.) 16 δειλὸν] cf. Ael. l. c. IX 41 (p. 233, 7 Herch.) 20 μύες] Ael. l. c. XII 10 (p. 298, 1—3 Herch.) 22 εἰσὶ] cf. Ael. l. c. XII 10 (p. 298, 12 Herch.) 23 κατὰ δὲ] cf. Amynt. apud Ael. l. c. XVII 17 (p. 419, 21 Herch.) 29 ἀκούω] Ael. l. c. II 56 (p. 58, 19—22 Herch.)

---

2 τάχιστα scripsi: ταχίστη D ὑπὸ scripsi: ἀπὸ D 4 λοβρὸν D 5 μυουμένου D 7 οἱ scripsi: Ἡ culpa rubricatoris D 9 αὑτῶν scripsi: αὐτῶν D 13 ὠδίνῃ D 15 τρύζοντες D 20 μύες δὲ δὴ D: οἱ μύες Ael. 25 ἔρμα αὐτοῖς D 30 μύας Ael.

(358) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Ἐν τῇ Πάρῳ τῇ νήσῳ Ἀριστοτέλης λέγει μῦς εἶναι· καὶ μέντοι καὶ τὴν γῆν σιτεῖσθαι τὴν σιδηρῖτιν. Ἀμύντας δὲ καὶ τοὺς ἐν Τερηδόνι (γῇ δ' ἐστὶν αὕτη τῆς Βαβυλωνίας) τὴν αὐτὴν τροφὴν προσφέρεσθαι λέγει.

(359) Ἔθος τοῦτο Αἰγύπτιον. ὅταν κατὰ τὴν Αἴγυπτον ὕσῃ (ῥανίσι δὲ ὕει λεπταῖς), μύες παραχρῆμα τίκτονται. οὐκοῦν κατὰ τὰς ἀρούρας πλανώμενοι οὗτοι λυμαίνονται τοῖς ληίοις ὑποτέμνοντες τοὺς στάχυς καὶ ὑποκείροντες, ἤδη μέντοι καὶ τοὺς σωροὺς τῶν δραγμάτων κεραΐζοντες λυποῦσι τοὺς Αἰγυπτίους. καὶ διὰ ταῦτα πάγας τε αὐτοῖς ἐλλοχῶντες ἱστᾶσι, καὶ θριγκοῖς ἀναστέλλοντες καὶ τάφροις ἀνείργοντες καὶ καίοντες ἐν ταύταις πῦρ. οἱ τοίνυν μύες οὔτε τὴν ἀρχὴν πρὸς πάγας προσφοιτῶσιν, ἐῶσι δὲ αὐτὰς ἑστάναι ἄλλως· τοῖς δὲ θριγκοῖς τοῖς λελειωμένοις ὑπὸ τῆς χρίσεως ἐπαναβαίνουσιν, ἁλτικώτατοί γε ὄντες, εἶτα μέντοι ὑπερπηδῶσι τὰς τάφρους. ὅταν μέντοι ἀπαγο|ρεύσαντες οἱ Αἰγύπτιοι τὰς μηχανὰς καὶ τὰς ἐπιβουλὰς f. 366v ὡς ἀχρήστους ἀπολίπωσι καὶ ἐκτραπέντες ἐπί τε δέησιν ἔλθωσι καὶ ἱκετείας τὰς πρὸς τοὺς θεούς, ἐνταῦθα δήπου τὴν ἐκ τῶν θεῶν μῆνιν ὀρρωδοῦσιν οἱ μύες, καὶ εἴς τι ὄρος ἀναχωροῦσι τάξιν πλαισίου φυλάττοντες. οἱ μὲν οὖν νεώτεροι πρῶτα, οὐραγοῦσι δὲ οἱ μέγιστοι, καὶ τοὺς ὑπολειπομένους ἐπιστραφέντες εἶτα μέντοι ἕπεσθαί σφισιν ἐκβιάζονται. ἐὰν δὲ οἱ νεώτατοι κάμνοντες ἀποστῶσι, καὶ τὸ ἑπόμενον ἵσταται πᾶν, ὡς ἐν δυνάμει στρατιωτικῇ πέφυκε γίνεσθαι. ὅταν δὲ ὑπάρξηται ἡ ἐκ τῶν πρώτων κίνησις, ἐνταῦθα οἱ λοιποὶ ἕπονται. λέγουσι δὲ καὶ οἱ τὸν Πόντον οἰκοῦντες τὰ αὐτὰ καὶ ἐκεῖσε τοὺς μῦς δρᾶν. πεπίστευται δὲ καὶ ἐξ οἰκίας ἁπάσης, ἥτις μέλλει πεσεῖσθαι, ᾗ ποδῶν ἔχουσι μετοικίζεσθαι πάντας. ἰδιότης δὲ ἄρα μυῶν καὶ ἐκείνη. ἐπειδὰν ἀκούσωσι γαλῆς τρυζούσης ἢ συρίζοντος ἔχεως, ἐκ τῆς μυωπίας τῆς μιᾶς τὰ ἑαυτῶν βρέφη ἄλλῃ καὶ ἄλλῃ μετοικίζουσι.

(360) Μελλούσης δὲ οἰκίας καταφέρεσθαι, αἰσθητικῶς ἔχουσιν οἵ τε ἐν αὐτῇ μύες καὶ μέντοι καὶ γαλαῖ, καὶ φθάνουσαι τὴν κατένεξιν ἐξοικίζον-

---

1 ἐν τῇ Πάρῳ] Ael. nat. anim. V 14 (p. 116,29—32 Herch.). cf. Arist. mirab. ausc. 25 p. 832a22. Antig. hist. mirab. 21 et infra § 369 5 ἔθος] Ael. nat. anim. VI 41 (p. 156,7—157,6 Herch.) 27 μελλούσης] Ael. l. c. XI 19 (p. 281,3—26 Herch.)

---

1 πάρῳ D Ael.: Γυάρῳ Holstenius 2 τὴν σιδηρῖτιν Ael.: καὶ τὴν σιδηρίτιν ex σιδηρίτην correxit D[1] 3 γῆς Holstenius δέ ἐστιν Ael. 4 τροφὴν om. Ael. 5 ἔθος Ael.: Ἦθος culpa rubricatoris D ὕσῃ Ael.: ἔσῃ D 6 δὲ ὕει Ael.: δὲ δεύει D 9 διὰ ταῦτα Ael.: διὰ τὰς D πάγαις τε αὐτοὺς ἐλλοχῶσι (ἱστᾶσι deleto) Hercher 10 θριγκοῖς Ael.: θρίγγους D ἀναστέλλουσι — ἀνείργουσι — κάουσιν Hercher τάφροις Ael.: τάφρους D 11 πάγας Ael.: πάγαις D: τὰς πάγας Hercher 12 τοῖς (ante δὲ) D: καὶ τοῖς Ael.: καίτοι Reiske θρίγγοις D 13 γε D Ael.: τε Reiske τὰς Ael.: τοὺς D 14 ὅταν οὖν Ael. 18 νεώτεροι D: νεώτατοι recte Ael. πρῶτα D codd. Ael.: πρῶτοι edd. ante Jacobsium 20 ἀποστῶσι D: ὑποστῶσι Ael. 22 καὶ οἱ λοιποὶ Ael. 23 ἐκεῖσε D: ἐκεῖθι Ael. cf. Lobeckii Phrynichus p. 44 24 πάντας Ael.: πάντες D 25 τριζούσης Jacobs συρίττοντος Ael. 26 ἄλλῃ καὶ ἄλλῃ D: ἄλλο ἄλλῃ Ael. 27 οἵ τε Ael.: εἴτε D 28 καὶ αἱ γαλαῖ Hercher φθάνουσι τὴν καταφορὰν καὶ ἐξοικίζονται Ael.

ται. τοῦτό τοί φασι καὶ ἐν Ἑλίκῃ γενέσθαι. ἐπειδὴ γὰρ ἠσέβησαν ἐς τοὺς Ἴωνας τοὺς ἀφικομένους οἱ Ἑλικήσιοι, καὶ ἐπὶ βωμῶν ἀπέσφαξαν αὐτούς, ἐνταῦθα δήπου, τὸ Ὁμηρικὸν τοῦτο. τοῖσι θεοὶ τέραα προὔφαινον· πρὸ πέντε γὰρ ἡμερῶν τοῦ ἀφανισθῆναι τὴν Ἑλίκην, ὅσοι μῦς ἐν αὐτῇ ἦσαν καὶ γαλαῖ καὶ ὄφεις καὶ σκολόπενδραι καὶ σφονδύλαι καὶ τὰ λοιπὰ ὅσα ἦν τοιαῦτα, ἀθρόα ὑπεξῄει τῇ ὁδῷ τῇ εἰς Κορίαν ἐκφερούσῃ. οἱ δὲ Ἑλικήσιοι ὁρῶντες ταῦτα πραττόμενα ἐθαύμαζον μέν, οὐκ εἶχον δὲ τὴν αἰτίαν συμβαλεῖν. ἐπεὶ δὲ ἀνεχώρησε τὰ προειρημένα ζῷα, νύκτωρ γίνεται σεισμὸς καὶ συνιζάνει ἡ πόλις, καὶ ἐπικλύσαντος πολλοῦ κύματος ἡ Ἑλίκη ἠφανίσθη, καὶ κατὰ τύχην Λακεδαιμονίων ὑφορμοῦσαι τῇ πόλει δέκα νῆες συναπώλοντο τῇ προειρημένῃ ἐπικλύσει. χρῆται δὲ ἅμα καὶ εἰς τιμωρίαν | τῶν ἀσεβῶν ἀνδρῶν ὑπηρέταις τοῖς ζῴοις ἡ Δίκη. καὶ τοῦδε f. 367r μαρτύριον, Παντίλας ὁ Λακεδαιμόνιος ἀναστείλας διὰ τῆς Σπάρτης ἐλθεῖν τοὺς ἐς Κύθηρα ἀπιόντας τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, εἶτα καθήμενος ἐν τῷ ἐφορείῳ ὑπὸ κυνῶν διεσπάσθη.

(361) Φασὶ δὲ καὶ ἐν Κυρήνῃ μυῶν διάφορα γίνεσθαι γένη οὐ μόνον ταῖς χρόαις, ἀλλὰ καὶ ταῖς μορφαῖς· ἐνίους γὰρ αὐτῶν πλατυπροσώπους εἶναι καθάπερ τὰς γαλᾶς, καὶ αὖ πάλιν ἄλλους ἐχεώδεις, ὀξείας ἀκάνθας ἔχοντας, οὕς περ οὖν καὶ οἱ ἐπιχώριοι καλοῦσιν ἐχενάτας. ἐν Αἰγύπτῳ δὲ ἀκούω δίποδας εἶναι μῦς, καὶ μεγίστους μεγέθει φύεσθαι, τοῖς γε μὴν ἐμπροσθίοις ποσὶν ὡς χερσὶ χρῆσθαι· εἶναι γὰρ αὐτοὺς τῶν ὄπισθεν βραχυτέρους. εἶδον τούτους· Λιβυκοί εἰσι. βαδίζουσιν δὲ ὀρθοὶ ἐπὶ τοῖν δυοῖν ποδοῖν· ὅταν δὲ διώκωνται, πηδῶσι· Θεόφραστος λέγει ταῦτα.

(362) Οἱ δὲ μῦς οἱ τοῖς Κασπίοις ἐπίδημοι ὄντες κακόν, μέγεθος αὐτῶν ὅσον κατά γε τοὺς Αἰγυπτίων ἰχνεύμονας ὁρᾶσθαι· ἄγριοι δὲ καὶ δεινοὶ καὶ καρτεροὶ τοὺς ὀδόντας καὶ διακόψαι καὶ διατραγεῖν οἷοί τέ εἰσι καὶ σίδηρον. τοιοῦτοι δὲ ἄρα καὶ οἱ μῦς οἱ ἐν τῇ Τερηδόνι τῆς Βαβυλωνίας εἰσίν, ὧνπερ οὖν καὶ τὰς δορὰς ἴσασιν οἱ τούτων κάπηλοι καὶ εἰς

---

16 φασὶ] Ael. nat. anim. XV 26 (p. 385, 9—19 Herch.). cf. Arist. mirab. ausc. 28 p. 832a31 23 Θεόφραστος] cf. Theophrasti exc. περὶ τῶν ἀθρόως φαινομένων ζῴων apud Phot. Bibl. p. 528a39 24 οἱ δὲ μῦς] Ael. nat. anim. XVII 17 (p. 420, 11—24 Herch.)

---

1 τοι φασὶ D ἑλίκη constanter ut ἑλικήσιοι v. 2 et 7 D γενέσθαι Ael.: γίνεσθαι D 2 βωμοῦ Ael. 3 τοῖσιν δὲ θεοὶ Ael. τέραα Ael : τεράατα D 6 Κορίαν D Ael. Κερύνειαν restituit Wesseling ἐκφερούσῃ Ael.: ἐμφερούσῃ D 9 συνιζάνει Ael.: συνιστάζει D 10 ὑφορμοῦσαι Ael.: ὑφορμῶσαι D τῇ πόλει del. Hercher 11 ἐπικλήσει D: θαλάσσης ἐπικλύσει πολλῇ Ael.: del. Hercher 12 τοῦδε Ael.: τοῦ.. cetera blattis corrosa D: καὶ τὸ Hercher 13 παντίλας D: παντήκλας Ael.: παντακλῆς Hercher 14 κύθειρα D 18 ἐχεώδεις D Ael.: ἐχινώδεις Gesnerus 18. 19 ὀξείας ἀκάνθας ἔχοντας del. Hercher 19 οὕσπερ Ael.: ὥσπερ D ἐχενάτας D Ael.: ἐχινέας Hercher 20 μεγέθει μεγίστους malebat Hercher 22 εἶδον — εἰσί D Ael.: eiecit Jacobs τούτους Ael.: τούτοις D 24 μύες Ael. σκαπίοις D ἐπίδημοι D Ael.: ἐπίδημον rest. Jacobs 25 γε Ael.: τε D ἰχνεύμονας Ael.: ἰχνεύοντας D 26 δεινοὶ Ael.: δεινὸν D 27 μύες Ael. τεριδόνι D 28 ἴσασιν D Ael.: om. Hercher cum Vat. καὶ (ante εἰς) D Ael.: om. Hercher

Πέρσας ἄγουσι φόρτον. εἰσὶ δὲ ἁπαλαί. καὶ συνερραμμέναι χιτῶνές τε ἅμα γίνονται καὶ ἀλεαίνουσιν αὐτούς. καλοῦνται δὲ ἄρα οὗτοι καναυτᾶνες, ὡς ἐκείνοις φίλον. θαυμάσαι δὲ τῶν μυῶν τῶνδε ἄξιον ἄρα καὶ τοῦτο. ἐὰν ἁλῷ μῦς κύουσα, εἶτα ἐξαιρεθῇ τὸ ἔμβρυον, αὐτῆς δὲ διατμηθείσης ἐκείνης εἶτα μέντοι καὶ αὐτὸ ἀνατμηθῇ, καὶ ἐκεῖνο ἔχει βρέφος.

(363) Ἐκ τοῦ Τιμοθέου περὶ μυῶν καὶ μυγαλῶν. Τῶν Λιβύων ἡ γῆ κοινόν τι γένος μυῶν φέρει καὶ λαγωῶν κοινὴν ἐς ἀφροδίτην συγχωρησάντων, οἷς τὰ ὦτα μὲν καὶ ἅπαν τὸ σῶμα μυῶν αὐτόχρημα μεγάλων ἐστί, λαγῶν δὲ τά τε νῶτα καὶ ὄμματα· φέρουσι δὲ καὶ τὴν τρίχα *. ἴσοι δὲ τὸ μέγεθός εἰσι μυσὶν ἀρουραίοις καὶ ἰδεῖν ὅμοιοι. ἔστι δὲ καὶ μυῶν τι πτηνὸν γένος οἷς οὔτε πτίλα πέφυκεν ὄντα οὔτε πτερά· μόνῃ δὲ τῇ οὐρᾷ καθάπερ δὴ | καὶ πτεροῖς χρώμενοι τέμνουσι τὸν ἀέρα καὶ δένδροις f. 367v ἐπικαθέζονται καὶ ταῦτα οἰκοῦσι. (364) Λίβυς δὲ μῦς πιὼν ὕδατος εὐθὺς ἀπόλλυται· ὅθεν οὐδέποτε ἂν ἐκεῖ θεάσαιο χρώμενον ὕδατι τὸν μῦν, οὐδὲ περὶ αὐτὰς δήπου τὰς τοῦ Σειρίου ἐπιτολάς. (365) καὶ ἄλλο δέ τι μυῶν γένος τῇ τῶν Ἰνδῶν ἐντρέφεται γῇ, ὧν ἡδίστη μὲν πνοὴ τοῦ σώματος ἔξεισι, τὸ χρῆμα δὲ περιμάχητόν ἐστι τοῖς πολίταις· τούτου γὰρ ἕνεκα καὶ νεκρὸν ἂν ἴδοις μῦν ἐσθῆτι † πλομίου φιλοτίμως καθαπτόμενον. αὕτη δὲ οὐκ ἐκ γενετῆς αὐτῷ σύμφυτος [αὐτῷ] ἡ ὀσμή, ἀλλὰ πόα τις αὐτῷ ἐσθιομένη μυρίζει. ὁ μέντοι θηρεύων ἐς δρόμον αὐτὸν διανίστησιν ὥστε δὴ κινουμένου τὸ αἷμα περὶ τὸν ὀμφαλὸν συρρεῦσαι. καὶ τότε γοῦν θηρεύσας καταθύει, καὶ αὐτοῦ τὸ αἷμα καὶ δέρμα θαυμαστὸν οἷον εἰς ὄσφρησίν ἐστι τοῖς χρωμένοις. (366) πλὴν ἀλλὰ τῇ ἡδονῇ τὸ πικρὸν σύμμικτον ἔχει, καὶ οὐδ' ἐνταῦθα βλάβης ἄνευ τὸ ἡδὺ τοῖς ἀνθρώποις. ἀνδρὶ γὰρ ὑπνοῦντι δύο μῦς τοιοίδε ξυμπαραστάντες ὁ μὲν ἐπαφᾶται τῶν δακτύλων, καὶ ἐκμυζᾷ τὸ αἷμα, καὶ αὐτὰς περικείρει τὰς σάρκας, ὁ δὲ ταῖς ῥισὶν ἐγγίζων αὔρας ἐνίησιν ἡδυτάτας, καὶ καταγοητεύει καὶ κατακηλεῖ τὸν ἄνδρα, καὶ τὴν τῶν πόνων αἴσθησιν ἀφαιρεῖται. (367) ἔστι δὲ τὸ μέγεθος μείζων μὲν γαλῆς, ἥττων δὲ λαγωοῦ. (368) ἐν μέντοι τοῖς λύχνοις τοῖς στενόχωρον τὸ στόμα ἔχουσιν ἀποροῦντες πολλάκις οἱ μύες καθιέναι τὴν κεφαλήν, τὴν

6. 7 τῶν Λιβύων] Timoth. p. 22, 19 Haupt. κεφ. λη΄. περὶ μυῶν. ὅτι ἐν Λιβύῃ κοινὸν γένος μυῶν καὶ λαγωῶν 13 Λίβυς] Timoth. p. 22, 21 ὅτι ἐν Λιβύῃ μύες οὐ πίνουσιν. cf. Arist. hist. anim. Θ 28 p. 606 b 27 24 ἀνδρὶ] Timoth. p. 22, 23 ὅτι καθεύδοντας ἀνθρώπους δάκνουσι μύες, καὶ ὃ μὲν δάκνει τὸν δάκτυλον, ὃ δὲ φυσᾷ καὶ ἀναίσθητον παρέχει 29 ἐν μέντοι] Timoth. p. 22, 25 ὅτι εἰς τοὺς λύχνους τὰς οὐρὰς χαλῶντες τὸ ἔλαιον ἀνιμῶσι καὶ λείχουσιν ὅτε τὰς κεφαλὰς οὐ δύνανται ἐμβαλεῖν

2 ἀλεαίνουσιν Ael.: λεαίνουσιν D καναυτάνες D Ael.: κανδυτᾶνες em. G. Dindorf 3 τῶνδε Ael.: τόδε D 4 εἶτα D: κᾆτα Ael. 5 ἀνατμηθῇ D: διανοιχθῇ Ael. 7 κοινόν Timoth.: καινόν D λαγωῶν sic hoc loco (cf. Timothei exc. et infra § 367), λαγῶν v. 9 D 9 post τρίχα excidisse videtur λαγῶν vel αὐτῶν 14 θεάσαιο scripsi: θεάσαι ex θεᾶσαι correxit D[1] 18 πλομίου sic D: πολυμίτῳ conicit Diels καθαπτόμενον sic D cf. [Eur.] Rhes. 202 19 αὐτῷ post σύμφυτος iteratum delevi 22 αὐτοῦ] αὖ τοῦ D 29 ἐν scripsi: ἐκ D

οὐρὰν ἐγχαλῶντες ἀνιμῶσι τὸ ἔλαιον, καὶ οὕτως αὐτὸ τῷ στόματι περιλείχουσιν.

(369) Ἐκ τοῦ Ἀριστοτέλους Περὶ παραδόξων ἀκουσμάτων. Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον ἐσθίειν, καὶ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ αὐτοῖς νησίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων· διὸ καὶ τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.

(370) Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω, διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις. ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, τοὺς δὲ ἐχινώδεις | οὓς καλοῦσιν ἐχῖνας. f. 368r

(371) Ἐν Κολούσοις δὲ τῆς Ἀρκαδίας κρήνην εἶναί τινά φασιν, ἐν ᾗ χερσαῖοι μύες γίνονται. καὶ κολυμβῶσι, καὶ τὴν δίαιταν ἐκείνῃ ποιοῦνται· λέγεται δὲ αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

(372) Εἶναι καὶ μυῶν τι γένος ἐφιπτάμενον ὃ ὅταν δάκῃ ἀποθνήσκειν ποιεῖ.

(373) Ἀριστοφάνους. Ἡ μυγαλῆ ἐστι μὲν καὶ αὐτὴ καρχαρόδους καὶ πολυσχιδής. ὀφθαλμοὺς δὲ ἔχει μικροὺς καὶ ἀμβλεῖς, μαστοὺς ἓξ πρὸς τοῖς σκέλεσιν· ἀνατμηθεῖσα δὲ ὁμοία μυΐ.

(374) Αἰλιανοῦ. Ὅτι τὰ ὑποζύγια τὴν μυγαλῆν οὐ θαρρεῖ.

(375) Ἡ μυγαλῆ (καὶ γὰρ τοῦτο ποίημα ὕλης) εἰς ὅσον μὲν τὴν ἄλλως πρόεισι, πέπλασται ζῆν ἔχει, καὶ ἐσπείσατο αὐτῇ ἡ φύσις, ἐὰν μὴ ἄλλῃ τινὶ τύχῃ καταληφθῇ καὶ ἀπόληται· ἐὰν δὲ εἰς ἁρματοτροχιὰν ἐμπέσῃ, οἱονεὶ πέδῃ κατείληπται καὶ μάλα ἀφανεῖ, καὶ τέθνηκε. δηχθέντι δὲ ὑπὸ μυγαλῆς φάρμακον ἐκεῖνο. ἐκ τῆς τροχῶν διαδρομῆς ἡ ψάμμος ἀρθεῖσα ἐπεπάσθη τῷ δήγματι, καὶ ἔσωσε παραχρῆμα.

(376) Ἀριστοφάνους. Ἡ γαλῆ ἐστι μὲν καὶ αὐτὴ καρχαρόδους, ἔχει δὲ καὶ δακτύλους πέντε. (377) αἱμοποτεῖ δὲ κατὰ φλέβα λύουσα, καθάπερ ὁ λύκος. (378) ἀνατμηθεῖσα δὲ πνεύμονα ἑξάλοβον ἔχει, ἧπαρ ἑπτάλοβον χολὴν ἔχον, νεφροὺς μεγάλους, κύστιν σκληράν, ὄρχεις ἔξω καθάπερ κάπρου. (379) τὸ αἰδοῖον ἔχει ὄστινον ὅμοιον ὄρνιθος ὄνυχι,

4 ἐν Κύπρῳ] Arist. mirab. ausc. 25 p. 832a22 καὶ τοὺς Χάλυβας] Arist. l. c. 26 p. 832a23 7 ἐν Κυρήνῃ] Arist. l. c. 28 p. 832a31 10 ἐν Λουσοῖς] Arist. l. c. 125 p. 842b6. cf. Sotionem in Westermanni Paradoxographis p. 184 13 εἶναι] Arist. l. c. 148 p. 845b6 18 ὅτι τὰ ὑποζύγια] cf. Ael. nat. anim. VI 22 (p. 149,4 Herch.). cf. Arist. hist. anim. Θ 24 p. 604b19 19 ἡ μυγαλῆ] Ael. nat. anim. II 37 (p. 50,24 Herch.) 29 τὸ αἰδοῖον] Arist. hist. anim. B I p. 500b24 καὶ γὰρ ἡ γαλῆ ὀστοῦν ἔχει τὸ αἰδοῖον

4 κύπρῳ D Arist.: Γυάρῳ Marsilius Cagnatus cf. § 358 καὶ D: φασὶ δὲ καὶ Arist. 5 νησίῳ D cod. Arist. Ta: νησιδίῳ Arist. 6 μετάλοις D ἀνασχίζουσιν Arist.: ἀναυχίζουσιν D 7 ἓν Arist.: ἑνὸς D πλείω καὶ Arist. 9 γαλαῖ τοὺς D codd. Arist. Sa Ta: γαλαῖ γίνεσθαι τινὰς Arist. 10 κολούσοις D codd. Arist.: Λουσοῖς Sylburg 11 καὶ τὴν D: τὴν Arist. ἐν ἐκείνῃ Arist. ποιοῦνται D: ποιούμενοι Arist. 12 Λαμψάκῳ Arist.: ψαλάκῳ D 13 καὶ D: δὲ καὶ Arist. ἐφιπτάμενον Arist.: ἀφιπτάμενον D 19 καὶ γὰρ — ὕλης delevit Hercher 19. 20 τὴν ἄλλως Hercher: τὴν ἄλλῳ D: τηνάλλως Ael. 20 πέπλασται sic D Ael.: cum Vat. omisit Hercher ἐὰν D: ἐάν γε Ael. 21 ἄλλῃ Ael.: ἄλλην D 23 τῆς τῶν Ael.

οὐκ ἔχον ἐν ἑαυτῷ κοιλότητα, ἀλλὰ στερεόν· ἡ δὲ θήλεια ὑστέραν δίκρουν καὶ τίκτει τυφλά. (380) τὸ δὲ μυθολογούμενον ὡς διὰ τοῦ στόματος ὀχεύει τῶν εἰκῇ πεπιστευμένων· οὐ γὰρ ὀχεύει, ἀλλὰ τιθασεύει ὡς ἡ περιστερά.

(381) Αἰλιανοῦ. Γαλαῖ τρύζουσαι χειμῶνα ἰσχυρὸν σημαίνουσι. (382) μάλιστα δὲ αὐτὰς δεδοίκασιν οἱ μύες.

(383) Ἴδια δὲ ἄρα τῶν ζῴων καὶ ταῦτα δήπου καταγνῶναι πάρεστι· τοὺς γοῦν ὄρνεις τοὺς ἠθάδας καὶ τοὺς ἐν ποσὶ τρεφομένους τε καὶ ἐξεταζομένους ὁρῶμεν ἵππους τε καὶ ὄνους καὶ βοῦς καὶ καμήλους θαρροῦντας· εἰ δὲ καὶ ἐλέφαντί που πράῳ καὶ ἡμέρῳ | συντρέφοιντο, οἵδε οὐκ ὀρρωδοῦσιν, f. 368v ἀλλὰ καὶ δι᾽ αὐτῶν ἐκείνων ἔρχονται. ἤδη δὲ καὶ ἀλεκτρυόνες καὶ ἐπὶ τὰ νῶτα αὐτῶν ἀναπέτονται· τοσοῦτον αὐτοῖς τοῦ θάρσους περίεστι καὶ τοῦ ἀδεοῦς. πτοίαν δὲ αὐτοῖς ἐντίθησι καὶ δέος ἰσχυρὸν γαλῆ παραδραμοῦσα. καὶ μυκήσεων μὲν καὶ ὀγκήσεων οὐ ποιοῦνται ὤραν, κρίξασαν δὲ ἄρα μόνον πεφρίκασι τὴν προειρημένην. χηνῶν τε καὶ κύκνων καὶ στρουθῶν τῶν μεγάλων ἤ τι ἢ οὐδὲν φροντίζουσιν, ἱέρακα δὲ βραχύτερον ὄντα ὀρρωδοῦσιν.

(384) ⟨Ἡ⟩ χερσαία γαλῆ ὅτι ἦν ἄνθρωπος ἤκουσα· καὶ ὅτι τοῦτο ἐκαλεῖτο, καὶ ὅτι ἦν γόης καὶ φαρμακίς, καὶ ὅτι δεινῶς ἀκόλαστος ἦν καὶ ἀφροδίτην παράνομον ἐνόσει, καὶ ταῦτα εἰς ἀκοὴν τὴν ἐμὴν ἀφίκετο· καὶ ὡς εἰς τοῦτο τὸ ζῷον τὸ κακὸν ἔτρεψεν αὐτὴν Ἑκάτης τῆς θεοῦ μῆνις οὐδὲ τοῦτό με λέληθεν. ἡ μὲν οὖν θεὸς ἵλεως ἔστω· μύθους δ᾽ ἐῶ καὶ μυθολογίαν ἄλλοις. ὅτι δέ ἐστι θηρίον ἐπιβουλότατον, καὶ νεκροῖς ἀνθρώποις

---

1 δίκρουν] cf. Arist. hist. anim. Γ 1 p. 510b8  2 τὸ δὲ μυθολογούμενον] Arist. gener. anim. Γ 6 p. 756b13 εἰσὶ γάρ τινες οἳ λέγουσι κατὰ τὸ στόμα μίγνυσθαι τούς τε κόρακας καὶ τὴν ἶβιν, καὶ τῶν τετραπόδων τίκτειν κατὰ τὸ στόμα τὴν γαλῆν. ταῦτα γὰρ καὶ Ἀναξαγόρας καὶ τῶν ἄλλων τινὲς φυσικῶν λέγουσι, λίαν ἁπλῶς καὶ ἀσκέπτως λέγοντες, περὶ μὲν οὖν τῶν ὀρνίθων ἐκ συλλογισμοῦ διαψευδόμενοι τῷ τὴν μὲν ὀχείαν ὀλιγάκις ὁρᾶσθαι τὴν τῶν κοράκων, τὴν δὲ τοῖς ῥύγχεσι πρὸς ἄλληλα κοινωνίαν πολλάκις, ἣν πάντα ποιεῖται τὰ κορακώδη τῶν ὀρνέων· δῆλον δὲ τοῦτο ἐπὶ τῶν τιθασευομένων κολοιῶν· τὸ δ᾽ αὐτὸ τοῦτο ποιεῖ καὶ τὸ τῶν περιστερῶν γένος· ἀλλὰ διὰ τὸ καὶ ὀχευόμενα φαίνεσθαι, διὰ τοῦτο ταύτης οὐ τετυχήκασι τῆς φήμης ... 31 καὶ ἡ γαλῆ, καθάπερ τἆλλα τετράποδα, τὸν αὐτοῖς τρόπον ἔχει ἐκείνοις τὰς ὑστέρας· ἐξ ὧν εἰς τὸ στόμα πῇ βαδιεῖται τὸ ἔμβρυον; ἀλλὰ διὰ τὸ τίκτειν πάμπαν μικρὰ τὴν γαλῆν, καθάπερ καὶ τἆλλα τὰ σχιζόποδα, περὶ ὧν ὕστερον ἐροῦμεν, τῷ δὲ στόματι πολλάκις μεταφέρειν τοὺς νεοττούς, ταύτην πεποίηκε τὴν δόξαν  5 γαλαῖ] cf. Ael. nat. anim. VII 8 (p. 175, 22 Herch.)  6 μάλιστα] cf. Ael. l. c. VI 41 (p. 157, 4 Herch.)  7 ἴδια] Ael. l. c. V 50 (p. 133, 15—29 Herch.)  18 ἡ χερσαία] Ael. l. c. XV 11 (p. 375, 13—376, 19 Herch.)

---

1 ἐν ἑαυτῷ scripsi: ἐφ᾽ ἑαυτῷ D  5 τρύζουσαι D: ὑποτρίζουσαι Ael.  6 αἱ μῦες D  7 Ἤδια culpa rubricatoris D  ταύτῃ Hercher  8 ὄρνεις D Hercher: ὄρνις Ael.  9 τε om. Ael.  10 οἵδε D: οἱ δὲ Ael.  14 μυκήσεων Ael.: μυκησίων D  οὐ ποιοῦνται ὤραν Ael.: εὐποιοῦνται ὤραν D  15 τὲ καὶ D Ael.: δὲ καὶ Hercher  κύκνων, quod rest. Reiske, D: κυνῶν Ael.  16 τὶ D  βραχύτατον Hercher  18 Ἡ om. culpa rubricatoris D  ἄνθρωπος Ael.: ἀνθρώπου D  22 τοῦτό Ael.: αὐτή D  δὲ ἐῶ Ael.

ἐπιτίθενται γαλαῖ, καὶ μὴ φυλαττόμεναι ἐπιπηδῶσι, καὶ συλῶσι τοὺς ὀφθαλμοὺς καὶ ἐκροφοῦσι, δῆλόν ἐστι. φασὶ δὲ καὶ ὄρχεις γαλῆς γυναικὶ κατ' ἐπιβουλὴν ἢ καὶ ἑκούσῃ περιαφθέντας ἐπισχεῖν τὸ ἔτι μητέρας γίνε⟨σθαι καὶ ἀναστέ⟩λλειν αὐτῶν. σπλάγχνα δὲ γαλῆς σκευασίαν δή τινα ⟨προσλαβ⟩όντα. ἣν ἴστωσαν οἱ σοφοὶ τὰ τοιαῦτα. καὶ εἰς οἶνον ἐμβληθέντα κατ' ἐπιβουλήν, φιλίαν ὡς λόγος διίστησι, καὶ ἡνωμένην τέως εὔνοιαν διακόπτει. καὶ ὑπὲρ μὲν τούτων τοὺς γόητάς τε καὶ φαρμακέας Ἄρει φίλῳ κολάζειν καὶ διακαίειν καταλίπωμεν. εἴη δ' ἂν καὶ ἰχθῦς γαλῆ, μικρὸς δ' οὗτος καὶ οὐδέν τοι κοινὸν πρὸς τοὺς γαλεοὺς καλουμένους ἔχων. οἱ μὲν γάρ εἰσι σελάχιοι καὶ πελάγιοι καὶ μέγεθος προήκοντες εἶτα μέντοι καὶ κυνὶ ἐοίκασιν· ἡ γαλῆ δέ, φαίην ἂν αὐτὴν εἶναι τὸν καλούμενον ἧπατον. ἰχθὺς δέ ἐστιν αὕτη βραχύς, καὶ τὼ ὀφθαλμὼ ἐπιμέμυκε· κόρας δὲ ἔχει κυανοῦ χρόᾳ προσεικασμένας. καὶ τὸ μὲν γένειον ἔχει τοῦ ἡπάτου μεῖζον, ἡττᾶται δὲ αὖ πάλιν τοῦ χρέμητος κατά γε τοῦτο. πετραίαν δὲ οὖσαν τὴν γαλῆν καὶ νεμομένην φυκία ἀκούω πάντων σωμάτων οἷς νεκροῖς τύχῃ | τοὺς f. 369r ὀφθαλμοὺς καὶ ταύτην ὡς τὴν χερσαίαν ἐσθίειν. χρῶνται ⟨δὲ⟩ αὐτῇ ἐς τὰ ὅμοια ἁλιεῖς ὅσοι κατὰ τοὺς Ἠπειρώτας φαρμακεύουσι πονηροὶ καὶ οὗτοι σοφισταὶ τῶν κακῶν. ἐπεὶ δὲ ὠμοβόρον ἐστὶ τὸ τῶν ἰχθύων φῦλον, πᾶν τὸ ταῖς ὑδροθηρίαις γένος συμβιοῦν καὶ τὰς ἀποδύσεις τὰς κατωτάτω μετιὸν μελαίνουσι τὰς ἑαυτῶν βάσεις καὶ τὰ κοῖλα τῶν χειρῶν, ἀφανίζειν πειρώμενοι τὴν ἐξ αὐτῶν αὐγήν. τὰ γάρ τοι τῶν ἀνθρωπίνων μελῶν ὡς ὅτι μάλιστα ἐκλάμποντα ἐν τῷ ὕδατι καὶ ἐφολκὰ τῶν ἰχθύων ταῦτά ἐστιν.

(385) Ἐκ τοῦ Τιμοθέου. Πολέμιον ἡ γαλῆ τῷ ὄφει καὶ φύσει ἀντίπαλον. ὁπότε γοῦν αὐτῷ καὶ ξυνάπτειν βούλεται, πηγάνου ἐσθίει· τούτου γὰρ ἡ ὀσμὴ μυσί τε καὶ ὄφεσι δεινῶς ἐναντία. (386) ἔστι δὲ

---

23 πολέμιον] Timoth. p. 22,29 Haupt. ὅτι ἡ γαλῆ ἡνίκα πολεμεῖ πρὸς ὄφιν, πήγανον ἐσθίει· τοῦτο γὰρ φεύγει ὁ ὄφις. cf. Arist. hist. anim. I 6 p. 612a28 25 ἔστι] e Timotheo haud dubie continuatum

---

1 φυλαττόμεναι D Ael.: φυλαττομένοις em. Hercher 2 ἐκροφοῦσι Ael.: ἐκροφῶσι D 3 ἢ καὶ D: ἢ Ael. ἐπισχεῖν D Ael.: ἐπίσχειν Hercher cum V. τὸ D Ael.: τοῦ Hercher μητέρα Hercher 3. 4 γίνε . . . . . . . λλειν cetera blattis corrosa D 4 αὐτῶν sic D Ael.: μίξεως corr. Hercher (immo κοιτῶν Diels) σκευασίαν Ael.: σκευασίας D 5 προσλαβόντα Ael.: . ρ . . . . . όντα cetera corrosa D τὰ τοιαῦτα D: τὰ κατὰ ταῦτα aut καὶ ταῦτα Ael.: ταῦτα Hercher 6 ἐπιβουλὴν Ael.: ἐβουλλὴν D 7. 8 φίλῳ κολάζειν Ael.: φίλαν καλάζειν D 8 διακαίειν D Ael.: δικαιοῦν Abresch καταλείπωμεν Ael. εἴη Ael.: ἴη, E ut minio scriberetur omisso, D σμικρὸς Ael. 9 τοι D: τι Ael. γελεοὺς D τοὺς καλουμένους γαλεοὺς Ael. 10 σελάχιοι D Ael. vulg.: σελάχη ex Vat. Hercher ante μέγεθος addidit εἰς Schneider καὶ ante κυνὶ cum Vat. omisit Hercher 11 ἐοίκασιν D φαίης Hercher 12 τὼ ὀφθαλμὼ Ael.: τῶν ὀφθαλμῶν D 13 ὑπάτου ex ἡπάτου correxit D[1] 14 γρέμητος D 15 οἷς ἂν Ael. τύχῃ D Ael.: ἐντύχῃ Hercher cum V. 16 χρῶνται, ων blattis haustum D δὲ addidi ex Ael. αὐτῇ Ael.: αὐτῆς D 18 τῶν (ante κακῶν) om. Ael. post ἰχθύων add. τῶνδε Hercher 19 ὑποδύσεις em. Abresch 21 ἀνθρώπων μέλη Hercher 22 ταῦτά ἐστιν D Ael.: τούτων ἐστὶν Hercher

γαλῆς θαυμάσιόν τι γένος παρὰ τὴν Δάφνην, ἧς ἡ μὲν δέρη θριξὶ χρυσοειδέσι κομᾷ, ἐφάλλεται δὲ καθάπερ ὄρνις ἐπὶ τοὺς ἐκεῖ συχνοὺς κυπέρους. μόνη δὲ καθ' αὑτὴν διαιτᾶται· τρέφει γὰρ ἡ Δάφνη οὐδὲν οὔτε τῶν ἰοβόλων οὔτε δὴ τῶν θηρῶν, ἀλλὰ χάρις ὅση καὶ ὥρα περιβάλλει τὸν χῶρον.

(387) Ἀριστοφάνους. Ἡ ἰκτίς ἐστι μὲν ἀγρία γαλῆ. ἔχει δὲ τὸ μέγεθος ἡλίκον Μελιταίῳ κυνιδίῳ, τὴν δὲ δασύτητα καὶ τὴν ὄψιν καὶ τὸ λευκὸν τὸ κάτωθεν τοῦ στήθους, τήν τε κακουργίαν καὶ τὰ ἐντόσθια τῇ κατοικιδίῳ γαλῇ. δύναται δὲ τιθασεύεσθαι. ἐπιτίθεται δὲ ὄρνισι. τὸ δὲ αἰδοῖον ἔχει ὁ ἄρρην ὄστινον, ὃ δοκεῖ εἶναι φάρμακον στραγγουρίας, ἐάν τις αὐτὸ ἐν μέρει ποτοῦ ἐπιξύων διδῷ. λέγεται δέ, ὅταν συμβάλλῃ ὄφει, προεσθίειν τὸ ἄγριον πήγανον ὡς πολέμιον αὐτῷ ὑπάρχον.

(388) Ἐκ τοῦ Τιμοθέου. Πονηρόν τι ζῷον καὶ κακοῦργον ἡ ἰκτίς, ἐπίβουλόν τε ὄρνισι μάλιστα ταῖς κατοικιδίοις. ἕρπει γοῦν ἀνὰ τοὺς τοίχους καὶ αὐταῖς ἐπιτίθεται· ὁπότε δὲ ὀλισθῆσαι συμβαίη, τὸ στόμα μύσασα συνέχει τὸ ἆσθμα καὶ πνεύματος οὖσα πλήρης τῇ γῇ ἐλαφρὰ φέρεται καὶ ἀπαθὴς κακοῦ διαμένει. (389) ἀλλ' ὅμως τῇ καλιᾷ τῶν ὀρνίθων πηγάνου | παρατεθέντος οὐκ ἂν θηράσῃ τὴν εἴσοδον οὐδ' εἰ μάλιστα τῷ f. 369v
λιμῷ τρύχηται.

(390) Ἀριστοφάνους. Ἡ ἀλώπηξ ἐστὶ μὲν καὶ αὐτὴ καρχαρόδους καὶ πολυσχιδής, ἀνατμηθεῖσα δὲ κυνὶ τὰ ἐντόσθια πάντα κέκτηται ὅμοια. (391) ὀχεύει δὲ ἐπιβαίνουσα καθάπερ καὶ ὁ κύων· τίκτει δὲ ὡσεὶ ἄρκτος

---

6 ἡ ἰκτὶς] Arist. hist. anim. I 6 p. 612b10 ἡ δ' ἴκτις ἔστι μὲν τὸ μέγεθος ἡλίκον Μελιταῖον κυνίδιον τῶν μικρῶν, τὴν δὲ δασύτητα καὶ τὴν ὄψιν καὶ τὸ λευκὸν τὸ ὑποκάτω καὶ τοῦ ἤθους τὴν κακουργίαν ὅμοιον γαλῇ, καὶ τιθασσὸν δὲ γίνεται σφόδρα, τὰ δὲ σμήνη κακουργεῖ· τῷ γὰρ μέλιτι χαίρει. ἔστι δὲ καὶ ὀρνιθοφάγον ὥσπερ αἱ αἴλουροι. τὸ δ' αἰδοῖον αὐτῆς ἔστι μέν, ὥσπερ εἴρηται, ὀστοῦν, δοκεῖ δ' εἶναι φάρμακον στραγγουρίας τὸ τοῦ ἄρρενος· διδόασι δ' ἐπιξύοντες. cf. mirab. ausc. 12 p. 831b1. Timoth. p. 22, 17 Haupt. 11 λέγεται] cf. Arist. hist. anim. I 6 p. 612a28. Ael. nat. anim. IV 14 (p. 85, 21 Herch.) 13 πονηρόν] Timoth. p. 22, 11 κεφ. λζ'. περὶ ἴκτιδος. ὅτι ἡ λεγομένη ἴκτις, ἣν ἡμεῖς καλεῖν εἰώθαμεν αἴλουρον, κατὰ τὸν τοῖχον (scribe τῶν τοίχων) ἕρπουσα τὰς κατοικιδίους ὄρνεις κατεσθίει· ἐὰν δὲ πέσῃ, φυσῶσα αὑτὴν καὶ πληροῦσα τὸ δέρμα ἀνέμου οὐ βλάπτεται 17 ἀλλ' ὅμως] Timoth. p. 22, 15 ὅτι ἐάν τις πήγανον βάλῃ ὅπου ἀεὶ αἱ ὄρνεις αὐλίζονται, οὐκ ἐπέρχεται αὐταῖς τὸ θηρίον ταχέως 21 πολυσχιδὴς] Arist. gener. anim. B 6 p. 742a8 ὅσα πολυσχιδῆ τῶν τετραπόδων, οἷον κύων λέων λύκος ἀλώπηξ θώς 22 ὀχεύει] Arist. hist. anim. Z 34 p. 580a6 ἡ δ' ἀλώπηξ ὀχεύει μὲν ἀναβαίνουσα, τίκτει δ' ὥσπερ ἡ ἄρκτος, καὶ ἔτι μᾶλλον ἀδιάρθρωτον. ὅταν δὲ μέλλῃ τίκτειν, ἐκτοπίζει οὕτως ὥστε σπάνιον εἶναι τὸ ληφθῆναι κύουσαν. ὅταν δ' ἐκτέκῃ, τῇ γλώττῃ λείχουσα ἐκθερμαίνει καὶ συμπέττει. τίκτει δὲ τέτταρα τὰ πλεῖστα

---

2 τοὺς . . . κυπέρους scripsi: τὰς . . . κυπέτους D 3 καθ' αὑτὴν scripsi: κατ' αὐτὴν D 4 ante θηρῶν desideres ἄλλων 6 ριστοφάνους, Ἀ ut minio scriberetur omisso, D Ἡ ἰκτὶς scripsi: Οἰκτὶς culpa rubricatoris D 7 ἡλίκον D: fortasse ἰσήλικον cf. supra ad p. 55, 6 8 τε scripsi: δὲ D 10 ὃ scripsi: ἣ D στραγγουρίας scripsi ex Arist.: στραγκυρίας D 14 ταῖς scripsi (cf. v. 15 αὐταῖς): τοῖς D 16 τῇ γῇ vix sanum, conicio πτηνὴ ⟨καὶ⟩, nisi ἐλαφρὰ tamquam glossema delendum est 18 παρατεθέντος scripsi: πα . ατιθέντος D θηράσῃ et τρύχηται (19) modorum corruptio excerptori danda est

σάρκα ἀδιάρθρωτον, καὶ ὅταν μέλλῃ τίκτειν ἐκτοπίζει, ὥστε μηδ' ὅλως θεωρηθῆναι. τεκοῦσα δὲ τῇ γλώττῃ θεραπεύει τὰ παιδία. τίκτει δὲ τὰ πλεῖστα τέσσαρα.

(392) Αἰλιανοῦ. Αἱ ἀλώπεκες σκίλλης πέταλα τοῖς φωλεοῖς ἐμβάλλουσι τῶν λύκων ἐκφεύγοντες τὴν ἐπιβουλήν. (393) τὰς ἀκάνθας δὲ τοῦ ἐχίνου φοβουμένη, ἡσύχως ὑποκνήθουσα τῷ ἑαυτῆς στόματι ἀνατρέπει αὐτοὺς ὑπτίους, καὶ ἀνασχίσασα κατεσθίει. (394) φασὶ δὲ καὶ ἄλλως περιγίνεσθαι τὴν ἀλώπεκα τοῦ ἐχίνου· εἰληθέντα γὰρ αὐτὸν θεασαμένη, ἐπεὶ μὴ δύναται ἐνδακεῖν διὰ τὰς ἀκάνθας, ἐνουρεῖ αὐτοῦ εἰς τὸ στόμα, ὁ δὲ ἀποπνίγεται, καὶ τοῦ πνεύματος ἔνδον ἐκ τῆς συνειλήσεως κατεσχημένου καὶ ἐπιρρέοντος αὐτῷ τοῦ προειρημένου ἤρηκεν αὐτόν. (395) θηρεύουσι δὲ τὰς ὠτίδας οὕτως. τὴν κέρκον ἀνατείνασαι ὡς τράχηλον ὄρνιθος, ἀποστραφεῖσαι πρὸς τὰς ὄρνιθας, τὸ δ' ἄλλο σῶμα εἰς γῆν κύψασαι ποιοῦσι προσιέναι ὡς πρὸς ὄρνιν ὁμόφυλον, καὶ εἶτα ἐπιθέμεναι κτείνουσι. (396) τοὺς δὲ ἰχθῦς πάλιν θηρεύουσιν οὕτως. εἰς τὴν ὄχθην ἔρχονται τοῦ ποταμοῦ, καὶ τὴν οὐρὰν καθιᾶσιν εἰς τὸ ὕδωρ, τὰ δὲ προσνέοντα ἐνίσχεται καὶ ἐμπλάσσεται τῷ δάσει τῶν τριχῶν. αἱ δὲ αἰσθόμεναι τοῦ μὲν ὕδατος ἀναχωροῦσιν, ἐλθοῦσαι δὲ ἐς τὰ ξηρὰ χωρία διασείουσι τὰς οὐράς, καὶ ἐκπίπτει τὰ ἰχθύδια καὶ ἐκεῖναι δεῖπνον ἔχουσι.

(397) Καὶ λαγὼν δὲ ἀλώπηξ τῇ αὐτῇ τέχνῃ θηρεύει· εὑροῦσα γὰρ αὐτὸν διώκει κατ' ἴχνος, ὁ δὲ ἀποδρὰς ἀναπαύεται, ἡ δὲ πάλιν αὐτὸν ἐγείρει, καὶ τοῦτο ποιεῖ πολλάκις ἀγρυπνίαν ἐργαζομένη αὐτῷ, καὶ οὕτως ἀπειπόντα κατέχει οὐ δρόμῳ, ἀλλὰ δόλῳ. | f. 370r

(398) Αἱ μέντοι Κάσπιαι ἀλώπεκες τὸ πλῆθός εἰσι πολλαὶ ὡς ἐπιφ⟨οι⟩τᾶν ἐν πόλεσι καὶ ἐν αὐλίοις καὶ ἐν οἰκίαις οὐκ ἐπὶ λύμῃ καὶ ἁρπαγῇ, ἀλλ' οἷα τιθασοί. (398ª) μισεῖ δὲ ἡ ἀλώπηξ κίρκον.

(399) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Αἱ δὲ ἀλώπεκες εἰς ὑπερβολὴν προήκουσαι κακουργίας καὶ τρόπου δολεροῦ ὅταν θεάσωνται σφηκιὰν εὐθηνουμένην, αὗται μὲν ἀποστρέφονται τὸν χηραμὸν ἐκνεύουσαι καὶ τὰς ἐκ τῶν κέντρων τρώσεις φυλαττόμεναι· καθιᾶσι δὲ τὴν οὐρὰν δασυτάτην οὖσαν καὶ μηκίστην τὴν αὐτὴν καὶ διασείουσαν τοὺς σφῆκας, οἱ δὲ προσέρ-

4 αἱ ἀλώπεκες] cf. Ael. nat. anim. I 36 (p. 21, 3 Herch.) 5 τὰς ἀκάνθας] cf. Ael. l. c. VI 24 (p. 149, 31 — 150, 5 Herch.) 7 φασὶ] cf. Ael. l. c. VI 64 (p. 169, 11 — 20 Herch.) 11. 12 θηρεύουσι] cf. Ael. l. c. VI 24 (p. 150, 5 — 11 Herch.) 15 τοὺς δὲ ἰχθῦς] cf. Ael. l. c. VI 24 (p. 150, 11 — 18 Herch.) 20 καὶ λαγὼν] cf. Ael. l. c. XIII 11 (p. 324, 9 — 31 Herch.) 24 αἱ μέντοι] cf. Ael. l. c. XVII 17 (p. 420, 5 — 11 Herch.) 26 μισεῖ] cf. Ael. l. c. V 48 (p. 132, 16 Herch) 27 αἱ δὲ ἀλώπεκες] Ael. l. c. IV 39 (p. 97, 29 — 98, 11 Herch.)

3 Οἱ culpa rubricatoris D 10. 11 κατεσχημένου Ael.: κατισχημένου D 17 ἐμπαλάσσεται em. Hercher cf. p. 114, 1 24 Κάσπιαι scripsi ex Ael.: σκαπίαι D 24. 25 ἐπιφ . . τᾶν cetera blattis corrosa D 26 κίρκον Ael.: κέρκον D 28 προήκουσαι Ael.: προήκασι D σφικίαν D 29 εὐθηνουμένην D Ael.: εὐθενουμένην Hercher αὗται D Ael.: αὐταὶ Reiske 30 δὲ Ael.: τὲ D δασυτάτην τε Ael. τοὺς Ael.: τὰς D 31 προσέρχονται sic D Ael.: προσέχονται Hercher (?)

χονται τῷ τῶν τριχῶν δάσει. ὅταν δὲ ἀναπλασθῶσιν αὐτῷ, προσαράττουσι τὴν οὐρὰν ἢ δένδρῳ ἢ αἱμασιᾷ ἢ τοίχῳ· παιόμενοι δὲ οἱ σφῆκες ἀποθνήσκουσιν. εἶτα ἦλθον ἐπὶ τὸν αὐτὸν τόπον, καὶ τοὺς λοιποὺς προσαναλέξασαι καὶ ἀποκτείνασαι κατὰ τοὺς πρώτους, ὅταν ἐννοήσωσι λοιπὸν εἰρήνην εἶναι καὶ ἀπὸ τῶν κέντρων ἐλευθερίαν, καθῆκαν τὸ στόμα καὶ τὰ σφηκία ἐσθίουσι μήτε θορυβούμεναι μήτε μὴν τὰ κέντρα ὑφορώμεναι.

(400) Τῆς τῶν ποταμῶν πήξεως τῆς οὔσης σφαλερᾶς οἱ Θρᾷκες γνώμονα τὴν ἀλώπεκα ποιοῦνται. καὶ ἂν διαδράμῃ τὸν κρύσταλλον μὴ ἐνδιδόντα μηδὲ εἴκοντα τοῖς ἐκείνης βήμασι, θαρροῦσι καὶ ἕπονται. πεῖραν δὲ αὕτη ποιεῖται τοῦ μὴ σφαλεροῦ πόρου τὸν τρόπον τοῦτον. παραβάλλει τὸ οὖς ἐπὶ τῷ κρυστάλλῳ, κἂν μὲν αἴσθηται μὴ ὑπηχοῦν κάτωθεν τὸ ῥεῦμα μηδὲ ὑποψοφοῦν ἡσυχῇ εἰς βάθος, ἡ δὲ ὡς ἑστῶτι τῷ κρυστάλλῳ θαρσεῖ διαθεῖ τε πρώτη· εἰ δὲ μὴ οὐκ ἂν ἐπιβαίη.

(401) Ἐκ τοῦ Τιμοθέου. Ἀλώπηξ ἐντεῦθεν εἰσήχθω μεθ' ὧν οἶδε πολλῶν ἐπιτηδευμάτων. αὕτη γάρ, ἐπειδὰν τῷ λιμῷ πιέζηται, μηδὲν ἔχουσα τῶν παρὰ πόδας ἑλεῖν, τοιᾷδε μέτεισι τέχνῃ τὴν ἄγραν. ὑπτία μὲν εἰς πεδίον ἀνεῖται στόμα τε καὶ ὀφθαλμοὺς μύσασα καὶ τὸ πνεῦμα ἔνδον ἀπολαβοῦσα | καὶ ⟨ὅ⟩λως εἶναι νεκρὰ πείθουσα. τίς ἂν αὐτὴν εἴποι f. 370v ζῆν; ἀγέλαι γοῦν ὀρνίθων ἴσα δὴ καὶ τεθνηκυῖαν αὐτὴν περιπέτονται, καὶ τοῖς ὄνυξι διαξαίνουσι τὴν δοράν. αὕτη δὲ ἐπειδὰν αἴσθηται προσάγον αὐτῇ τὸ θήραμα καὶ ἕτοιμον εἶναι λαβεῖν, ἤρηκεν εὐθὺς ἐγχανοῦσα, καὶ ἅμα συνέσχε πλείους.

(402) Κυνῶν δὲ καὶ ἀνδρῶν φεύγουσα θήραμα πολλαχοῦ τῆς γῆς διανοίγει πόρους, ἐφ' ἧπερ αὐτὴ τὰ ἤθη τυγχάνει ἔχουσα, ὑπονόμους τε διέτεινε μακροτάτους, οἳ καὶ φεύγουσαν αὐτὴν ὑποδέχονται καὶ δι' ὧν πολλάκις εἰσδύνουσα μυρίαν τοῖς κυσὶ παρέχει τὴν πλάνην. ἐγγὺς γὰρ αὐτὴ φαίνεσθαι προσδόκιμος οὖσα διὰ μακρᾶς ἄλλῃ τῆς ὀπῆς ἀνεδόθη καὶ οὕτω ποικίλως ἔχουσα μάλα δυσχερῶς ἂν ἀλώπηξ ἁλῴη. (403) ἔστι γὰρ καὶ

---

7 τῆς τῶν ποταμῶν] Ael. nat. anim. VI 24 (p. 150, 18 Herch.) οἱ δὲ Θρᾷκες τῆς τῶν ποταμῶν πήξεως τῆς οὐ σφαλερᾶς ποιοῦνται γνώμονα τήνδε τὴν θῆρα κτλ. 14 ἀλώπηξ] Timoth. p. 6, 19 κεφ. ε'. περὶ ἀλώπεκος. ὅτι πεινῶσα ἁπλοῖ ἑαυτὴν ὡς νεκρὰν ἐν ἐρήμῳ τόπῳ, καὶ συναγομένων τῶν ὀρνέων εἰς τὸ καταφαγεῖν αὐτὴν ἄφνω ἀναπηδῶσα θηρᾷ τινα τούτων καὶ ἐσθίει. cf. Oppian. Hal. II 69—119 23 κυνῶν] Timoth. p. 7, 1 ὅτι ποιεῖ τῷ ἑαυτῆς φωλεῷ στόματα ἑπτά, καὶ διωκομένη ὑπὸ κυνῶν ἢ ὑπὸ ἀνδρῶν ἀπ' ἄλλου εἰς ἄλλο μετέρχεται καὶ ἐκφεύγει. cf. Oppian. Cyneg. III 449 sqq. 28 ἔστι] Timoth. p. 7, 18 ὅτι ἀπατᾷ τοὺς θηρευτὰς κύνας δι' ἀνέμου γαστρὸς πλανῶσα καὶ σαίνουσα εἰς συνουσίαν. συγγινομένη γὰρ κυνὶ τίκτει τὸν καλούμενον ἀλωπόν. ἐὰν δὲ ἄρσην ᾖ, ἡ δὲ κύων θήλεια, τίκτεται Λακωνικὸς

---

1 ἀναπλασθῶσιν D Ael.: ἐμπαλαχθῶσιν Hercher 2 τοίχῳ ἢ αἱμασιᾷ Ael. 4 ἐννοήσωσι Ael.: ἐννοήσῃ D 8 ἂν D: ἐὰν Ael. κρύσταλον D 10 αὕτη D: αὐτὴ Ael. 11 ἐπὶ D Ael.: om. recte Schneider (et 12) κρυστάλῳ D κάτωθεν Ael.: κάτω D 13 θαρσεῖ διαθεῖ τε Ael.: θάρσει διαθεῖται D πρώτη D Ael.: ἀτρέπτως Hercher 18 . λως prima littera corrosa D 19 τεθνηκυῖαν scripsi: τεθνηκυῖαι D 20 διαξαίνουσι scripsi: διαξαίνουσαι D 21 ἤρηκεν D 24 διανοίγει scripsi: διανοίγουσι D, sed fortasse διανοίγουσα scribendum, deleto τε v. 24 ἐφ' delendum puto 27 ἄλλη D 28 ἀλώη D

ἄλλων τεχνῶν εὔπορος, δι᾽ ὧν οἶδε τοὺς κύνας ἐξαπατᾶν· ὁτὲ μὲν γὰρ τῆς γαστρὸς πνεῦμά τι δύσοσμον ἀφιεῖσα, ὁτὲ δὲ αὐτῶν ἐγγὺς περισκαίρουσα καὶ κορικῶς ὥσπερ ἀκκιζομένη, ἐπέσχε μὲν αὐτοὺς τῆς ὁρμῆς τῆς ἀγρίας, ἠδυνήθη δὲ ἔρωτα ἐμβαλεῖν καὶ διαθερμῆναι πρὸς μίξιν· ἐπεὶ καὶ λέγεται ἐς ταὐτὸ κυνὸς καὶ ἀλώπεκος ξυνελθόντων τὰς κύνας φύεσθαι τὰς Λακωνικάς, αἵπερ δὴ καὶ ἀλωποὶ λέγονται. ἀλλ᾽ εἰ μὲν τὸ θῆλυ ᾖ ἀλώπηξ, τὸ φυὲν ἂν εἴη ἡ ἀλωπός. εἰ δὲ ἐπιβεβηκὼς μὲν ᾖ ἀλώπηξ, τὸ σπέρμα δὲ τοῦτο δεδεγμένη ᾖ κύων, τὸ γένος ἐντεῦθεν τὸ Λακωνικὸν ἔφυσαν αἱ κύνες· αἳ δὴ καὶ ἵππων καὶ θηρῶν πόδας ἤλεγξαν. ἰδὼν αὐτὰς διωκούσας φαίης ἂν οὐ θέειν μᾶλλον ἢ ἵπτασθαι.

(404) Σχοίη δ᾽ ἂν τὸ ἦθος ἀλώπηξ οὐδέποτε τιθασὸν οὐδ᾽ εὐόμιλον οὐδὲ φιλίαν σπείσαιτο πρὸς ἀνθρώπους, ἀλλ᾽ ἄμικτος ἀεὶ καὶ ἀπρόσιτος καὶ δόλων οὐδέποτε ἐκτός.

(405) Δέδοικέ γε μὴν ὅμως καὶ φεύγει λέοντα καὶ αὐτὸν ὃς κέκληται χαμαιλέων.

(406) Βλαβερὰν δὲ αὐτὴν ἡ φύσις στάχυσιν ἔθηκε καὶ ἀμπέλοις. ἦρος γὰρ ὑπολάμποντος, ἡνίκα δὴ πρὸς γονὰς αἱ ἄρουραι διωδήκασιν, ἐφ᾽ ᾧ περ αὕτη τοῦ χωρίου τύχῃ καλινδηθεῖσα, | τούτου δὴ πάντως ἐσκλή- f. 371r ρωσε μὲν τὰς ὠδῖνας, ἐξήμβλωκε δὲ τοὺς ⟨καρ⟩πούς, καὶ ὁ χῶρος οὗτος ἔρημός ἐστι, καὶ ἄγονος ἐν εὐκάρπῳ ὅλῃ κείσεται τῇ ἀρούρᾳ. ταύτῃ τοι καὶ ἐφ᾽ ἡμῶν τῶν ἀνθρώπων ἐν ᾧ δᾶν μέρει συμβαίη τὴν ⟨κε⟩φαλὴν φλέγματος αὐτὴν ὑποδραμόντος ἀπορρυῆναι τὰς τρίχας, ἀλωπεκίαν τοῦτο καλοῦμεν. ἴαται δὲ ὅμως αὐτὸ τὸ ἐκείνης στέαρ καὶ τρίχας ἀνάγει νεοθαλεῖς. τὸ δέρμα δ᾽ ἂν φοινιχθείη νίτρου αὐτῷ πρότερον πυκνῶς ἐπιπαττομένου. (407) εἰ δὲ λέβης αὐτὴν διατήξει ζῶσαν ἐλαίου πλήρης ὢν ὅτι μάλιστα παλαιοῦ οὐ φαύλας ἂν χάριτας δοίη ἀνδρὶ ποδάγρᾳ πεπεδημένῳ.

(408) Ἐκ τῆς Ἑξαημέρου τοῦ θείου Βασιλείου. Ἀλώπηξ βέλει τρωθεῖσα τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἴαται.

---

κύων, ὥσπερ συγγινομένων κυνὸς καὶ τίγριδος τίκτεται ὁ Ἰνδικὸς κύων. cf. Arist. hist. anim. Θ 28 p. 607 a 3    11 σχοίη] Timoth. p. 7,4 ὅτι οὐδέποτε ἡμεροῦται    14 δέδοικέ γε] Timoth. p. 7,7 ὅτι φοβεῖται τὴν χολὴν τοῦ χαμαιλέοντος τοῦ λεγομένου φυσιγνάθου    16 βλαβερὰν] Timoth. p. 7,9 ὅτι κυλιομένη ἐν σπορίμῳ χωρίῳ ποιεῖ τὸν τόπον ὅπου κυλίεται μὴ βλαστῆσαι· ὅθεν καὶ ἀλωπεκία λέγεται ἐπὶ τῶν τὰς τρίχας ἀποβαλλόντων ἢ μὴ φυόντων. cf. Etym. Magn. p. 74,51. Schol. in Callim. H. in Dian. 79    27 ἀλώπηξ] Bas. Magn. Hom. IX in Hexaemero ed. Mignii Patrol. Graec. vol. XXIX p. 194 A ἴδοις δ᾽ ἂν καὶ ἀλώπεκα τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἰωμένην

---

3 ἀκιζομένη D    4 διαθερμῆναι πρὸς μίξιν scripsi: διὰ θερμὴν αὐτὴν μίξιν D    6 λέγονται scripsi: λεγέονται D    7 εἰ δὲ ἐπιβεβηκὼς scripsi: εἰ δὲ εἰ δὲ βεβηκὼς D    8 δὲ τοῦτο δεδεγμένη ᾖ κύων scripsi: δὲ τὸ δεδεγμένον ἢ κίων D    11 τιθασσὸν D    14 αὐτὸν scripsi: αὐτὸς D    15 χαλμαιλέων D    17 δὴ scripsi: δὲ D    18 αὕτη scripsi: αὐτὴ D    18. 19 ἐσκλήρωσε scripsi: ἐπλήρωσε D    19 καρποὺς scripsi: ....πούς; cetera blattis corrosa D    21 ᾧ δ᾽ ἂν D cf. ad p. 124,8    κεφαλὴν scripsi: ..φαλὴν D    25 ὢν scripsi: ὂν D    28 βέλει scripsi: ἔλει D

(409) Ἐκ τοῦ Ἀριστοφάνους. Δασύπους· ὁ δ' αὐτὸς καὶ λαγὼς λέγεται. οὗτος ὀχεύει μὲν πᾶσαν ὥραν, κύει δὲ κατὰ μῆνα καὶ τίκτει σκυμνία ⟨τυφλὰ⟩ καὶ θεραπεύει ὥσπερ ἡ κύων. ἐπιβαίνει δὲ συγκαθισάσης τῆς θηλείας, καθάπερ ὁ λέων· ἔστι γὰρ καὶ οὗτος τῶν ὀπισθουρητικῶν ζῴων. (410) διοιχθεὶς δὲ τὰ ἐντὸς ἔχει ὅμοια ὑί· τὸ δὲ ἧπαρ ἑξάλοβον, ἡ χολὴ μεγάλη, μέσῳ δὲ ἥπατι. ἔχει δὲ καὶ ὄρχεις μεγάλους καὶ κύστιν καὶ μήτραν δίκρουν καὶ κοτυληδόνα [ἐν] ἑκάστῳ ἐμβρύῳ προσκειμένην, καθάπερ ἐπὶ τῆς μυὸς εἴρηται.

(411) Ἐκ τοῦ Αἰλιανοῦ. Ὅτι ὁ λαγὼς ἐκπεπταμένοις τοῖς βλεφάροις καθεύδει. κατηγορεῖ δὲ αὐτοῦ ⟨τὰ⟩ ἔτη τρώγλας τινὰς ὑποφαίνων. φέρει δὲ καὶ ἐν τῇ νηδύι τὰ μὲν ἡμιτελῆ, τὰ δὲ ὠδίνει, τὰ δὲ ἤδη αὐτῷ τίκτεται. (412) πρὶν ἢ δὲ διαταράξαι τὰ ἴχνη ⟨εἰς⟩ τὴν κοίτην τὴν συνήθη οὐ πρόεισι, πῇ μὲν εἰσιών, πῇ δὲ ἐξιών, ἵνα ἀφανίσῃ τῶν θηρατῶν τὴν ἐπιβουλήν.

(413) Εἰσὶ δὲ λαγῴ ἐν Βισάλταις οἳ διπλᾶ τὰ ἥπατα ἔχουσιν, ὡς Θεόπομπος λέγει.

(414) Ἔστι δὲ καὶ φιλότεκνος ὁ λαγώς, καταπτήσσει δὲ καὶ θηρία καὶ ὄρνεα, καὶ φωνὴν δὲ μόνην κοράκων καὶ ἀετῶν πτοεῖται, θάμνῳ δὲ καὶ δάσει κρύπτεται.

(415) Ἔστι δὲ ἀνέμων τε καὶ ὡρῶν ἐπιστήμων. ἐν χειμῶνι γὰρ πρὸς ἥλιον τίθεται, θέρους δὲ πρὸς ἄρκτον ἀποκλίνει πόθῳ ψύχους. | ταύτην δὲ τὴν τῶν ὡρῶν διαφορὰν αἱ ῥῖνες αὐτὸν διδάσκουσιν. οὐ f. 371v
κατα⟨μύ⟩ει δὲ κοιμώμενος· ἧττω γὰρ τὰ βλέφαρα πρὸς τοὺς ὀφθαλμοὺς ἔχει. εἰσὶ δὲ αὐτῶν νύκτωρ αἱ νομαὶ καὶ πόρρω, τροφῆς ξένης ἐπιθυμίᾳ, μᾶλλον δὲ γυμνασίας ἕνεκα. ἀγαπᾷ δὲ τὰ ἤθη τὰ οἰκεῖα, καὶ ἐκλιπεῖν ταῦτα οὐχ ὑπομένει. ὑποστρέφει γὰρ πρὸς αὐτά, ὅθεν καὶ ἁλίσκεται τὰ πολλά.

---

2 οὗτος ὀχεύει] Arist. hist. anim. Z 33 p. 579 b 30 οἱ δὲ δασύποδες ὀχεύονται μὲν συνιόντες ὄπισθεν, ὥσπερ εἴρηται πρότερον (ἔστι γὰρ ὀπισθουρητικόν), ὀχεύονται δὲ καὶ τίκτουσι πᾶσαν ὥραν, καὶ ἐπικυΐσκονται ὅταν κύωσι, καὶ τίκτουσι κατὰ μῆνα. τίκτουσι δ' οὐκ ἀθρόα, ἀλλὰ διαλείπουσιν ἡμέρας ὅσας ἂν τύχωσιν. . . . τίκτει δὲ τυφλὰ ὥσπερ τὰ πολλὰ τῶν πολυσχιδῶν. cf. Arist. l. c. E 2 p. 539 b 22 9 ὅτι ὁ λαγὼς] cf. Ael. nat. anim. II 12 (p. 41, 11—15 Herch.) 12 πρὶν ἢ] cf. Ael. l. c. VI 47 (p. 160. 23—26 Herch.) 15 εἰσὶ] cf. Ael. l. c. XI 40 (p. 290, 16 Herch.). Arist. part. anim. Γ 7 p. 669 b 34. mirab. ausc. 122 p. 842 a 15 17 ἔστι] cf. Ael. nat. anim. XIII 11 (p. 325, 4—9 Herch.) 20 ἔστι] cf. Ael. l. c. XIII 13 (p. 326, 3—13 Herch.)

---

3 σκυμνία scripsi: σκύμνιον D τυφλὰ addidi ex Arist. συγκαθησάσης D 7 κοτυλιδόνα D ἐν delevi, pertinet fortasse ad μέσῳ v. 6 προσκειμένην scripsi: προκειμένην D 8 καθάπερ ἐπὶ τῆς μυὸς εἴρηται cf. p. 104, 19 9 ἐκεπταμένοις D 10 αὐτοῦ τὰ ἔτη Ael.: αὐτοῦ ἔτι D 11 αὐτῷ D: οἱ Ael. 12 εἰς addidi κήτην D 15 οἳ] οἱ D 16 Θεόπομπος Ael.: θόπομπος D 17 καταπτήσσει scripsi: καταπήσει D: δέδοικε Ael. 21 τίθεται D: τὸν κοῖτον . . . τίθεται Ael. 23 καταμύει scripsi (ἐπιμύει Ael.): κατα . . ει cetera blattis corrosa D 26 ταῦτα scripsi: ταύτας D

(416) Ἔστι δὲ λαγὼς μικρὸς τὴν φύσιν, καὶ οὐκ αὔξεται. κόνικλος ὄνομα αὐτῷ. ταύτην δὲ τὴν ἐπωνυμίαν Ἴβηρες Ἑσπέριοι ἔθεντο. τούτῳ δὲ ἡ μὲν χρόα παρὰ τοὺς ἑτέρους μέλαινα· ολίγην δὲ ἔχει τὴν οὐράν, τῶν ἄλλων ὅτι καὶ πλέον, ξηρὰν δὲ τὴν κεφαλὴν καὶ ἄσαρκον καὶ βραχυτέραν κατὰ ⟨τὸ⟩ πᾶν σῶμα, τὰ δὲ λοιπὰ τοῖς ἄλλοις ὅμοιος.

(417) Λαγῷ δὲ ἐν τοῖς αὐτοῖς χωρίοις πολλοὶ ὁρώμενοι εὐδίαν σημαίνουσι.

(418) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Θηρευτοῦ δὲ ἀνδρὸς καὶ τὰ ἕτερα ἀγαθοῦ, οἵου μὴ ἂν ψεύδεσθαι, λόγον ἤκουσα, καὶ αὐτῷ πεπίστευκα, καὶ δὴ καὶ ταῦτα εἰρήσεται. τίκτειν γὰρ δὴ καὶ ἄρρενας λαγὼς ἔλεγε καὶ ἔχειν, παιδοποιεῖσθαί τε ἅμα καὶ ὠδίνειν, καὶ τῆς φύσεως μὴ ἀμοιρεῖν ἑκατέρας. καὶ ὡς ἐκτρέφει τεκὼν ἔλεγε, καὶ ὡς ἀποτίκτει δύο που καὶ τρία, καὶ τοῦτο ἐμαρτύρει, καὶ δὴ καὶ τὸν κολοφῶνα ἐπῆγε τῷδε τῷ λόγῳ παντὶ ἐκεῖνον. θηραθῆναι γὰρ λαγὼν ἄρρενα ἡμιθνῆτα, ἐξογκωθῆναι δὲ αὐτοῦ τὴν γαστέρα ἅτε ἔγκαρπον. ἀνατμηθῆναί τε αὐτὸν ὡμολόγει καὶ μήτραν πεφωρᾶσθαι καὶ τρεῖς λαγώς. τούτους οὖν ἀκινήτους τέως εἶναι ἐξαιρεθέντας καὶ κεῖσθαι οἱονεὶ κρέα ἄλλως· ἐπεὶ δὲ ὑπὸ τοῦ ἡλίου ἀλεαινόμενοι καὶ δὴ κατὰ μικρὸν ὑποθαλπόμενοι ἐξέτριψαν, ἀναφέροντες ἑαυτοὺς ἀνεβιώσκοντο, καί πού τις αὐτῶν καὶ ἐκινήθη καὶ μετὰ ταῦτα ἀνέβλεψε, τάχα δὲ καὶ γλῶτταν ἐπὶ τούτοις προὔβαλε καὶ στόμα ἀνέῳξεν.

(419) Ἀριστοφάνους. Ἀσπάλαξ ἐστὶ μὲν καὶ αὐτὸς καρχαρόδους· πόδας δὲ καὶ χεῖρας ἔχει πενταδακτύλους καθάπερ οἱ μύες· τὸ δὲ ῥύγχος ἔχει ὅμοιον ὑί. ὦτα οὐκ ἔχει. ἀλλὰ πόρους μόνον. ὀφθαλμοὶ ἀφανεῖς καὶ ὑποδεδυκότες διὰ τὸ πάχος τοῦ δέρματος. ὀδόντας τοὺς ἐμπροσθίους δύο | ἔξω ἐξίσχοντας τοῦ στόματος, οἷς καὶ ὀρύσσει τὴν γῆν· ἔχει δὲ f. 372r
κάτω δύο γομφίους μικρούς. τὰ ἐντὸς δὲ ἔχει παραπλήσια ὑί.

1 ἔστι] cf. Ael. nat. anim. XIII 15 (p. 329,3—13 Herch.) 6 λαγῷ] Ael. l. c. VII 8 (p. 175,32 Herch.) 8 θηρευτοῦ] Ael. l. c. XIII 12 (p. 325,13—30 Herch.) 23 ὀφθαλμοὶ] Arist. hist. anim. Δ 8 p. 533a3 ὀφθαλμοὺς γὰρ ἐν μὲν τῷ φανερῷ οὐκ ἔχει, ἀφαιρεθέντος δὲ τοῦ δέρματος ὄντος παχέος ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν χώραν τὴν ἔξω τῶν ὀμμάτων ἔσωθέν εἰσιν οἱ ὀφθαλμοὶ διεφθαρμένοι, πάντ᾽ ἔχοντες ταὐτὰ τὰ μέρη τοῖς ἀληθινοῖς

2 ἴβηρες D τούτῳ scripsi ex Ael.: τούτων D 3 ὀλίγην scripsi: ὀλίγον D 5 τὸ addidi ex Ael. 6 πολλοὶ ὁρώμενοι scripsi (cf. Ael. ὁρώμενοι πολλοί): πολλοὶ ἡσσόμενοι D δηλοῦσιν εὐδίαν Ael. 8 θηρευτοῦ D: θηρατοῦ Ael. 9 ψεύσασθαι Ael. 10 δὴ καὶ D: δὴ καὶ διὰ Ael.: διὰ Hercher τίκτειν Ael.: τίκτει D ἄρρενας λαγὼς Ael.: ἄρρην λαγῶς D: ἄρρενα λαγὼν (immo λαγῶ) Hercher 11 ἔχειν (*gravidos esse*), quod om. Ael., additum esse potest ab excerptore καὶ τῆς Hercher secundum V.: αὐτῆς D: ὡς τῆς Ael. 12 δύό D: καὶ δύο Ael. 13 τοῦτο Ael.: τούτῳ D 14 παντὶ Ael.: πάντη D θηραθῆναι Ael.: θηραθέντα D λαγὼν Ael.: λαγῶν D: λαγῶ Hercher ἐξογκωθῆναι D Ael.: ἐξωγκῶσθαι Hercher cum V. δὲ Ael.: γὰρ D 16 μήτραν Ael.: μήτρας D λαγώς Ael.: λαγῶς D: λαγιδεῖς Hercher 17 κεῖσθαι Ael.: κινεῖσθαι D 18 ὑποθαλπόμενοι Ael.: ὑποθαλλόμενοι D ἐξέτριψαν D Ael.: διέτριψαν Gronovius ἅμα φέροντες D 20 προὔβαλλε D 22 ῥέγχος D 24 ὑποδεδυκότες scripsi: ὑποδεδοικότες D

(420) Αἰλιανοῦ. Ὅτι ἡ Βοιωτῶν γῆ ἀσπαλάκων χηρεύει, καὶ ἀλλαχόθεν ἀσπάλαξ εἰσκομισθεὶς ἐκεῖ ἀποθνήσκει. περὶ δὲ τὴν Ὀρχομενίων γῆν γίνονται πολλοὶ ἀσπάλακες.

(421) Ἐκ τοῦ Τιμοθέου. Ζοφερόν τι ζῷον, φασίν, ὁ ἀσπάλαξ, τυφλὸν καὶ ἀνήλιον. τοῦτο δὲ ὑπὸ γῆν ἕρπον τὰς τῶν φυτῶν διατρώγει ῥίζας καὶ ξηραίνει αὐτὰ καὶ οὐκ ἐνεργὰ τοῦ λοιποῦ τίθησι. (422) θηρεύονται δὲ πρὸς τῶν γηπόνων, πράσου τε ἢ κρομμύου πνοῇ τῶν φίλων ἀναδύντες βερέθρων. (423) λέγεται μὲν οὖν αὐτὸν εἶναι τὸν Φινέα ὃς ὑπὸ Ἡλίου τοὺς ὀφθαλμοὺς ἐκκοπεὶς εἰς ἀσπάλακα μετεβλήθη, ζῷον οὐδ' ὅλως τὸν ὑπὸ γῆν ζόφον ἀπολιπεῖν ἀνεχόμενον. ὅθεν εἴ ποτε αὐτὸν θεάσαιτο Ἥλιος, ἀδυνάτως ἔχει τοῦ λοιποῦ τὴν γῆν ὑποδῦναι, πλανᾶται δὲ οὕτω τὸν συνήθη σκότον ἐπιζητῶν καὶ τὸ φίλον πᾶσι φῶς ἀποτετραμμένος.

(424) Ἀριστοφάνους. Ἐχῖνος ὁ χερσαῖος πόδας μὲν ἔχει πενταδακτύλους, καθάπερ καὶ ἡ ἄρκτος, ῥύγχος ὑός, ὀδόντας οὓς μὲν προβάτου, οὓς δὲ κυνός· μαστοὺς ἑπτά, εἰς τὰ δεξιὰ πέντε καὶ εἰς τὰ ἀριστερὰ δύο· κέρκον μικρὰν καὶ αἰδοῖον ὑποκείμενον· τῆς δὲ μήτρας τὸ αἰδοῖον ὑός. (425) ἀνατμηθεὶς δέ, γλῶσσαν μὲν οὐκ ἔχει μεγάλην, τὰ δ' ἄλλα σπλάγχνα ὅμοια ὑί, σπλῆνα δὲ λίαν μέλανα, ὅμοιον τῷ τοῦ ἵππου. (426) τοὺς δὲ ὄρχεις ὁ ἄρρην ἔχει ἔσω πρὸς τῇ ὀσφύι καθάπερ οἱ ἀλεκτρυόνες· ἡ δὲ θήλεια τὴν ὑστέραν δίκρουν. (427) λέγεται δὲ τὸ ζῷον τοῦτο προμεταβάλλειν τὰς ἰδίας ὀπάς, καὶ ὅταν μὲν βόρεια μέλλῃ πνεῖν, εἰς τὰ νότια, ὅταν δὲ νότια εἰς τὰ βόρεια. ὅθεν κατανοήσαντά τινα τὸ γινόμενον [ὑπὸ] τῶν ἐν Βυζαντίῳ προλέγειν τοῖς πολίταις τοὺς μέλλοντας ἀνέμους πνεῖν, καὶ οὕτω δόξαν ἀπενέγκασθαι οὐ τὴν τυχοῦσαν.

---

1 ὅτι] cf. Ael. nat. anim. XVII 10 (p. 416,23—26 Herch.). Arist. hist. anim. Θ 28 p. 605b31. mirab. ausc. 124 p. 842b3 4 ζοφερόν] Timoth. p. 23,8 κεφ. μ΄. περὶ ἀσπάλακος. ὅτι ἀσπάλαξ ἐστὶ τυφλὴ γαλῆ, ὃς ὑπὸ τὴν γῆν ἕρπων ἐσθίει τὰς ῥίζας τῶν φυτῶν καὶ ξηραίνει αὐτά 6. 7 θηρεύονται] Timoth. p. 23,10 ἀγρεύεται δὲ δόλῳ καὶ παγίσι. cf. Oppian. Cyneg. II 612 sqq. 8 λέγεται] Timoth. p. 23,10 λέγεται δὲ εἶναι Φινεὺς καὶ μεταβληθῆναι εἰς θηρίον χόλῳ τοῦ Ἡλίου, ὥστε καὶ ἐὰν ὀφθῇ τῷ Ἡλίῳ, οὐκέτι δέχεται αὐτὸν ἡ γῆ 19. 20 τοὺς δὲ ὄρχεις] Arist. gener. anim. A 5 p. 717b26 πάντα δ' ἔχει τὰ ζῳοτόκα τοὺς ὄρχεις ἐν τῷ πρόσθεν ἢ ἔξω, πλὴν ἐχίνου· οὗτος δὲ πρὸς τῇ ὀσφύι μόνος διὰ τὴν αὐτὴν αἰτίαν δι' ἥνπερ καὶ οἱ ὄρνιθες. cf. Hist. anim. Γ 1 p. 509b9 21 λέγεται] Arist. hist. anim. I 6 p. 612b4 περὶ δὲ τῆς τῶν ἐχίνων αἰσθήσεως συμβέβηκε πολλαχοῦ τεθεωρῆσθαι ὅτι μεταβαλλόντων βορέων καὶ νότων οἱ μὲν ἐν τῇ γῇ τὰς ὀπὰς αὐτῶν μεταμείβουσιν, οἱ δ' ἐν ταῖς οἰκίαις τρεφόμενοι μεταβάλλουσι πρὸς τοὺς τοίχους, ὥστ' ἐν Βυζαντίῳ γέ τινά φασι προλέγοντα λαβεῖν δόξαν ἐκ τοῦ κατανενοηκέναι ποιοῦντα ταῦτα τὸν ἐχῖνον

---

1 Ἡλιανοῦ culpa rubricatoris D 2 τὴν ex Ael. scripsi: τῶν D 7 κρομύου πνοὴ D 8 ἀναδύντες βερέθρων scripsi: ἀναδέντες κερέθρων D 12. 13 ἀποτετραμμένος scripsi: ἀποτετραμμένον D 15 υἱός D 17 μήτρας τὸ αἰδοῖον sic D 18 ἀνατμηθεὶς scripsi cf. B § 138 p. 72,12 al.: ἀποτμηθεὶς D 22 μέλλῃ scripsi: μέλλει D 23 ὑπὸ delevi

(428) Αἰλιανοῦ. Ἐχῖνον τὸν χερσαῖον οὐκ ἄσοφον οὐδ' ἀμαθῆ ταμείας τῆς ἐς τὴν χρείαν ἡ φύσις ἐποίησεν. ἐπεὶ γὰρ δεῖται τροφῆς διετησίου, τὰ δὲ ὡραῖα οὐ πᾶσα ὥρα δίδωσιν, ἑαυτὸν ἐν ταῖς τρασιαῖς | κυλίειν φασὶ καὶ τῶν ἰσχάδων τὰς πεπανθείσας, αἳ πολλαὶ πήγνυνται ταῖς f. 372v ἀκάνθαις, ἡσυχῇ κομίζει καὶ ἀποθησαυρίσας φυλάττει, καὶ ἔχει λαβεῖν ἐκ τοῦ φωλεοῦ, ὅτε πορίσαι οὐχ οἷόν τε ἔξωθέν ἐστιν.

(429) Ἓν τῶν βασκάνων ζῴων καὶ ὁ ἐχῖνος ὁ χερσαῖος εἶναι πεπίστευται. ὅταν οὖν ἁλίσκηται, παραχρῆμα ἐνούρησε τῷ δέρματι καὶ ἀ⟨χρεῖο⟩ν ἀπέφηνεν αὐτό. δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον.

(430) Ἐκ τοῦ Τιμοθέου. Τῷ ἐχίνῳ δὲ ἡ ἀλώπηξ συστᾶσα πρὸς πόλεμον, καίπερ οὖσα δεινὴ τὴν φύσιν, ὅμως ἡττηται, καὶ τὴν τέχνην ἔχει πολλάκις ἐληλεγμένην. εἰς ἑαυτὸν γὰρ οὗτος συσπειραθείς, ἴσα καὶ λίθῳ πρόσκειται τὰς τρίχας ἐπιφρίξας καὶ ὥσπερ εὔθηκτα βέλη προβεβληκώς, ἐν αἷς δή πως ἐμπαίουσα ἡ ἀλώπηξ εἴκει [μὲν] καὶ ἄκουσα τῷ πολέμῳ.

(431) τὰ ὅμοια δὲ πάσχειν καὶ τὸν ὄφιν φασίν, πρὸς μάχην αὐτῷ ξυγγενόμενον. ὁ μὲν γὰρ ταῖς ἀκμαῖς τῶν τριχῶν ἐμβεβηκὼς αὐτοῦ τοὺς ὀδόντας ξυνῆκε, τοῦτο δὴ τὸ λεγόμενον. εἰς κέντρα λακτίζων, εἶτα καὶ νῶτα δοὺς ὀξὺς οἴχεται. ὁ δ' ὥσπερ ἔχει σχήματος, εὐθὺ τούτου φέρεται δίκην σφαίρας ἐγκυλιόμενος, καὶ καταλαβὼν ἐμπίπτει καὶ ταῖς ἀκάνθαις αὐτὸν ἐμπείρων οὐκ ἀπολήγει. ὁ δέ γε ὄφις ἡττώμενος τῶν πληγῶν τῷ ὁλκῷ περιβέβληκε, καὶ συνέσφιγξεν αὐτὸν ἐρρωμένως, ἀλλ' ὅδε μᾶλλον εἴσω τοῦ κακοῦ γενόμενος κατέξανται ταῖς ἀκάνθαις, ἐκεῖνόν τε οὐδὲν βλάψας ἑαυτῷ φθορᾶς γέγονεν αἴτιος.

(432) Ἔχειν δὲ καὶ ὠφέλιμόν τι ταῖς δυστοκούσαις φασὶ γυναιξὶ τὸν ἐχῖνον. τούτου γὰρ τὴν χολὴν σὺν κηρῷ λειανθεῖσαν τεθνηκὸς ἔμβρυον τῆς γαστρὸς ὑπεξάγειν.

(433) Τίκτειν δὲ αὐτὸν λέγουσιν ἐν ἑπτὰ τόκοις ὀκτὼ καὶ εἴκοσι τὰ πάντα σκυμνία.

---

1 ἐχῖνον] Ael. nat. anim. III 10 (p. 62, 18—25 Herch.) 7 ἓν τῶν βασκάνων] Ael. l. c. IV 17 (p. 86, 28—31 Herch.) 10 τῷ ἐχίνῳ] Timoth. p. 7, 26 ὅτι ὁ ἐχῖνος νικᾷ τὴν ἀλώπεκα τῇ μάχῃ, μὴ δυναμένην αὐτοῦ βιάσασθαι τὰς ἀκάνθας. cf. Plut. de solert. anim. XVI 9 p. 971 F 15 τὰ ὅμοια] Timoth. p. 7, 23 ὅτι ὁ ἐχῖνος φονεύει τὸν ὄφιν μαχόμενος καὶ ταῖς ἀκάνθαις περιπείρων αὐτὸν κατατέμνει 24 ἔχειν] Timoth. p. 8, 8 ὅτι ἡ χολὴ αὐτοῦ λειαινομένη σὺν κηρῷ τὰ τεθνηκότα ἔμβρυα καταφέρει. 27 τίκτειν] videtur continuatum ex Timotheo

---

1 Ἡλιανοῦ culpa rubricatoris D Εχῖνον culpa rubricatoris D 2 ταμείας D: ταμιείας Ael. 3 διετησίου Ael.: ἐτησίου D τρασιαῖς Ael.: πρασίαις D 4 κυλίειν D Ael.: κυλίει Reiske πεπανθείσας D: περιπαρείσας Ael. πήγνυνται D Ael.: ἐμπήγνυνται Hercher 7 ζῴων D: ζῴων μέντοι Ael. ὁ ἐχῖνος D: ἐχῖνος Ael. 8 οὖν D: γοῦν Ael. ἐνούρησε D Ael.: ἐνεούρησε Hercher 9 ἀχρεῖον scripsi ex Ael.: ἀ . . . . . ν cetera blattis corrosa D 12 ἑαυτὸν scripsi: ἑαυτὴν D 14 μὲν delevi 15 αὐτῷ scripsi: αὐτὸν D 16 ἐμβεβηκὼς D: fortasse ἐμβεβληκὼς 19 ἐγκυλιόμενος D: fortasse κυλιόμενος 25 λιανθεῖσαν D

(434) Ὅπερ δὲ Αἰλιανὸς περὶ τῶν ἰσχάδων εἴρηκε, τοῦτο καὶ οὗτος ἐπὶ τῶν σταφυλῶν λέγει ποιεῖν τὸν ἐχῖνον, ἐμβαλλόμενον αὐτὰς ταῖς ἀκάνθαις καὶ τοῖς αὑτοῦ τέκνοις προσάγοντα δεῖπνον.

(435) Ἐκ τοῦ Ἀριστοτέλους Περὶ παραδόξων ἀκουσμάτων. Ὅτι φασὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἕως ἐνιαυτοῦ. | f. 373r

(436) Ἀριστοφάνους. Ἡ νυκτερίς ἐστι μὲν τῶν καρχαροδόντων καὶ πολυσχιδῶν καὶ δερματοπτέρων, ἔχει δὲ δακτύλους πέντε εἰς ἕκαστον τῶν ποδῶν καὶ τῶν χειρῶν καθάπερ οἱ μύες, πρόσωπον ὅμοιον ὑί, ὠτάρια μεγάλα, ὀδόντας διστιχεῖς καὶ ὀξεῖς, μεγάλους, ὄμματα ἐπὶ τοῖς χείλεσιν ἐπικείμενα. ἔχει δὲ καὶ μαστοὺς δύο, ἐν οἷς καὶ γάλα. (437) ἀνατμηθεῖσα δὲ τὰ ἐντόσθια ἔχει ὅμοια ὑί. (438) ὀχεύει δὲ τῆς θηλείας συγκαθισάσης ὁ ἄρρην ἐπιβαίνων. (439) ἔστι δὲ τοῦτο μόνον τῶν πτητικῶν ζῳοτόκον. τίκτει γὰρ σκυμνία, καὶ ταῦτα θηλάζει ἅμα πετομένη, ὑπὸ τὰς μασχάλας αὐτὰ ἔχουσα. τίκτει δὲ δύο ἐφάπαξ καὶ τρία· λέγεται δὲ καὶ τετριχῶσθαι μικροῖς καὶ δυσθεωρήτοις τριχιδίοις. (440) ἐπιλέγεται δὲ καὶ τὰ μικρὰ τῶν ζῴων σκνιπολογοῦσα.

(441) Αἰλιανοῦ. Ὅτι πέπυσμαι πελαργὸν νυκτερίδα μισεῖν, καὶ ἐκείνην ἀντιμισεῖν ὡς πολέμιον.

(442) Ἐκ τῆς Ἑξαημέρου τοῦ θείου Βασιλείου. Τετράπουν τὸ αὐτὸ καὶ πτηνὸν ἡ νυκτερίς, καὶ μόνη τῶν ὀρνίθων ὀδοῦσι κέχρηται. καὶ ζῳογονεῖ μὲν ὡς τὰ τετράποδα, ἐπιπολάζει δὲ τῷ ἀέρι οὐχὶ πτερῷ κουφιζομένη, ἀλλ' ὑμένι τινὶ δερματίνῳ. (443) καὶ μέντοι καὶ τοῦτο ἔχει τι φιλάλληλον ἐν τῇ φύσει, καὶ ὥσπερ ὁρμαθὸς ἀλλήλων αἱ νυκτερίδες ἔχονται καὶ μία τῆς μιᾶς ἤρτηται.

(444) Ἐκ τοῦ Ἀριστοτέλους Περὶ παραδόξων ἀκουσμάτων. Λέγεται ἐν Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων

1 Αἰλιανὸς] cf. Ael. nat. anim. III 10 (p. 62,18—25 Herch.). cf. supra § 428 p. 120,1 καὶ οὗτος] Timoth. p. 8,4 ὅτι ὥρᾳ θέρους τινάσσων τὰς σταφυλὰς ἀπὸ τῆς ἀμπέλου κατέρχεται καὶ κυλίσας ἑαυτὸν ταῖς ἀκάνθαις περιπείρει τὰς ῥᾶγας, καὶ οὕτως ἔρχεται ἐπὶ τὸν φωλεὸν ὡς ἔχει κομῶν ταῖς σταφυλαῖς. cf. Plut. de solert. anim. XVI 9 p. 971 F  4 ἐκ τοῦ Ἀριστοτέλους] Arist. mirab. ausc. 65 p. 835a26 φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρι ἐνιαυτοῦ  7 δερματοπτέρων] cf. Arist. hist. anim. A 1 p. 487b22 καὶ γὰρ τὰ δερμόπτερα πεζεύει, καὶ νυκτερίδι πόδες εἰσί. Arist. part. anim. Δ 13 p. 697b10 εἰσὶ γὰρ δερμόπτεροι  17 ὅτι] cf. Ael. nat. anim. VI 45 (p. 160,5—6 Herch.)  19 τετράπουν] Basil. Magn. Hom. VII in Hexaemeron ed. Mignii Patrol. Gr. vol. XXIX p. 181 A  26 λέγεται] Arist. mirab. ausc. 129 p. 842b32

3 αὐτοῦ D  9 διστιχεῖς in διστίχους vel διστοίχους mutandum  12 συγκαθησάσης D  16 σκνιπολογοῦσα scripsi: συνίπολογοῦσα D  17 Ἡλιανοῦ D  Ὅτι D: ὅτι deest Ael.  πελαργὸν D: δὲ καὶ πελαργὸν Ael.  18 ἐκείνην Ael.: ἐκείνη D  19 τετράπουν D: πῶς τετράπουν Bas.  20 πτηνὸν Bas.: πτηνῶν D  καὶ μόνη D: πῶς μόνη Bas.  21 ζῳοτοκεῖ editiones Bas. praeter Mignium  ἀέρει D  22 καὶ μέντοι D: πῶς μέντοι Bas.  23 τι] τί D: τὸ ex quatuor codd. Mignius  24 ἤρτηνται Bas.  26 ἐν D: δὲ καὶ ἐν Arist.

τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίνεσθαι, καὶ τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας. ἐνίους δὲ καὶ πλεῖον.

(445) Ἐκ τῆς Ἑξαημέρου τοῦ θείου Βασιλείου. Βόες κατακεκλεισμένοι χρονίως ἐν ὥρᾳ χειμερινῇ ἤδη ποτὲ τοῦ ἔαρος προσιόντος τῇ φυσικῇ αἰσθήσει τὴν μεταβολὴν ἐκδεχόμενοι ἐκ τῶν βοοστασίων πρὸς τὰς ἐξόδους ὁρῶσι πάντες ὑφ' ἑνὶ συνθήματι μεταβαλόντες τὸ σχῆμα.

(446) Ἀριστοφάνους. Ἡ κάμηλός ἐστι μὲν χαυλιόδους καὶ διχηλὴ καὶ ὀπισθουρητική. βαδίζει δὲ κατὰ σκέλος, καθάπερ καὶ ὁ λέων. (447) ἔχει δὲ ἡ κάμηλος ἐπὶ τοῦ νώτου τὸν καλούμενον ὕβον· αἱ δὲ Βακτριαναὶ κάμηλοι δύο ὕβους ἐπὶ τοῦ νώτου ἔχουσιν. (448) ἔχει δὲ καὶ ἀστράγαλον ἐν τοῖς ὀπισθίοις σκέλεσι | καθάπερ πάντα τὰ διχηλά. f. 373v
(449) ἔχει δὲ καὶ ἡ θήλεια θηλὰς μὲν τέσσαρας, μαστοὺς δὲ δύο καὶ γάλα λεπτότατον πάντων τῶν ζῴων. (450) ἔχει δὲ καὶ τὸ αἰδοῖον ὁ ἄρρην ἔξω βλέπον, ὃ ἐν τῇ ὀχείᾳ γίνεται μακρὸν καὶ λεπτόν, ὅμοιον νεύρῳ· χρῶνται γοῦν τινες αὐτῷ εἰς τὰ τόξα. (451) ἀνατμηθεῖσα δὲ Ἀραβία κάμηλος ἧπαρ ἔχει φολιδωτὸν καὶ μακρὸν καὶ ἐξοχὰς ἔχον μικράς· χολὴν δὲ οὐκ ἔχει θεωρητήν. τύπον δέ τινα ⟨χολ⟩ώδη οὗ καὶ γευόμενοι χολῆς ἀντιλαμβανόμεθα. (452) ἔχει δὲ καὶ ἡ κάμηλος κοιλίας τέσσαρας. (453) ἄρχεται δὲ ὀχεύειν καὶ ὀχεύεσθαι τριετὴς γενομένη. ὀχεύει δὲ τῆς

3 βόες] Bas. Magn. Hom. IX in Hexaemeron ed. Mignii Patrol. Graec. vol. XXIX p. 193 B
8 ὀπισθουρητική] Arist. hist. anim. B 1 p. $500^{b}15$ ἔνια δ' ὀπισθουρητικά ἐστιν, οἷον λύγξ καὶ λέων καὶ κάμηλος καὶ δασύπους. cf. Arist. l. c. E 14 p. $546^{b}1$ βαδίζει] Arist. l. c. B 1 p. $498^{b}7$ κατὰ σκέλος δὲ βαδίζουσιν ὅ τε λέων καὶ αἱ κάμηλοι ἀμφότεραι, αἵ τε Βακτριαναὶ καὶ αἱ Ἀράβιαι 9 ἔχει] Arist. l. c. B 1 p. $499^{a}13$ αἱ δὲ κάμηλοι ἴδιον ἔχουσι παρὰ τἆλλα τετράποδα τὸν καλούμενον ὕβον ἐπὶ τῷ νώτῳ. διαφέρουσι δ' αἱ Βάκτριαι τῶν Ἀραβίων· αἱ μὲν γὰρ δύο ἔχουσιν ὕβους, αἱ δ' ἕνα μόνον, ἄλλον δ' ἔχουσιν ὕβον τοιοῦτον οἷον ἄνω ἐν τοῖς κάτω, ἐφ' οὗ, ὅταν κατακλιθῇ εἰς γόνατα, ἐστήρικται τὸ ἄλλο σῶμα. θηλὰς δ' ἔχει τέτταρας ἡ κάμηλος ὥσπερ βοῦς, καὶ κέρκον ὁμοίαν ὄνῳ, καὶ τὸ αἰδοῖον ὄπισθεν . . . 22 καὶ ἀστράγαλον ὅμοιον μὲν βοΐ, ἰσχνὸν δὲ καὶ μικρὸν ὡς κατὰ τὸ μέγεθος. ἔστι δὲ διχαλὸν καὶ οὐκ ἀμφώδον
12 θηλὰς] cf. Arist. l. c. B 1 p. $500^{a}29$ ἔχει δὲ καὶ ἡ κάμηλος μαστοὺς δύο καὶ θηλὰς τέτταρας γάλα] Arist. l. c. Γ 20 p. $521^{b}32$ ἔστι δὲ λεπτότατον μὲν γάλα καμήλου, δεύτερον δ' ἵππου, τρίτον δὲ ὄνου· παχύτατον δὲ τὸ βόειον 14 ὅμοιον νεύρῳ] Arist. l. c. E 2 p. $540^{a}18$ τὸ δ' αἰδοῖον ἔχει ὁ κάμηλος νεῦρον (Aub. νεύρινον) οὕτως ὥστε καὶ νευρὰν ἐκ τούτου ποιεῖσθαι τοῖς τόξοις 16 χολὴν] Arist. part. anim. Δ 2 p. $676^{b}27$ οὐκ ἔχει δ' οὐδ' ἡ κάμηλος ἀποκεκριμένην (χολήν), ἀλλὰ φλέβια χολώδη μᾶλλον. cf. part. anim. Δ 2 p. $677^{a}34$
18 ἔχει] cf. Arist. l. c. Γ 14 p. $674^{b}5$, 14 19 ἄρχεται] Arist. hist. anim. E 14 p. $546^{b}4$ ἄρχεται δὲ τῆς ὀχείας ἡ θήλεια τριετὴς οὖσα καὶ ὁ ἄρρην τριετὴς ὤν· μετὰ δὲ τὸν τόκον ἓν ἔτος διαλιποῦσα ὀχεύεται ἡ θήλεια. Hist. anim. E 2 p. $540^{a}13$ αἱ δὲ κάμηλοι ὀχεύονται τῆς θηλείας καθημένης· περιβεβηκὼς δὲ ὁ ἀνὴρ ὀχεύει οὐκ ἀντίπυγος, ἀλλὰ καθάπερ καὶ τὰ ἄλλα τετράποδα· καὶ διημερεύει τὸ μὲν ὀχεῦον τὸ δ' ὀχευόμενον

1 ἔθνεσι Arist.: ἐν μεγέθεσι D 1. 2 τέσσαρας χόας Arist.: δύ χοὰς D 3 βόες δὲ Bas. 5 βοοστασίων septem codd. Bas. Mignius: βοστασίων D: βουστασίων editiones Bas. 9 ὕβον et ὕβους (10) scripsi: κύβον et κύβους D 10 ἐπὶ τοῦ νώτου scripsi: ἐπὶ τὸν νῶτον D 12 θηλὰς scripsi: χηλοὺς D 15 ἀρραβία D 17 τύπον D: non opus est velut τόπον χολώδη scripsi ex Arist. . . . ώδη: cetera blattis corrosa D

θηλείας συγκαθισάσης· ἐπιβαίνει δὲ ὁ ἄρρην καὶ ἀντιστρέψας τὸ αἰδοῖον, ἅτε μακρὸν ὑπάρχον, ἐνίησι, καὶ διατελεῖ ὀχεύων ἡμέραν μίαν. (454) κύει δὲ μῆνας δέκα. τῷ δὲ ἑνδεκάτῳ τίκτει, καὶ πάλιν διαλιποῦσα ἐνιαυτὸν σκυζᾷ. (455) κάμνουσι δὲ αἱ κάμηλοι νοσήμασι δυσί, στρόφῳ καὶ λύσσῃ, τουτέστι μανίᾳ, καὶ τούτοις ἀναιροῦνται. (456) χαίρει δὲ ἡ κάμηλος ποτῷ μὲν θολερῷ, τροφῇ δὲ βουκέρατι, τουτέστι τίλει. (457) λέγεται δὲ ὡς οὐκ ἀναβαίνει ὁ κάμηλος ⟨ἐπὶ⟩ τὴν μητέρα, ἀλλὰ κἂν βιάσηταί τις φεύγει. καὶ τὸν παραλογισάμενον δέ ποτε καμηλίτην, ἐπεὶ κατεκάλυψε τὴν μητέρα, ὕστερον ἐπιγνούς, δάκνων ἀπέκτεινεν. (458) ἐκτέμνονται δὲ οἱ ἄρρενες καὶ θλῶνται αἱ θήλειαι τὰς λεγομένας καπρίας, τουτέστι τὰς ἐντὸς τῶν περιττωμάτων τῆς κύστεως ἐπανεστώσας σάρκας. [διὰ] τοῦτο δὲ γίνεται ὅταν εἰς πόλεμόν τις βούληται αὐταῖς χρήσασθαι· οὐδὲ γὰρ ἔτι συλλαμβάνουσι. (459) ζῶσι δὲ αἱ κάμηλοι ἔτη πεντήκοντα, αἱ δὲ Βακτριαναὶ ἑκατόν.

(460) Αἰλιανοῦ. Οἱ κάμηλοι ἐμφανῶς ταῖς θηλείαις καμήλοις οὐχ ὁμιλοῦσιν· ἀλλὰ καὶ ὁ νομεὺς ἀπαλλάττεται, ὅταν αἴσθηται αὐτοὺς πρὸς ἀλλήλους ἰόντας. (461) ἵπποι δὲ αὐτὰς δεδοίκασιν, εἰ μὴ συντραφῶσιν. (462) οἱ δέ γε Σαγαραῖοι ἔχουσι καμήλους ταχυτάτας καὶ πολεμιστὰς ἔχουσιν αὐτούς.

(463) Ὕδωρ δὲ διειδὲς πιεῖν μισεῖ. ἀφικνουμένη δὲ εἰς λίμνην ἢ ποταμόν, εἰ μὴ ταράξῃ, οὐ πίνει. μένει δὲ ἄποτος ἡμέρας ὀκτώ.

---

2 κύει] Arist. hist. anim. Z 26 p. 578a10 ἡ δὲ κάμηλος κύει μὲν δέκα μῆνας, τίκτει δ' ἀεὶ ἓν μόνον. sed cf. Arist. l. c. E 14 p. 546b3 κύει δὲ δώδεκα μῆνας 4 σκυζᾷ] cf. Suidam s. v. Aubert not. in p. 483 κάμνουσι] Arist. hist. anim. Θ 22 p. 604a10 λαμβάνει δ' ἡ λύττα καὶ τὰς καμήλους στρόφος] de camelorum hoc morbo nihil constat 5 χαίρει] Arist. l. c. Θ 8 p. 595b31 ἡ δὲ κάμηλος πίνει ἥδιον θολερὸν καὶ παχύ, οὐδ' ἀπὸ τῶν ποταμῶν πρότερον πίνει ἢ συνταράξαι 7 λέγεται] Arist. l. c. I 47 p. 630b31 οἱ δὲ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάζηταί τις οὐ θέλουσιν. ἤδη γάρ ποτε, ἐπεὶ οὐκ ἦν ὀχεῖον, ὁ ἐπιμελητὴς περικαλύψας τὴν μητέρα ἐφῆκε τὸν πῶλον· ὡς δ' ὀχεύσαντος ἀπέπεσε, τότε μὲν ἀπετέλεσε τὴν συνουσίαν, μικρὸν δ' ὕστερον δακὼν τὸν καμηλίτην ἀπέκτεινεν. cf. Arist. mirab. ausc. 2 p. 830b5 10 ἐκτέμνονται] Arist. hist. anim. I 48 p. 632a21 ἐκτέμνεται δὲ καὶ ἡ καπρία τῶν θηλειῶν ὑῶν, ὥστε μηκέτι δεῖσθαι ὀχείας ἀλλὰ πιαίνεσθαι ταχέως. ἐκτέμνεται δὲ νηστεύσασα δύο ἡμέρας, ὅταν κρεμάσωσι τῶν ὀπισθίων σκελῶν. τέμνουσι δὲ τὸ ἦτρον, ᾗ τοῖς ἄρρεσιν οἱ ὄρχεις μάλιστα φύονται· ἐνταῦθα γὰρ ἐπὶ ταῖς μήτραις ἐπιπέφυκεν ἡ καπρία, ἧς μικρὸν ἀποτέμνοντες συρράπτουσιν. ἐκτέμνονται δὲ καὶ αἱ κάμηλοι αἱ θήλειαι, ὅταν εἰς πόλεμον χρῆσθαι αὐταῖς βούλωνται, ἵνα μὴ ἐν γαστρὶ λάβωσιν. cf. Ael. nat. anim. IV 55 (p. 106, 19—23 Herch.) 13 ζῶσι] Arist. hist. anim. Z 26 p. 578a12 ζῇ δὲ χρόνον πολύν, πλείω ἢ πεντήκοντα ἔτη. cf. Ael. nat. anim. IV 55 (p. 106, 17—19 Herch.) 15 οἱ κάμηλοι] cf. Ael. l. c. VI 60 (p. 166, 32—167, 7 Herch.) 17 ἵπποι] cf. Ael. l. c. III 7 (p. 61, 29—31 Herch.) 18 οἱ δέ γε Σαγαραῖοι] cf. Ael. l. c. XII 34 (p. 310, 5—8 Herch.) 20 ὕδωρ δὲ διειδὲς—ἡμέρας ὀκτὼ (21)] haec apud Aelianum non inveniuntur; sed cf. Arist. hist. anim. Θ 8 p. 595b31

---

1 συγκαθησάσης D 6 βουκεράτη D τίλει scripsi: λείᾳ D cf. Hippiatr. p. 264 βουκέρου ὅ ἐστι τίλεως. 7 ἐπὶ addidi 10 ἐκτέμονται D 12 διατοῦτο D: διὰ delevi 15 Ἠλιανοῦ culpa rubricatoris D Ὀι D

(464) Ἐν δὲ Κασπίᾳ κάμηλοι αἱ μέγισταί εἰσι κατὰ τοὺς ἵππους τοὺς μεγίστους, εὔτριχες δὲ ἅμα καὶ ἁπαλότριχες ὡς καὶ τοῖς Μιλησίοις ἐρίοις ἀντικρίνεσθαι τῇ μαλακότητι. | οὐκοῦν ἐκ τούτων οἱ ἱερεῖς ἐσθῆτα f. 374r ἀμφιέννυνται καὶ οἱ τῶν Κασπίων πλουσιώτατοι καὶ δυνατώτατοι. καμήλου κρέας ἥδεται λέων ἐσθίων μᾶλλον τῶν ἄλλων, καὶ κάμηλον εἰ θεάσηται, ἐπ' αὐτὴν πηδᾷ ἐπιθυμίᾳ βρώσεως.

(465) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Δότε μοι τοὺς τραγῳδοὺς πρὸς τοῦ πατρῴου Διὸς καὶ πρό γε ἐκείνων τοὺς μυθοποιοὺς ἐρέσθαι τί βουλόμενοι τοσαύτην ἄγνοιαν τοῦ παιδὸς τοῦ Λαΐου καταχέουσι κα⟨ὶ τοῦ Τη⟩λέφου τοῦ συνελθόντος τῇ μητρὶ τὴν δυστυχῆ σύνοδον, τοῦ μὴ πειρ⟨αθέ⟩ντος μὲν τῆς ὁμιλίας, συγκατακλιθέντος δὲ τῇ γειναμένῃ καὶ πράξαντος ἂν τὰ αὐτά, εἰ μὴ πολλάκις θείᾳ πομπῇ διεῖρξεν ὁ δράκων· εἴ γε ἡ φύσις τοῖς ἀλόγοις ζῴοις τὴν τοιαύτην μῖξιν καὶ ἐκ τοῦ χρωτὸς προσαψαμένοις δίδωσι κατανοῆσαι, καὶ οὐ δεῖται γνωρισμάτων οὐδὲ τοῦ ἐκθέντος εἰς τὸν Κιθαιρῶνα, ὡς ὁ Οἰδίπους ὁ τοῦ Σοφοκλέους. οὐκ ἂν γοῦν ποτε τῇ τεκούσῃ ὁμιλῆσαι κάμηλος. ὁ δέ τοι νομεὺς τῆς ἀγέλης κατακαλύψας τὸ θῆλυ ὡς οἷόν τε ἦν καὶ ἀποκρύψας πάντα πλὴν τῶν ἄρθρων, τὸν παῖδα ἐπάγει τῇ μητρί, καὶ ἐκεῖνος λάθριος ὑπὸ τῆς ὁρμῆς τῆς πρὸς μῖξιν ἔδρασε τὸ ἔργον καὶ συνῆκε. καὶ τὸν μὲν αἴτιον τῆς ὁμιλίας οἱ τῆς ἐκθέσμου δάκνων καὶ πατῶν καὶ τοῖς γόνασι παίων ἀπέκτεινεν ἀλγεινότατα, ἑαυτὸν δὲ κατεκρήμνισεν. ἀμαθῶς δὲ καὶ κατὰ τοῦτο Οἰδίπους, οὐκ ἀποκτείνας, ἀλλὰ πηρώσας τὴν ὄψιν καὶ τὴν τῶν κακῶν λύσιν μὴ γνοὺς ἐξὸν ἀπηλλάχθαι καὶ μὴ τῷ οἴκῳ καὶ τῷ γένει καταρώμενον εἶτα μέντοι κακῷ ἀνηκέστῳ ἰᾶσθαι κακὰ τὰ ἤδη παρελθόντα.

(466) Ἐκ τοῦ Τιμοθέου. Ῥωμαλέον τι ζῷον ἡ κάμηλος καὶ φερέπονον τὴν ἰσχύν, καὶ εἰ μὴ χαλεπὸν ἦν αὐτῇ προσιζήσασαν ἀναστῆναι, τάχα δὴ καὶ ὅσον νῆες τὸν φόρτον ὑπέφερεν. (467) αὗται δὲ πορευό-

---

1 ἐν δὲ Κασπίᾳ] cf. Ael. nat. anim. XVII 34 (p. 427, 24—30 Herch.) 4 καμήλου] cf. Ael. l. c. XVII 36 (p. 428, 13—23 Herch.) 7 Δότε] Ael. l. c. III 47 (p. 79, 17—80, 7 Herch.) 25 ῥωμαλέον] Timoth. p. 20, 9 Haupt. κεφ. λβ'. περὶ καμήλου. ὅτι αἱ κάμηλοι μέγα φορτίον φέρειν ἠδύναντο, εἰ μὴ εἰώθεσαν καθεζόμεναι ἐπιφορτίζεσθαι καὶ οὕτως αὐτοῖς φορτίοις ἀνίστασθαι 27 αὗται] Timoth. p. 20, 12 ὅτι ἐν μεσημβρίᾳ πλέον τῶν ἄλλων ζῴων ὁδεύουσι, καὶ πρὸς ἀστέρας ἐν νυκτὶ τὰς ὁδοὺς γινώσκουσιν· ὅθεν ἐπ' αὐταῖς οἱ Ἰνδοὶ τὴν χρυσῖτιν κόνιν τῶν Ἰνδικῶν μυρμήκων κλέπτουσι πρὸς ἀνατολὰς ὁδεύοντες. cf. Herod. III 102—106

---

1 μέγισταί scripsi: μέγιστοι D 2 μιλησίοις ex μιλισίοις correxit D[1] 7 Δότε Ael.: Τότέ culpa rubricatoris D 9. 10 καὶ τοῦ Τηλέφου Ael.: κα . . . . . . λέφου cetera blattis corrosa D: post σύνοδον transponit Hercher 10 τοῦ μὴ D Ael.: καὶ μὴ Gesner 10. 11 πειραθέντος Ael.: πειρ . . . . . τος cetera blattis corrosa D 11 συγκατακλινέντος Ael. 12 πολλάκις delevit Jacobs πομπὴ D 13 προσαψαμένοις delevit Hercher 15 κιθερῶνα D ὡς ὁ Οἰδίπους ὁ τοῦ Σοφοκλέους delevit Hercher 16 ὁμιλῆσαι Ael.: ὁμιλῆσαι D: ὁμιλήσειε Hercher δέ τοι ut coni. Jacobs D: γάρ τοι Ael. 16. 17 τὸ θῆλυ D: τὸν θῆλυν Ael. 18 ὑπὸ τῆς D: ὑπὸ Ael. 21 ἀμαθῶς D Ael.: ἀμαθὴς Hercher (?) ἀποκτείνας ⟨ἑαυτὸν⟩ Schneider 24 ἤδη Ael.: ἤθη D 27 ὑπέφερεν scripsi: ὑπέφερον D

μεναι τῆς νυκτὸς ὁρῶσι πρὸς τοὺς ἀστέρας καὶ ἴσασί πως τὸν ἐκείνων δρόμον ἐξακριβοῦν. ἀμέλει τοι καὶ Ἰνδοὶ μακρὰν ἀνύοντες τρίβον καθάπερ ὁδηγοῖς ταύταις ἑαυτοὺς ἐπιτρέψαντες εἶτα τὴν χρυσῖτιν ἐκεῖθεν τῶν μυρμήκων ἀποσυλῶσι γῆν. (468) λέγεται δ' οὖν ἡ κάμηλος ἀραμένη φόρτον εὐθὺς ὀκλάζειν καὶ αὖ ὑπανίστασθαι, πειρωμένη δή πως εἰ εὐάγωγον αὐτῇ εἴη τὸ ἄχθος, καὶ εἰ αἴσθοιτο μεῖζον ὂν ἢ κατὰ δύναμιν φεύγει | καὶ ἀπαναί- f. 374v νεται καὶ οὐκ ἂν ἰζῆσαι πεισθείη, οὐδὲ ἀροῖτο ἂν τὸν φόρτον κἂν εἰ πολλοῖς αὐτὴν ῥοπάλοις συγκόψαις. δοκὸν δὲ μηκίστην ἄγουσα, ἡνίκα δὰν καὶ βούλοιτο συνθλάσαι, πρόνοιαν ποιεῖται τῆς κεφαλῆς μὴ καὶ προσπῖπτον αὐτῇ λυπήσῃ τὸ ξύλον· τὴν γοῦν κάραν ἑτέρ⟨ωθ⟩ι νεύσασα δεξιῶς ἐκφεύγει τὴν βλάβην. (469) ἄγριοι μέντοι καὶ δυση⟨νίασ⟩τοί εἰσι σφόδρα περὶ τὴν ὀχείαν ὄντες οἱ ἄρρενες, καὶ οὐκ ἄν τις αὐτ⟨οῖς⟩ προσελθὼν ἢ καὶ ὀφθεὶς μακρόθεν ἀπαθὴς κακῶν ἀπαλλάξει. (470) ἐὰν δὲ μάλα λυττῶσιν αἱ κάμηλοι, καὶ ἀνθρώποις ἐπιτίθενται καὶ θοινῶνται αὐτῶν τὰς σάρκας. παύονται δὲ τῆς λύττης ἀγρυπνίᾳ τὴν ῥώμην ἐπιτριβεῖσαι· ἐκχέει γάρ πως τὴν λύτταν ἀπὸ τῶν ὀφθαλμῶν εἰ μὴ αὐτοὺς ἔχει καταμύειν τῷ ὕπνῳ. (471) τυφθεῖσα δὲ δυσόργητός ἐστι, καὶ οὐ λήθην ἕξει τῆς βλάβης, οὐδὲ παύσαιτο ἂν εἰς καιρὸν κλέπτουσα, πρὶν ἢ ἀμύνασθαι τὸν ἄρξαντα βλάβης. τυπτομένη δὲ σιωπᾷ, οὐδὲ βοήσει οὐδὲ στεναγμὸν ἀφήσει, ἀλλ' ἐν τῷ βαθυτάτῳ κρύψει τῆς καρδίας τὴν λύπην. οἶδε γὰρ ὡς ἔχει φύσεως τὸ πικρὸν αὐτῆς τῷ φθόγγῳ συναπορρέειν. ὁ γοῦν ἐθέλων ἐκλύειν αὐτῇ τὸ ἔγκοτον, ἐς τοσοῦτον τυπτέτω, ἔστ' ἂν ἀφήσῃ μυκηθμόν. (472) λόγος δὲ κεκράτηκεν εἰς ἀκοὴν ἐμμελής, ὡς ἀνὴρ κάμηλον πιστευθείς, παραμένων αὐτῇ καὶ τῷ σταθμῷ προσκαθεύδειν συνειθισμένος, ἐπειδὴ ταύτην τύψειεν οὕτω συμβάν, σοφὸς ὢν ἄρα καὶ εἰδὼς ὅπως ἔχει τὸ ζῷον ὀργῆς, ἀστείως ἄγαν τὸν κίνδυνον ὑποφεύγει. ὡς γὰρ ἤδη νὺξ ἦν, καὶ ὁ κάμηλος εἰς τὴν εὐνὴν ὑπέβλεπεν ὑπνοῦντα τὸν ἄνδρα προσδεχόμενος, κατακλιθῆναι μὲν αὐτὸς προσποιεῖται, ἀσκὸν δὲ ὑπόπλεω πνεύματος συγκρύψας εἰς τὴν εὐνὴν ἠρέμα τε ὑπανίσταται, καὶ ἡσύχως ἑαυτὸν ὑπεξάγει, εἶτα μετέωρός που γενόμενος ἀπεσκόπει τὸ μέλλον. ἡ δὲ πρόσεισι μὲν τῇ κοίτῃ τῷ ὑβρικότι ἐπιβουλεύουσα, ὡς δ' αὐτὸν μὲν οὐχ εὕροι, τὸν δὲ ἀσκὸν ὥσπερ εἰς χλεύην

---

4 λέγεται] continuatur haud dubie e Timotheo 11 ἄγριοι] Timoth. p. 20,27 Haupt. ὅτι ὁ ἄρσην ἐν τῷ γαμεῖν ἐὰν ἴδῃ ἄνθρωπον, μαίνεται ἀνελεῖν. cf. Arist. hist. anim. Z 18 p. 571b23 13 ἐὰν δὲ] hoc quoque ut proximae paragraphi 471. 472 haud dubie e Timotheo petitae sunt

---

2 Ἰνδοὶ scripsi: ἰνδοῖς D 3 χρυσῖτιν scripsi e Timotheo (χρυσίτην, χρυσιτὴν Codd.): χρυσὴν D 4 ἡ scripsi: ὡς D 7 ἰζῆσαι D ἀροῖτο scripsi (nisi ἄραιτο corrigendum): ἄροιτο D 8, δ' ἂν D cf. Usener in Jahni ann. 1878,66 9 συνθλάσσαι D προσπῖπτον scripsi: προπίπτον D 10 τὸ ξύλον scripsi: τοῦ ξύλου D ἑτέρωθι scripsi: ἑτέρ . . ι cetera blattis corrosa D 11 δυσηνίαστοί scripsi: δυση . . . . τοι cetera blattis corrosa D 12 αὐτοῖς scripsi: αὐτ . . . D 13 ἀπαλλάξειε corrigendum videtur 16 ἔχει non intellego 20 οἶδε D. fortasse εἴωθε 22 ἀφήσῃ sic D μηκηθμόν D 27 ὑπέβλεπεν ex ὑπέβλεψεν correxit D[1]

αὐτῆς ἐγκείμενον, τῷ θυμῷ πιμπραμένη τὸν μὲν ἐς ὕψος ἀκοντίζει, τῇ φάτνῃ δὲ τὴν κεφαλὴν προσαράξασα, μόλις γοῦν τῷ θανάτῳ παύσασθαι τῆς ὀργῆς.

(473) Φασὶ δὲ τὴν κάμηλον καθ' ἕκαστον τόκον τίκτειν ἕν.

(474) Ἐν Ἰνδοῖς ταπίδες γίνονται κάλλισται καὶ ποικιλώταται | ἐκ f. 375r τῶν ἐρίων ὧν αἱ κάμηλοι φέρουσιν [ἐξ αὐτῶν] ἐπί ⟨τε⟩ τῆς κεφαλῆς καὶ ἐπὶ τῶν μηρῶν ἐπί τε τοῦ ἄλλου σώματος παντός. καὶ οὐ βέβαπται· παντοδαπὰ δὲ ἄνθη τῶν ἐρίων φύουσιν αἱ κ⟨άμη⟩λοι αἱ Ἰνδικαὶ πλὴν πορφυροειδοῦς καὶ πρασίνου καὶ φοι⟨νι⟩κίνου, τὰ δ' ἄλλα ἔχουσιν ἐρίων χρώματα αὐτοφυῆ αἱ κάμ⟨ηλοι.⟩ αἱ μὲν γὰρ σφόδρα λευκὰ φέρουσι τὰ ἔρια αὐτόθι, αἱ δὲ σφόδ⟨ρα μέ⟩λανα καὶ μαλακά, αἱ δὲ κυάνεα, αἱ δὲ ὥσπερ ὄνου τὴν χρ⟨όαν.⟩ αἱ δὲ πέλια, αἱ δὲ πυρρά, αἱ δὲ κροκοειδῆ, αἱ δὲ ἀτρέμας ὑπόχλωρα· ὡς δὲ τὸ σύμπαν εἰπεῖν, ἔρια παντοδαπὰ φύουσιν Ἰνδικαὶ κάμηλοι πλὴν τῶν εἰρημένων χρωμάτων. ἐκ τούτων οὖν τῶν ἐρίων καὶ χρωμάτων ποιοῦσι τὰς ταπίδας, καὶ οὐ βάπτουσι τὰ ἔρια, ἀλλὰ πολλῷ ταῦτα βελτίω εἰσὶ τῶν βαπτομένων καὶ οὐκ ἐξίτηλά ἐστιν ὥσπερ τὰ ἐκ τῶν προβάτων ἔρια βαπτόμενα. γίνεται δὲ καλὸν τὸ χρῶμα καὶ τὸ κτῆμα τῶν ταπίδων. οἶμαι δὲ ὅτι οὐδαμοῦ γῆς γίνονται παρομοίας φύσεως. οὐδὲ ζῷα ποικιλώτερα καὶ ὀρθότερα ἔχουσι ταπίδες † ἢ ἐν Ἰνδοῖς τὰ ἐκ τῶν καμήλων ποιοῦσιν ἔρια. ἄγουσι δὲ καὶ εἰς Πέρσας τούτων τῶν ταπίδων οἱ ἔμποροι [καὶ] οἱ Βάκτριοι καὶ οἱ ἄλλοι οἱ ἐμπορευόμενοι εἰς τὴν Ἰνδικὴν γῆν ἐπὶ τῶν καμήλων, καὶ πωλοῦσι τὰς τοιαύτας διαγεγραμμένας ταπίδας μάλα τιμίας, καὶ περὶ πολλοῦ αὐτὰς ποιοῦνται οἱ Πέρσαι, καὶ ὁ Ἰνδῶν βασιλεὺς δῶρα πέμπει τῷ Περσῶν βασιλεῖ τούτων τῶν ταπίδων. εἰσὶ δὲ καὶ ἀπὸ τῶν προβάτων ταπίδες ἐν τοῖς Ἰνδοῖς γινόμεναι, οἷαί περ ἐν Αἰγύπτῳ καὶ Σάρδεσι ποιοῦνται, καὶ βάπτουσι κἀκεῖνα καὶ ποικίλλουσιν, ἀλλ' οὐδὲν ὅμοιά εἰσι ταῖς ἐκ τῶν καμήλων ταπίσι γινομέναις.

(475) Ἐκ τῆς Ἑξαημέρου τοῦ θείου Βασιλείου. Μακρὸς ὁ τράχηλος τῆς καμήλου, ἵνα τοῖς ποσὶν ἐξισάζηται καὶ ἐφικνῆται τῆς βοτάνης ἐξ ἧς ἀποζῇ.

---

4 φασὶ] Timoth. p. 20,26 Haupt. ὅτι ἓν μόνον ἀεὶ τίκτει ἡ κάμηλος, οὐδέποτε δὲ δίδυμα 5 ἐν Ἰνδοῖς] probabiliter e Timotheo 28 μακρὸς] Basil. Magn. Hom. IX in Hexaem. ed. Mignii Patrol. Graec. vol. XXIX p. 200c

---

1 αὐτῆς scripsi: αὐτῇς D 2 προσαρράξασα D παύσασθαι scripsi: παῦσαι D 5 ταπίδες scripsi: τάπηδες D 6 ἐξ αὐτῶν delevi τε corrosum D 8 κάμηλοι scripsi: κ . . . λοι cetera blattis corrosa D 9 φοινικίνου scripsi: φοι . . κίνου cetera corrosa D χρώματα scripsi: χρήματα D 10 κάμηλοι scripsi: κάμ . . . . cetera corrosa D 10. 11 σφόδρα μέλανα scripsi: σφόδ . . . . λανα cetera corrosa D 11 χρόαν scripsi: χρ . . . cetera corrosa D 12 πυρά D 14 χρωμάτων (ante ποιοῦσι) scripsi: χρημάτων D 15 βελτίω scripsi: βέλτιον D 17 χρῶμα] fortasse χρῆμα cf. Isocr. 1,28 18 παρομοίας scripsi: ὑπουρανίας D 19 ἢ D: fortasse ὧν: *quam quas figuras* (ζῷα) *lanae camelinae efficiunt* cf. v. 26 ταῖς ἐκ τῶν καμήλων ταπίσι 20 καὶ delevi 24 τούτων scripsi: τούτῳ D εἰσὶ scripsi: ἐπεὶ D 26 καμήλων scripsi: ταπίτων D τάπισι D 26. 27 γινομέναις scripsi: γενομέναις D

(476) Ἀριστοφάνους. Ἔστι μὲν τῶν | δισχιδῶν συνοδόντων ὁ f. 375v ἔλαφος. οὐδὲν γὰρ τῶν τὰ κέρατα ἐχόντων οὔτε χαυλιόδουν ἐστὶν οὔτε καρχαρόδουν, οὔτε τοὺς ἄν⟨ωθεν⟩ ὀδόντας ἔχει διὰ τὸ εἰς τὴν τῶν κεράτων φύσιν αὐτοὺς ἀπολ⟨ε⟩λύσθαι. (477) ἔχει δὲ ὁ ἔλαφος μόνος τῶν κερατοφόρων τὰ κέρ⟨ατα⟩ δι' ὅλου στερεά, τῶν ἄλλων τὰ προσφυῆ τῷ κρανίῳ κοῖλα ἐχ⟨όντων.⟩ (478) ἀποβάλλει δὲ ὁ ἔλαφος τὰ κέρατα κατ' ἔτος. (479) ἔχει δὲ αἰδο⟨ῖον⟩ μακρὸν καὶ νευρῶδες, ὅμοιον καμήλου. (480) διοιχθεῖσα δὲ χολὴν μὲν οὐκ ἔχει, αἱ δὲ λεγόμεναι ἀχαΐναι ἐν τῇ κέρκῳ τὴν χολὴν ἔχουσι. τῶν δὲ μὴ ἐχουσῶν χολὴν τὸ ἔντερον τοῖς γευομένοις πικρὸν ὑπάρχει. (481) ἔχει δὲ καὶ αὐτὴ κοιλίας τέσσαρας, ἐχῖνον κεκρύφαλον ἤνυστρον καὶ τὴν ἰδίως λεγομένην κοιλίαν. (482) ὁ δὲ ἄρρην τὸ μὲν αἰδοῖον ἔχει ἐκτός, τοὺς δὲ ὄρχεις παρὰ τοὺς νεφρούς. ἐκτμηθεὶς δὲ τοὺς ὄρχεις οὐκέτι φέρει κέρατα, εἰ δὲ τύχῃ ἔχων ⟨οὐκ⟩ ἀποβάλλει.

---

1 δισχιδῶν] Arist. hist. anim. B 1 p. 499b9 τὰ δὲ δισχιδῆ καὶ ἀντὶ τῶν ὀνύχων χηλὰς ἔχει, ὥσπερ πρόβατον καὶ αἴξ καὶ ἔλαφος καὶ ἵππος ὁ ποτάμιος 2 οὐδὲν] Arist. part. anim. Γ 2 p. 663b31 τὴν γοῦν τοιούτου σώματος περισσωματικὴν ὑπερβολὴν ἐν τοῖς μείζοσι τῶν ζῴων ὑπάρχουσαν ἐπὶ βοήθειαν καὶ τὸ συμφέρον καταχρῆται ἡ φύσις, καὶ τὴν ῥέουσαν ἐξ ἀνάγκης εἰς τὸν ἄνω τόπον τοῖς μὲν εἰς ὀδόντας καὶ χαυλιόδοντας ἀπένειμε, τοῖς δ' εἰς κέρατα. διὸ τῶν κερατοφόρων οὐδέν ἐστιν ἄμφωδον· ἄνω γὰρ οὐκ ἔχει τοὺς προσθίους ὀδόντας· ἀφελοῦσα γὰρ ἐντεῦθεν ἡ φύσις τοῖς κέρασι προσέθηκε, καὶ ἡ διδομένη τροφὴ εἰς τοὺς ὀδόντας τούτους εἰς τὴν τῶν κεράτων αὔξησιν ἀναλίσκεται 4 ἔχει] Arist. l. c. Γ 2 p. 663b12 ἔστι δὲ τὰ κέρατα δι' ὅλου στερεὰ τοῖς ἐλάφοις μόνοις, καὶ ἀποβάλλει μόνον, ἕνεκεν μὲν ὠφελείας κουφιζόμενον, ἐξ ἀνάγκης δὲ διὰ τὸ βάρος. τῶν δ' ἄλλων τὰ κέρατα μέχρι τινὸς κοῖλα, τὰ δ' ἄκρα στερεὰ διὰ τὸ πρὸς τὰς πληγὰς τοῦτ' εἶναι χρήσιμον 6 ἀποβάλλει] Arist. hist. anim. B 1 p. 500a10 ἀποβάλλει δὲ τὰ κέρατα μόνον ἔλαφος κατ' ἔτος, ἀρξάμενος ἀπὸ διετοῦς, καὶ πάλιν φύει. cf. Arist. l. c. Γ 9 p. 517a25 7 ἔχει] Arist. l. c. B 1 p. 500b22 τὰ δὲ (αἰδοῖα) νευρώδη, οἷον καμήλου καὶ ἐλάφου 8 χολὴν] Arist. l. c. B 15 p. 506a20 χολὴν δὲ τῶν ζῴων τὰ μὲν ἔχει, τὰ δ' οὐκ ἔχει ἐπὶ τῷ ἥπατι. τῶν μὲν ζῳοτόκων καὶ τετραπόδων ἔλαφος οὐκ ἔχει οὐδὲ πρόξ, ἔτι δὲ ἵππος, ὀρεύς, ὄνος, φώκη καὶ τῶν ὑῶν ἔνιοι. τῶν δ' ἐλάφων αἱ Ἀχαΐναι καλούμεναι δοκοῦσιν ἔχειν ἐν τῇ κέρκῳ χολήν. ἔστι δ' ὃ λέγουσι τὸ μὲν χρῶμα ὅμοιον χολῇ, οὐ μέντοι ὅλον ὑγρὸν οὕτως, ἀλλ' ὅμοιον τῷ τοῦ σπληνὸς τὰ ἐκτός 9 τῶν δὲ μὴ ἐχουσῶν] Arist. l. c. B 15 p. 506a31 χολὴν μὲν οὖν οὐκ ἔχουσιν οἱ ἔλαφοι, ὥσπερ εἴρηται· τὸ δ' ἔντερον αὐτῶν ἐστι πικρὸν οὕτως ὥστε μηδὲ τοὺς κύνας ἐθέλειν ἐσθίειν, ἂν μὴ σφόδρα πίων ᾖ ὁ ἔλαφος 10 ἔχει] Arist. part. anim. Γ 14 p. 674b7 τούτων δ' ἕκαστον πλείους ἔχει κοιλίας, οἷον πρόβατον, βοῦς, αἴξ, ἔλαφος . . . διὸ τὰ τοιαῦτα τῶν ζῴων πλείους ἔχει τόπους καὶ μόρια. καλοῦνται δὲ ταῦτα κοιλία καὶ κεκρύφαλος καὶ ἐχῖνος καὶ ἤνυστρον 12 ἐκτμηθεὶς] Arist. hist. anim. I 48 p. 632a10 οἱ δ' ἔλαφοι ἐὰν μὲν μή πω τὰ κέρατα ἔχοντες διὰ τὴν ἡλικίαν ἐκτμηθῶσιν, οὐκέτι φύουσι κέρατα· ἐὰν δ' ἔχοντας ἐκτέμῃ τις, τό τε μέγεθος ταὐτὸν μένει τῶν κεράτων, καὶ οὐκ ἀποβάλλουσιν

---

2 οὐδὲν scripsi: οὐδενὶ D οὔτε (post ἐχόντων) scripsi: οὐδὲ D 3 ἄνωθεν scripsi: ἄν . . . . cetera blattis corrosa D 4 ἀπολ. λυσθαι, ε littera corrosa D: desideres ἀναλελύσθαι vel ἀνηλῶσθαι 5 κέρατα δι' ὅλου στερεά Arist.: κερ . . . διόλου στερὰ cetera corrosa D τῷ κρανίῳ scripsi: τῶν κρανίων D 6 ἐχόντων scripsi: ἐχ . . . . . cetera corrosa D 7 αἰδοῖον scripsi: αἰδο . . . cetera corrosa D 8 ἀχαΐναι scripsi ex Arist.: ἀχαΐ,καὶ D 10. 11 κεκρύφαλον scripsi: καικρύφαλον D 12 ἐκτός D 13 οὐκ om. D: addidi

(483) ἔστι δὲ τὸ αἷμα τῆς ἐλάφου ἄπηκτον· οὐ γὰρ ἔχει ἶνας, διὸ οὐδὲ πήσσεται. (484) ἄρχεται δὲ ὀχεύειν καὶ ὀχεύεσθαι ἡ θήλεια ἄλλη ἄλλως πρὸς τοὺς τόπους ἐν οἷς καὶ βιοῖ. (485) ἔστι δὲ ἄγαν ἀφροδισιαστικὸν τοῦτο τὸ ζῷον. (486) βαίνει δὲ ὁ ἄρρην ὑποφευγούσης τῆς θηλείας· οὐ γὰρ ὑπομένει αὐτοῦ τὴν συντονίαν τοῦ αἰδοίου· ὥστε μὴ ἑστώσης ἐνίεσθαι τὸ σπέρμα, ἀλλ' ὑποτρεχούσης. (487) κύει δὲ ἡ ἔλαφος μῆνας ὀκτώ, τῷ δ' ἐνάτῳ τίκτει. κατεσθίει δὲ τὸ χόριον ὡς καὶ οἱ κύνες. τίκτει δὲ ἐν ταῖς τρίβοις· τὰ γὰρ θηρία εἰς τὰς ὁδοὺς οὐ προσέρχονται διὰ τοὺς ἀνθρώπους. (488) λέγεται δὲ ὡς παχυνθεῖσα ἐκτοπίζει, ἵνα μὴ συλληφθῇ, καὶ ὅτι τὸ ἀριστερὸν κέρας ἀποβαλοῦσα κατορύσσει φθόνῳ, ἵνα μὴ εὑρεθῇ, ἀντιφάρμακον ⟨νόσων⟩ τινῶν ὑπάρχον. πᾶσαι δὲ ἀποβάλλουσαι τὰ κέρατα κρύπτονται καθάπερ τὰ ὅπλα ἀποβεβληκυῖαι. (489) ὅταν δὲ πάλιν ἄρξηται αὐταῖς ὑποφύεσθαι τὰ κέρατα, ἡλιάζονται, ἵνα ὡς τάχιστα ξηραίνωσιν αὐτά. ἤδη δέ ποτε, φασίν, ἐφάνη ἔλαφος καὶ κιττὸν φυόμενον | ἔχουσα ἐπὶ τῶν κεράτων. (490) ἁλίσκονται δὲ σύριγγι καὶ αὐλῷ· f. 376r

1 ἔστι δὲ] Arist. hist. anim. Γ 19 p. 520 b 23 ἐξιὸν δὲ (τὸ αἷμα) ἔξω πήγνυται πάντων πλὴν ἐλάφου καὶ προκὸς καὶ εἴ τι ἄλλο τοιαύτην ἔχει τὴν φύσιν· τὸ δ' ἄλλο αἷμα πήγνυται, ἐὰν μὴ ἐξαιρεθῶσιν αἱ ἶνες. cf. Arist. Meteor. Δ 7 p. 384 a 25 καὶ τὸ αἷμα ὁμοίως· πήγνυται γὰρ τῷ ξηραίνεσθαι ψυχόμενον. ὅσα δὲ μὴ πήγνυται, οἷον τὸ τῆς ἐλάφου, τὰ τοιαῦτα ὕδατος μᾶλλον, καὶ ψυχρότατα ταῦτα· διὸ καὶ οὐκ ἔχει ἶνας· αἱ γὰρ ἶνές εἰσι γῆς καὶ στερεόν· ὥστε καὶ ἐξαιρεθεισῶν οὐ πήγνυται 3 ἔστι] Arist. l. c. Z 29 p. 578 b 32 ἐκκρίνονται οἱ ἄρρενες καθ' ἑαυτούς, καὶ διὰ τὴν ὁρμὴν τὴν τῶν ἀφροδισίων ἕκαστος μονούμενος βόθρους ὀρύττει. cf. Arist. l. c. Z 29 p. 579 a 4 ταῦτα δὲ ποιεῖ τὸ ζῷον διὰ τὸ φύσει λάγνον εἶναι. cf. Physiogn. 6 p. 811 b 2 4 βαίνει] Arist. l. c. E 2 p. 540 a 4 τῶν δὲ ζῳοτόκων καὶ μέγεθος ἐχόντων οὔτε τοὺς ἄρρενας ἐλάφους αἱ θήλειαι ὑπομένουσιν, εἰ μὴ ὀλιγάκις, οὔτε τοὺς ταύρους αἱ βόες διὰ τὴν τοῦ αἰδοίου συντονίαν, ἀλλ' ὑπάγοντα τὰ θήλεα δέχονται τὴν γονήν. cf. Arist. l. c. Z 29 p. 578 b 6 ἡ δ' ἔλαφος τὴν μὲν ὀχείαν ποιεῖται, καθάπερ ἐλέχθη πρότερον, τὰ πλεῖστα μὲν ἐξ ὑπαγωγῆς (οὐ γὰρ ὑπομένει ἡ θήλεια τὸν ἄρρενα πολλάκις διὰ τὴν συντονίαν), οὐ μὴν ἀλλὰ καὶ ὑπομένουσαι ἐνίοτε ὀχεύονται, καθάπερ τὰ πρόβατα· καὶ ὅταν ὀργῶσι, παρεκκλίνουσιν ἀλλήλας 6 κύει] Arist. l. c. Z 29 p. 578 b 13 κύει δ' ὀκτὼ μῆνας 7 κατεσθίει] Arist. l. c. I 5 p. 611 a 15 τῶν δ' ἀγρίων καὶ τετραπόδων ἡ ἔλαφος οὐχ ἥκιστα δοκεῖ εἶναι φρόνιμον τῷ τε τίκτειν παρὰ τὰς ὁδοὺς (τὰ γὰρ θηρία διὰ τοὺς ἀνθρώπους οὐ προσέρχεται), καὶ ὅταν τέκῃ, ἐσθίει τὸ χόριον (v. l. χωρίον D a) πρῶτον 9 λέγεται] Arist. l. c. I 5 p. 611 a 22 ἔτι δὲ ὁ ἄρρην ὅταν γένηται παχὺς (γίνεται δὲ σφόδρα πίων ὀπώρας οὔσης), οὐδαμοῦ ποιεῖ αὑτὸν φανερόν, ἀλλ' ἐκτοπίζει ὡς διὰ τὴν παχύτητα εὐάλωτος ὤν 10 ἀριστερὸν κέρας] Arist. l. c. I 5 p. 611 a 25 ἀποβάλλουσι δὲ καὶ τὰ κέρατα ἐν τόποις χαλεποῖς καὶ δυσεξευρέτοις· ὅθεν καὶ ἡ παροιμία γέγονεν "οὗ αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν." ὥσπερ γὰρ τὰ ὅπλα ἀποβεβληκυῖαι φυλάττονται ὁρᾶσθαι. λέγεται δ' ὡς τὸ ἀριστερὸν κέρας οὐδείς πω ἑώρακεν· ἀποκρύπτειν γὰρ αὐτὸ ὡς ἔχον τινὰ φαρμακείαν 12 ὅταν δὲ πάλιν] Arist. l. c. I 5 p. 611 b 14 ὅταν δ' αὐξηθῶσιν, ἡλιάζονται, ἵν' ἐκπέψωσι καὶ ξηράνωσι τὸ κέρας 14 ἤδη δέ ποτε] Arist. l. c. I 5 p. 611 b 17 ἤδη δ' εἴληπται ἀχαΐνης ἔλαφος ἐπὶ τῶν κεράτων ἔχων κιττὸν πολὺν πεφυκότα χλωρόν, ὡς ἁπαλῶν ὄντων τῶν κεράτων ἐμφύντα ὥσπερ ἐν ξύλῳ χλωρῷ. cf. Arist. mirab. ausc. 5 p. 831 a 2 15 ἁλίσκονται] Arist. hist. anim. I 5 p. 611 b 26 ἁλίσκονται δὲ θηρευόμεναι αἱ ἔλαφοι συριττόντων καὶ ᾀδόντων [lege αὐλούντων cf. p. 604 b 11 et Ael. nat. anim. XII 46 (p. 316, 27 Herch.)]

7 ἐννάτῳ D χωρίον D 11 νόσων om. D: addidi 13 ἡλιάζονται scripsi: ἡλιάζεται D

καταβάλλουσαι γὰρ τὰ ὦτα κοιμῶνται ὑπὸ τῆς ἡδονῆς. (491) ἱστορεῖ δὲ ⟨ὡ⟩ς πληγεῖσα ὑπὸ φαλαγγίου τινὸς ἢ ἄλλου θηρίου καρκίνους πο⟨ταμί⟩ους φαγοῦσα ὑγιάζεται. (492) ζῇ δὲ ἡ ἔλαφος ἔτη πλεῖστα. ἔστι δὲ ⟨τὸ⟩ μυθευόμενον, ὡς 'ἔλαφος τετρακόρωνος', τῶν εἰκῇ καὶ ὡς ἔτυχε πιστευομένων.

(493) Αἰλιανοῦ. Τὰ κέρατα ἀποβαλόντες ⟨ἔλα⟩φοι εἰσδύονται λόχμας· ἔρημοι γὰρ ἀμυντηρίων ὄντες φυλάττο⟨νται τ⟩οὺς ἐπιόντας. ἀλλὰ καὶ τὴν ἀκτῖνα δεδίασι· πρὶν ἢ γὰρ παγῆναι τοὺς καλουμένους χόνδρους, λαβεῖν φοβοῦνται ἥλιον, ἵνα μὴ τὴν σάρκα αὐτοῖς ὑποσήψῃ. (494) τίκτει δὲ παρὰ τὰς ὁδούς, τοὺς μὲν ἀνθρώπους ἐκφυγεῖν θαρροῦσα τῇ ταχύτητι, τῶν δὲ θηρίων τὰς ἐπιβουλὰς φεύγουσα. ἀμέλει γοῦν καὶ καταπιανθεῖσα οὐκ ἂν ἔτι τέκοι παρὰ τὰς ὁδούς· οἶδε γὰρ ὅτι δραμεῖν ἐστι νωθροτέρα. τίκτει οὖν ἐν τοῖς ἄγκεσι καὶ τοῖς δρυμοῖς καὶ ἐν τοῖς αὐλῶσιν. (495) ὅσοι δὲ λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα μὴ φύειν κακῶς λέγουσιν. Εὐριπίδης γὰρ καὶ Πίνδαρος καὶ Σοφοκλῆς ἐν τοῖς αὑτῶν ποιήμασι καὶ θήλειαν λέγουσι φύειν κέρατα. (496) λόγος δή που διαρρεῖ Τυρρηνικὸς ὁ λέγων τοὺς ὗς τοὺς ἀγρίους καὶ τοὺς ἐκεῖ ἐλάφους ὑπὸ δικτύων ἁλίσκεσθαι. συναγωνίζεται δὲ τῇ θήρᾳ ταύτῃ καὶ αὐλός. αὐλεῖ γὰρ ἀνὴρ τεχνίτης καὶ ὡς ὅτι μάλιστα πειρᾶται τοῦ μέλους ὑποχαλᾶν καὶ ὅτι ποτέ ἐστι τῆς μούσης σύντονον ἐᾷ, πᾶν δὲ ὅτι γλύκιστον αὐλῳδίας τοῦτο ᾄδει ἡσυχίᾳ τε καὶ ἠρεμίᾳ, καὶ τὸ μέλος εἰς τὰ ὦτα εἰσρεῖ καὶ διά γε τὸ ἄηθες δείματος ὑποπίμπλανται τὰ ζῷα, εἶτα κηλούμενα λήθην ἄρχεται πάσχειν ἐγγόνων καὶ χωρῶν. οὕτως οὖν καταγοητευθέντα ἐμπίπτει ταῖς πάγαις. (497) ἐν μέντοι Λιβύῃ συῶν ἀγρίων καὶ ἐλάφων ἀπορία ἐστί. (498) φασὶ δὲ καὶ τὸ τοῦ ἐλάφου κέρας θυμιώμενον τοὺς ὄφεις διώκειν. (499) ἔχει δὲ καὶ ὀστοῦν ἐν τῇ καρδίᾳ αὑτῆς ἡ ἔλαφος.

1 ἱστορεῖ] Arist. hist. anim. I 5 p. $611^{b}20$ ὅταν δὲ δηχθῶσιν αἱ ἔλαφοι ὑπὸ φαλαγγίου ἤ τινος τοιούτου, τοὺς καρκίνους συλλέγουσαι ἐσθίουσιν· δοκεῖ δὲ καὶ ἀνθρώπῳ ἀγαθὸν εἶναι τοῦτο πίνειν, ἀλλ' ἔστιν ἀηδές 2 ποταμίους] cf. Arist. l. c. Δ 2 p. $525^{b}6$ 3 ζῇ] Arist. l. c. Z 29 p. $578^{b}23$ περὶ δὲ τῆς ζωῆς μυθολογεῖται μὲν ὡς ὂν μακρόβιον, οὐ φαίνεται δ' οὔτε τῶν μυθολογουμένων οὐθὲν σαφές, ἥ τε κύησις καὶ ἡ αὔξησις τῶν νεβρῶν συμβαίνει οὐχ ὡς μακροβίου τοῦ ζῴου ὄντος 4 ἔλαφος] cf. Hesiodi fr. 207 p. 165 Kinkel. ἐννέατοι ζώει γενεὰς λακέρυζα κορώνη ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος 6 τὰ κέρατα] cf. Ael. nat. anim. VI 5 (p. 141, 1—8 Herch.) 9 τίκτει] cf. Ael. l. c. VI 11 (p. 143, 13—15 Herch.) 13 ὅσοι] cf. Ael. l. c. VII 39 (p. 192, 27—194, 2 Herch.) 16 λόγος] Ael. l. c. XII 46 (p. 316, 21—317, 13 Herch.) 23. 24 ἐν μέντοι Λιβύῃ] Ael. l. c. XVII 10 (p. 416, 26 Herch.) 24 φασὶ] cf. Ael. l. c. IX 20 (p. 225, 7 Herch.) 25 ἔχει] cf. Ael. l. c. XIII 15 (p. 329, 15 Herch.)

2 ὡς, ὡ blattis hausta, D ποταμίους scripsi: πο . . . . ους cetera corrosa D 4 τὸ om. D: addidi τετρακόρονος D 6 ἀποβαλόντες Ael.: ἀποβάλλοντες D ἔλαφοι scripsi: . . . φοι cetera corrosa D εἰσδύονται . . . ἐς τὰς λόχμας Ael. 7 φυλάττονται τοὺς scripsi: φυλάττο . . . . . οὺς cetera corrosa D 13 ἐν τοῖς (post οὖν) scripsi: ἐντὸς D 15 αὑτῶν scripsi: αὐτῶν D 16 τυρρηνικὸς D: Τυρρηνὸς Ael. 17 καὶ τοὺς D: καὶ τὰς Ael. 20 τοῦτο scripsi: ταῦτα D 22 ἐγγόνων D Ael.: ἐκγόνων Hercher 23 χωρῶν D: οἰκιῶν καὶ χωρίων (vel χώρων) Ael.: οἰκιῶν Hercher 26 αὑτῆς scripsi: αὐτῆς D

(500) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Ἔλαφος ὄφιν νικᾷ κατά τινα φύσεως δωρεὰν θαυμαστήν· καὶ οὐκ ἂν αὐτὸν διαλάθοι ἐν τῷ φωλεῷ ὢν ὁ ἔχθιστος, ἀλλὰ προσερείσας τῇ καταδρομῇ τοῦ φωλεοῦ τοὺς αὐτοῦ μυκτῆρας βιαιότατα εἰσπνεῖ, καὶ ἕλκει ὡς ἴυγγι τῷ πνεύματι. καὶ ἄκοντα | προ⟨άγ⟩ει καὶ προκύπτοντα αὐτὸν ἐσθίειν ἄρχεται· καὶ μάλιστά γ⟨ε δι⟩ὰ f. 376v χειμῶνος δρᾷ τοῦτο. ἤδη μέντοι καὶ κέρας ἐλάφου τις ξέσας, εἶ⟨τα⟩ τὸ ξέσμα εἰς πῦρ ἐνέβαλε, καὶ ὁ καπνὸς ἀνιῶν διώκει τοὺς ὄφεις πανταχόθεν, τὴν ὀσμὴν μὴ ὑπομένοντας.

(501) Αἱ ἐν Σύροις ἔλα⟨φοι γί⟩νονται μὲν ἐν ὄρεσι μεγίστοις, Ἀμανῷ τε καὶ Λιβάνῳ καὶ Καρ⟨μήλῳ·⟩ ὅταν ⟨δὲ⟩ βουληθῶσι περαιώσασθαι θάλασσαν, ἐπὶ τὰς ἠ⟨όνας⟩ ἀφικνοῦνται καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν φύσιν, καὶ ἡνίκα ἂν αἴσθωνται πρᾶον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαρροῦσι τῷ πελάγει. νέουσι δὲ κατὰ στοῖχον καὶ ἀλλήλων ἔχονται, τὰ γένεια αἱ ἑπόμεναι τῶν προηγουμένων τῇ ὀσφύι ἐπερείδουσαι· ἡ τελευταία δὲ γενομένη τῇ πρόσθεν ἐπὶ πάσαις ἑαυτὴν ἐπαναπαύσασα, εἶτα οὐραγεῖ. στέλλονται δὲ ἐπὶ τὴν Κύπρον πόθῳ τῆς πόας τῆς ἐκεῖ· λέγεται γὰρ εἶναι βαθεῖα καὶ νομὰς ἀγαθὰς ἔχειν. καὶ λέγουσί γε Κύπριοι εὔγαιον οἰκεῖν χῶρον, καὶ ταῖς Αἰγυπτίων ἀρούραις τολμῶσιν ἀντικρῖναι τὰς σφετέρας. ἔλαφοι δὲ καὶ ἕτεραι τήνδε τὴν νῆξιν ἀποδείκνυνται. αἱ γοῦν Ἠπειρώτιδες ἐς τὴν Κέρκυραν διανήχονται, ἀντίπορθμοι δὲ ἀλλήλαις αἵδε εἰσίν.

(502) ⟨Ὁ⟩ ἔλαφος, ὡς ἀκούω, τὰ παρόντα ἀγαπᾷ, καὶ οὐκ ἐρᾷ πλειόνων, ἀλλὰ σωφρονεῖ περὶ τὴν γαστέρα τῶν ἀνθρώπων μᾶλλον. περὶ γοῦν τὸν Ἑλλήσποντόν ἐστι λόφος καὶ νέμονται κατὰ τοῦδε ἔλαφοι, καὶ τῶν ὤτων αὐτοῖς τὸ ἕτερον διέσχισται, περαιτέρω δὲ οὐ χωροῦσι τοῦ λόφου, οὐδὲ νομῆς ἐρῶσι ξένης οὐδὲ λειμῶνας ποθοῦσιν ἑτέρους πόας χρείᾳ περιττοτέρας· ἀπόχρη δὲ ἄρα τὰ παρόντα δι' ἔτους ὅλου. τί πρὸς ταῦτα, ὦ ἄνθρωποι, ὑμεῖς, οὓς οὐκ ἂν ἐμπλῆσαι ἕως θανάτου

οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει;

---

1 ἔλαφος] Ael. nat. anim. II 9 (p. 37,8—17 Herch.) 9 αἱ ἐν Σύροις] Ael. l. c. V 56 (p. 137,6—23 Herch.) 22 ὁ ἔλαφος] Ael. l. c. VI 13 (p. 143,25—144,3 Herch.)

---

1 τινα Ael.: τινος D 2 διαλάθοι ἐν Ael.: διαλάθοιε D 3 φωλεοῦ D: δόμου Ael.: δακέτου Hercher ἑαυτοῦ Ael.: αὐτοῦ D 5 προάγει Ael.: προ . . ει cetera blattis corrosa D γε διὰ Ael.: γ . . . ὰ cetera corrosa D 6 τις post μέντοι transiecit Hercher εἶτα Ael.: εἶ . . cetera corrosa D 7 ἀνιὼν Ael. 8 τὴν ὀσμὴν μὴ D: μηδὲ τὴν ὀσμὴν Ael. 9 αἱ Ael.: Οἱ culpa rubricatoris D ἔλαφοι γίνονται Ael.: ἔλα . . . . . νονται cetera corrosa D ἀμάνῳ D 10 Καρμήλῳ Ael.: καρ . . . . cetera corrosa D δὲ Ael.: omis. D 11 τὰς ἠόνας Ael.: τοὺς η . . . . . cetera corrosa D φθίσιν Hercher 13 γένεια Ael.: γένη D 16 λέγεται . . . . βαθεῖα (17) Ael.: λέγονται . . . . βαθεῖαι D 17 ἔχειν D Ael.: παρέχειν Hercher εὔγαιον D: εὔγεων Ael. 18 ἀντικρίναι (sic) D: ἀντικρίνειν Ael. 22 Ὁ om. D: add. ex Ael. 24 ἑλλήσποντον D 27 τὰ παρόντα αὐτοῖς Ael. 28 ἐμπλῆσαι D Ael.: ἐμπλήσειε Hercher ποτὲ ἕως θανάτου Ael. 29 οὐδ' Ael.: οὔθ' D

(503) Τῷ Πτολεμαίῳ τῷ δευτέρῳ, ὃν καὶ Φιλάδελφον καλοῦσι, βρέφος ἐλάφου δῶρον ἐδόθη, καὶ τῇ φωνῇ ἐνετράφη τῇ Ἑλλάδι καὶ λαλούντων συνίει. ἐπεπίστευτο δὲ πρὸ τοῦδε τοῦ ζῴου τῆς Ἰνδῶν μόνης φωνῆς ἐπαΐειν τοὺς ἐλάφους.

(504) Λέγει δὲ Ἀπίων, εἰ μὴ τερατεύεται, ἐλάφους νεφροὺς | τέσ- f. 377r σαρας ἔχειν κατά τινας τόπους. (505) τετράκερων δὲ ἔλαφον ⟨Νικο⟩κρέων ὁ Κύπριος ἔσχε, καὶ ἀνέθηκε Πυθοῖ καὶ ὑπέγραψε

⟨σῆς ἕν⟩εκε⟨ν,⟩ Λητοῦς τοξαλκέτα κοῦρ', ἐπινοίας
τήνδ' ἕ⟨λε⟩ Νικοκρέων τετ⟨ράκερ⟩ων ἔλαφον.

(506) Αἰτίαν δὲ ⟨ὁ⟩ αὐτὸς λέγει τοῖς ἐλάφοι⟨ς τ⟩ῆς τῶν κεράτων ἀναφύσεως ἐκείνην εἶναι. ἡ γαστὴρ αὐτοῖς ὡς ἔστι θερ⟨μοτάτη ὁμο⟩λογεῖ, καὶ τὰς φλέβας δὲ αὐτῶν τὰς διὰ τοῦ σώματος πεφ⟨υκυίας⟩ παντὸς ἀραιοτάτας λέγει καὶ τὸ ὀστέον τὸ κατειληφὸς τὸν ἐγκέ⟨φαλον⟩ λεπτότατον εἶναι καὶ ὑμενῶδες καὶ ἀραιόν, φλέβας τε ἐντεῦθεν καὶ ἐς ἄκραν τὴν κεφαλὴν ὑπανίσχειν παχυτάτας. τὴν γοῦν τροφὴν καὶ ταύτης γε τὸ γονιμώτατον ὤκιστα ἀναδίδοσθαι. καὶ ἡ μὲν πιμελὴ αὐτοῖς ἔξωθέν φησι περιχεῖται, ἡ δὲ ἰσχὺς τῆς τροφῆς ἐς τὴν κεφαλὴν διὰ τῶν φλεβῶν ἀναθόρνυται. ἔνθεν οὖν τὰ κέρατα ἐκφύεσθαι διὰ πολλῆς ἐπαρδόμενα τῆς ἰκμάδος. συνεχὴς οὖν οὖσα ἐπιρρέουσά τε ἐξωθεῖ τὰ πρότερα. καὶ τὸ μὲν ὑπερίσχον ὑγρὸν ἔξω τοῦ σώματος σκληρὸν γίνεται, πηγνύντος αὐτὸ καὶ κερατοῦντος τοῦ ἀέρος, τὸ δὲ ἔνδον ἔτι μεμυκὸς ἁπαλόν ἐστι. καὶ τὸ μὲν σκληρύνεται ὑπὸ τῆς ἔξωθεν ψύξεως, τὸ δὲ ἁπαλὸν μένει ὑπὸ τῆς ἔνδον ἀλέας. οὐκοῦν ἡ ἐπίφυσις τοῦ νέου κέρατος τὸ πρεσβύτερον ὡς ἀλλότριον ἐξωθεῖ, θλίβοντος τοῦ ἔνδον καὶ ἀνωθεῖν τοῦτο ἐθέλοντος καὶ ὀδυνῶντος καὶ σφύζοντος, ὥσπερ οὖν ἐπειγομένου τεχθῆναι καὶ προελθεῖν. ἡ γάρ τοι ἰκμὰς πηγνυμένη καὶ ὑπανατέλλουσα ἀτρεμεῖν ἀδύνατός ἐστι· δύναται γὰρ καὶ αὐτὴ σκληρὰ καὶ ἐπωθεῖται τοῖς προτέροις. καὶ τὰ μὲν πλείω ἐκθλίβονται ὑπὸ τῆς ἰσχύος

1 τῷ Πτολεμαίῳ] Ael. nat. anim. XI 25 (p. 284,3—7 Herch.) 5 λέγει] Ael. l. c. XI 40 (p. 290,17—19 Herch.) 6 τετράκερων] Ael. l. c. XI 40 (p. 290,24—28 Herch.) 10 αἰτίαν] Ael. l. c. XII 18 (p. 301,20—302,16 Herch.)

1 τῷ Ael.: ῶ omissione rubricatoris D 2 ἐλάφου D Ael.: ἐλέφαντος Gronovius, Hercher ἐνετράφη Ael.: ἀνετράφη D 4 ἐλάφους D: ἐλέφαντας Ael. 5 ἐλάφους D: καὶ ἐλάφους Ael. 5. 6 τέτταρας Ael. 6 Νικοκρέων Ael.: .... κρέων cetera blattis corrosa D 8 σῆς ἕνεκεν Ael.: σ..... κε. cetera corrosa D 9 ἕλε Ael.: ἕ.. cetera corrosa D τετράκερων Ael.: τετ.... ρατον cetera corrosa D 10 ὁ addidi ex Ael. τῆς τῶν Ael.: τῆ.. ῶν cetera corrosa D 11 θερμοτάτη ὁμολογεῖ Ael.: θερ........ λογεῖ cetera corrosa D 12 πεφυκυίας Ael.: πεφ...... cetera corrosa D 13 ὀστοῦν Hercher ἐγκέφαλον Ael.: ἐγκέ..... cetera corrosa D 15 γε Ael.: τὲ D 19 ἐξωθεῖ τὰ πρότερα Ael.: ἐξωθεῖται προτέρα D 23 πρεσβύτερον Ael.: πρεσβύτατον D 24 ἀνωθεῖν τοῦτο ἐθέλοντος Ael.: ἄνωθεν τοῦτο ἀνθέλκοντος D ὀδυνῶντος D Ael.: οἰδάνοντος Pauw 26 δύναται D codd. Ael.: γίνεται Gesnerus γὰρ D Ael.: δὲ Hercher αὐτὴ Ael.: αὐτὸ D 27 ἐκθλίβονται D Ael.: ἐκθλίβεται Hercher?

τῆς ἔνδον. ἤδη δέ τινα καὶ κλάδοις περισχεθέντα καὶ ἐμποδίζοντα εἰς τὸν ὠκὺν δρόμον ὑπὸ ῥώμης τὸ θηρίον ὠθούμενον ἀπήραξε. καὶ τὰ μὲν ἐξώλισθε, τὰ δὲ ἕτοιμα ἐκκόπτειν ἡ φύσις προάγει.

(507) Ἐκ τοῦ Τιμοθέου. Οὐχ ἁπλοῦν οὐδὲ ἐλεύθερον ἔοικεν εἶναι τῇ ἐλάφῳ τὸ ἦθος. ἡνίκα γὰρ ἀποθέσθαι τὰ κέρατα βουληθείη, εἰς ἐρήμους ἔρχεται | τόπ⟨ους⟩ καὶ τὸ δεξιὸν ἀποκρύπτει κέρας, τῆς ἐκεῖθεν ὥσπερ f. 377v ὠφ⟨ελ⟩είας βασκαίνουσα τοῖς ἀνθρώποις. ἔστι γὰρ αὐτοῖς συμφορώτατον ὅτ⟨ι τε⟩ τοῖς ἰοβόλοις ἀντιπαθεῖ καὶ ὅτι συναίρεται ταῖς κυούσαις πραῦν⟨όν⟩ τε αὐταῖς τὰς ὠδῖνας καὶ τὸ ἔμβρυον ῥᾷον ὑπεξάγειν παρα⟨σκευ⟩άζον. ὡς δὲ καὶ ἕλμινθας φωχόμενον ἀναιρεῖ σὺν ὕδατι θερ⟨μῷ π⟩ροσληφθὲν ὡς καὶ αὐτὰς οὔσας ὀφιώδεις τὸ γένος. καθαίρει δὲ ⟨καὶ⟩ ὀδόντων ῥύπον, καὶ ἵπποις ἔστιν ὅπου λυσιτελεῖ. ἄκεροι δὲ αὐτῶν αἱ θήλειαι. ὥστε ἀνάληθες εἶναι τὸ τοῦ Πινδάρου ‘χρυσόκερων’ εἰπόντος τὸν Ἡρακλέα ‘θήλειαν’ ἐνεγκεῖν ἔλαφον, εἰ μὴ τέρας ἄντικρυς ἦν τὸ τοιοῦτον. (508) ὁ δ’ ἐν Ἀραχώταις ἱππέλαφος, οἳ παρὰ τὰς ἐσχατιάς εἰσι τῆς Λιβύης, ὁ πολὺς μὲν τὴν τρίχα, κεράτων δὲ ἄγονος, οὐ γνήσιόν τι γένος ἐλάφων ἐστίν, ἀλλ’ ἄτοπον καὶ συγκεκραμένον, ὡς ἂν ἀφ’ ἵππου τε καὶ ἐλάφου, καθάπερ ἔχει καὶ τοὔνομα, συνελθών. (509) ἀνάληθες δὲ καὶ τὸ τὰ κέρατα τὸν ἔλαφον ἀποβάλλειν ἐκτμηθέντα τοὺς ὄρχεις. (510) γίνεσθαι δὲ αὐτόν φασιν ἀγαθὸν τοὺς ὀφθαλμοὺς τῆς ἐχίδνης ἐδηδοκότα. (511) ἔλαφος μὲν οὖν θήλεια τὰ τέκνα παραλαβοῦσα ἐπὶ κρημνοὺς ἄγει καὶ τόπους ἀνάντεις, καὶ γυμνάζει αὐτὰ πρὸς δρόμον, καὶ ἱδρώτων ἡδέως αὐτοῖς κοινωνεῖ, καὶ πονουμένοις παρ’ ἕκαστα συναθλεῖ. (512) ἁλίσκεται δὲ οὐκ αὐλοῖς μόνον ἔλαφος, ἀλλὰ καὶ τέχναις ἄλλαις τὴν πλάνην ὑφισταμένη. καὶ γάρ τις ἀνὴρ κλάδοις ὅσοι κομῶσιν ἄρτι τοῖς φύλλοις περισκεπὴς γενόμενος καὶ νομιζόμενος εἶναι δένδρον τόξον ἐπὶ χεῖρας ἔχει ἐντεταμένον. ἡ δὲ ὡς ὄντι τῷ δοκοῦντι προσσχοῦσα τῶν φύλλων μεταλαβεῖν ἔρχεται, καὶ οὕτω πικρῶς ἀγρεύεται πληγεῖσα τῷ βέλει. (513) διωκομένη γε μὴν ἔλαφος, εἰ πρὸς ὕδωρ ἐμβάψει τοὺς πόδας, ἀνῆκεν αὐτοὺς τοῦ μόχθου καὶ ὡς ἂν ἀκραφνεῖς ἔχουσα

---

5 ἡνίκα] cf. Ael. nat. anim. III 17 (p. 66, 19—22 Herch.). Arist. mirab. ausc. 75 p. 835b27. cf. supra § 488 p. 127, 10   13 Πινδάρου] Pind. Olymp. III 51 χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ'   14 ὁ δ' ἐν] haec ut proximae §§ e Timotheo continuatae videntur   15 ἱππέλαφος] cf. Arist. hist. anim. B 1 p. 498b31—499a9   18 ἀνάληθες] cf. Arist. l. c. I 48 p. 632a10

---

2 ῥώμης D Ael.: ῥύμης Gesnerus   ἀπήρραξε D   2. 3 ἐξόλισθε D   4 Ὀυχ' D   6 τόπους scripsi: τόπ ... cetera blattis corrosa D   7 ὠφελείας scripsi: ὠφ .. είας cetera corrosa D   7. 8 ὅτι τε scripsi: ὅτ ... cetera corrosa D   8 πραῦνόν τε scripsi: πραῦν .. τὲ cetera corrosa D   9 ὠδῖνας scripsi: ὀδύνας D   παρασκευάζον scripsi: παρα .... άζον cetera corrosa D   10 ἕλμιθας D   φωχόμενον scripsi: ψωχόμενον D   θερμῷ προσληφθὲν scripsi: θερ ... ροσληφθὲν cetera corrosa D   11 καὶ (post δὲ) restitui blattis deletum in D   ἵπποις suspectum videtur   12 ἀνάληθες coniunxi: ἂν ἀληθὲς D   15 οἳ] οἱ D   Λιβύης] mirus Timothei error   19 ἀγαθὸν sanum?   27 προσσχοῦσα] προσχοῦσα D   29 αὐτοὺς scripsi: αὐτὰς D

πάλιν ἴησιν ὀξυτάτως. (514) ταύτης ὁ μυελὸς ἤπιον ἐν νόσοις ἐστὶ φάρμακον, τὸ δάκρυον δὲ καὶ λειότερόν τι χρῆμά ἐστιν, ἀφ' οὗπερ ἡ λεγομένη χαλβάνη γίνεται ἣ πολλαῖς ἀνθρώπων | ἐπήμυνε νόσοις. (515) ἐν ὄρει f. 378r δὲ ὑποθεὶς ἐλάφου δορ⟨άν, ἀλ⟩ύπως ὑπνώσεις μηδὲν τῶν ἰοβόλων ἐπιστρεφόμενος. (516) καὶ τοῦ⟨το⟩ δὲ ἀκοῦσαί φησιν ὡς ᾠοῦ λέπυρον ἀλεκτορίδος ἄρτι τὸν ν . . . . ἀπολειψάσης εἴ τις ἐπιμελῶς ἀκουσ . . ἐπιτρίψει τῷ ὄφει θᾶττον αὐτὸν ἴδῃ διατεινόμενον καὶ ἐκλείποντα. (517) ε⟨ἰσὶ⟩ δὲ πολλὰ τῶν ἐλάφων εἴδη καὶ πολυώνυμα· καλεῖσθαι γὰρ ⟨τὰς μὲν . .⟩ ερκηδίας, τὰς δὲ ἰόρκους κεμάδας τε ἄλλας καὶ νεβροὺς καὶ δ⟨ορκάδ⟩ας.

(518) Αἰλιανοῦ. Ὅτι τὰ ἐν Ἰνδοῖς πρόβατα οὐρὰς πήχεως λέγει Κτησίας ἔχειν. (519) ὄϊς μέντοι † ἀβυδινὰς οὐκ ὄψει ποτὲ λευκάς, ἀλλὰ μελαίνας. (520) ἡ δὲ αἲξ τὴν τοῦ πνεύματος εἰσροὴν καὶ διὰ τῶν ὤτων ἔχει. ἀναπνεῖ γὰρ καὶ δι' αὐτῶν, καὶ αἰσθητικώτατον τῶν διχηλῶν ἐστιν. (521) αἶγες δὲ Κεφαλληνίδες οὐ πίνουσιν ὅλως καὶ ὅλους μῆνας ἕξ. (522) αἱ δὲ Αἰγύπτιαι αἶγες ἑκάστη πέντε ἀποτίκτει, καὶ αἱ πλεῖσται αὐτῶν δίδυμα. λέγουσι γὰρ τὸ τοῦ Νείλου πόμα γονιμώτατον εἶναι, κἀντεῦθεν οἱ φιλόκαλοι τῶν νομέων ὕδωρ ἐκ τοῦ Νείλου ταῖς ἑαυτῶν ἀγέλαις ἄγειν μηχανῶνται καὶ μάλιστα ταῖς στερίφαις. (523) καὶ λιμοῦ δὲ μέλλοντος ἐπιδημεῖν αἰσθητικῶς ἔχουσιν αἶγες. (524) κοιμώμεναι δὲ ἀθρόαι χειμῶνα δηλοῦσι. (525) μάχονται δὲ ὑπὲρ τῶν θηλειῶν τράγοι πρὸς τράγους, ταῦροι πρὸς ταύρους καὶ ὄϊες πρὸς ὄϊας. (526) καὶ πρόβατα δὲ ὀρύττοντα ταῖς ὁπλαῖς τὴν γῆν χειμῶνα σημαίνει· ἀναβαινόμενα δὲ τὰ αὐτὰ χειμῶνα ὁμολογεῖ. (527) ἄρνες δὲ καὶ ἔριφοι ἀλλήλοις ἐμπηδῶντες φαιδρὰν ἡμέραν δηλοῦσιν. (528) ὑπόχυσιν δὲ ὀφθαλμοῦ αἲξ παθοῦσα πρόσεισι βάτῳ καὶ παραβάλλει τῇ ἀκάνθῃ τὸ ὄμμα νύξαι αὐτό. καὶ ἡ μὲν ἐκέντησε, τὸ δὲ ὑγρὸν ἐξεχώρησε. μένει δὲ ἀπαθὴς ἡ κόρη, καὶ

---

7 εἰσὶ] cf. Oppian. Cyneg. B 293 sqq. 10 ὅτι τὰ ἐν Ἰνδοῖς] cf. Ael. nat. anim. III 3 (p. 61,2 Herch.) 11 ὄϊς] cf. Ael. l. c. III 32 (p. 74,4 Herch.) 12 ἡ δὲ αἲξ] cf. Ael. l. c. I 53 (p. 27,14—17 Herch.) 14 αἶγες] cf. Ael. l. c. III 32 (p. 74,3 Herch.) 15 αἱ δὲ Αἰγύπτιαι] cf. Ael. l. c. III 33 (p. 74,15—22 Herch.) 18 καὶ λιμοῦ] cf. Ael. l. c. VI 16 (p. 146,13 Herch.) 19 κοιμώμεναι] cf. Ael. l. c. VII 8 (p. 175,18 Herch.) 20 μάχονται] cf. Ael. l. c. I 26 (p. 17,3 Herch.) 21 καὶ πρόβατα] cf. Ael. l. c. VII 8 (p. 175,16 Herch.) 23 ἄρνες] cf. Ael. l. c. VII 8 (p. 175,20 Herch.) 24 ὑπόχυσιν] cf. Ael. l. c. VII 14 (p. 180,24—32 Herch.)

---

1 ὁ μυελὸς scripsi: ὀμβελὸς D ἤπιον D 4 δοράν, ἀλύπως scripsi: δο . . . . . ὑπως cetera blattis corrosa D 4. 5 ἐπιστρεφόμενος, ε alterum et μ corrosa D 5 τοῦτο scripsi: τοῦ . . cetera corrosa D ἀλεκτορίδος scripsi: ἀλεκ . . . ίδος cetera corrosa D 6 τὸν ν . . . .] suspicor talia: τὸν νεοττὸν ἀπολεψάσης ut sit sensus: *si quis ovi putamen, pullo recens nato, accurate tunsum* (πτίσας?) *angui affricuerit, cito eum videbit extentum perire* 7 ἐκλίποντα D εἰσὶ scripsi: ε . . . cetera corrosa D 8 τὰς μὲν scripsi pro corrosis in D, . . ερκηδίας quod sequitur non expedio 9 κεμάδας scripsi: καὶ μάδας D δορκάδας scripsi: δ . . . . . ας ceteris corrosis D 11 ἀβυδϊνὰς D: ἀβυδηνὰς Ael.: Βουδινὰς Hercher cf. p. 134,1 14 κεφαληνίδες D 15 πλεῖστοι D 18 ταῖς στερίφαις scripsi ex Aeliano: τοῖς ἐρίφοις D 25 βάτῳ Ael.: κάτω D 26 ἐξεχώρισε D

ὁρᾷ αὖθις. καὶ λέγονταί γε οἱ ἄνθρωποι παρ' ἐκείνης μαθεῖν τὸ ἴαμα. (529) νωθρότερα δὲ τῶν τετραπόδων ἐστὶ πρόβατα καὶ ὄνοι, ἀκόλαστα δὲ κυνοκέφαλοι τράγοι.

(530) Σοφὰ δὲ | αἰγός ἐστι καὶ ἐκεῖνα. ἔστι γὰρ πόα ἥτις τὴν f. 378v λόγγα τὴν ἀπὸ κόρου γεν⟨ομέ⟩νην ἰᾶται βοσκομένη προβάτοις τε καὶ αἰξίν· ἰᾶται δὲ καὶ ⟨τοὺς ἀνθρώπους⟩. (531) μύρῳ ⟨δὲ⟩ τράγου ῥῖνες χριόμεναι καὶ τὰ γένεια εἰς ὄρεξιν ⟨προθ⟩υμοτέρους ποιοῦσιν. ὄρεξιν δὲ πάλιν αὐτῶν παύσεις ἐὰν μέσ⟨ας τὰ⟩ς οὐρὰς ἀποδήσῃς λίνῳ. (532) αἱ δέ γε ὄϊς αἱ Ἀ⟨ράβι⟩αι οὐρὰς ἔχουσι μηκίστας. Ἡρόδοτος λέγει, ὡς εἶναι τριῶν πηχῶ⟨ν. καὶ⟩ οἱ μὲν χειρουργοῦσιν αὐτάς, οἱ δὲ ἐπὶ ἁμαξίδων σύρεσθαι τεχνάζονται ὥστε μὴ ἕλκεσθαι αὐτὰς εἰς γῆν παρατριβομένας· εἶναι δὲ ἄλλας ὄϊς πλατείας ἐχούσας οὐρὰς καὶ ἐς πῆχυν.

(533) Ὁ δὲ κριὸς τὸ ζῷον καθ' ἑκατέραν ἰσημερίαν τὴν κατάκλισιν ἀμείβει· καὶ γὰρ ἐξ μηνῶν τῶν χειμεριωτάτων κατὰ τῆς ἀριστερᾶς κεῖται πλευρᾶς καὶ καθεύδει, ὅταν αὐτὸν αἱρῇ καὶ περιλαμβάνῃ ὕπνος. ἀπὸ δὲ τῆς ἐαρινῆς ἰσημερίας τὸ ἔμπαλιν ἀναπαύεται καὶ κατὰ τῆς δεξιᾶς κεῖται.

(534) Πρόβατα δέ φασιν ἐν τῷ Πόντῳ γίνεσθαι καὶ αὐτά γε οὐκ ἔχειν χολήν. ἐν δὲ τῇ Νάξῳ τῇ νήσῳ καὶ δίχολα. (535) ἐν Αἰθιοπίᾳ δέ εἰσι πρόβατα ἔρια μὲν οὐ φέροντα, καμήλου δὲ τρίχας ἔχοντα. (536) ἐν δὲ τοῖς κρυμώδεσι τόποις τοῦ κρύους ἐνακμάσαντος ἄχολά ἐστι τὰ πρόβατα, καθειργμένα δὲ ἄρα καὶ τοῦ χιλοῦ τοῦ νέου μὴ μεταλαμβάνοντα τοιαῦτα εὑρίσκεται. καὶ τοῦτο μᾶλλον φιλεῖ παρακολουθεῖν τοῖς Σκυθικοῖς. εἶτα ὑπαρχομένου τοῦ ἦρος καὶ προϊόντα ἐπὶ τὰς νομὰς τῆς χολῆς τὸ ἐντεῦθεν ὑποπίμπλαται. (537) ἐν μέντοι Λυκίᾳ κείρουσι τὰς αἶγας ὥσπερ τὰ πρόβατα· δασύταται γάρ εἰσι, καὶ οἱ τεχνῖται τῆς τῶν νεῶν ἐργασίας τὰς σειρὰς ἐξ αὐτῶν συμπλέκουσιν ὡς τοὺς κάλους ἄλλοι.

---

2 νωθρότερα] cf. Ael. nat. anim. VII 19 (p. 183,4—9 Herch.) 4 σοφὰ] cf. Ael. l. c. VII 26 (p. 187,15 Herch.) ἔστι] cf. Ael. l. c. IX 31 (p. 229,4—12 Herch.) 6 μύρῳ] cf. Ael. l. c. IX 54 (p. 237,10—13 Herch.) 8 αἱ δέ γε ὄϊς] Ael. l. c. X 4 (p. 243,31—244,10 Herch.) 9 Ἡρόδοτος] Herod. III 113 13 ὁ δὲ κριὸς] cf. Ael. l. c. X 18 (p. 251,7—12 Herch.) 17 πρόβατα] cf. Ael. l. c. XI 29 (p. 284,26—27 Herch.) 18 ἐν Αἰθιοπίᾳ] cf. Ael. l. c. XVII 10 (p. 416,29—32 Herch.) 20 ἐν δὲ τοῖς κρυμώδεσι] cf. Ael. l. c. XVI 26 (p. 403,28—404,3 Herch.) 24 ἐν μέντοι] cf. Ael. l. c. XVI 30 (p. 405,23—29 Herch.)

---

1 ἐκείνοις D 2 ἀκόλαστα Ael.: ἄκλαστα D 4 γὰρ scripsi: δὲ D 5 λόγγαν D γενομένην. ομέ blattis corrosa D 6 τοὺς ἀνθρώπους scripsi ex Aeliano: ... λόγγα (sic) cetera corrosa D δὲ corrosum in D 7 προθυμοτέρους scripsi ex Aeliano: .... υμοτέρας cetera corrosa D 8 μέσας τὰς Ael.: μεσ....`ς cetera corrosa D ὄϊς πλατείας ἐχούσας οὐρὰς D 9 Ἀράβιαι scripsi secundum Aelianum: ἀρ...οι cetera corrosa D ἡρώδοτος D 9. 10 πηχῶν. καὶ scripsi: πηχῶ...` cetera corrosa D 10 αὐτὰς scripsi: αὐτοὺς D 15 περιλαμβάνῃ Ael.: παραλαμβάνει D 18 Νάξῳ Ael.: ἔξω D δίχολα Ael.: δίχηλα D 22 εὑρίσκεται scripsi: εὑρίσκεσθαι D 23 ὑπαρχομένου Ael.: ὑπερχομένου D καὶ D Ael.: delevit Jacobs 25 δασύται D 26 ὡς—ἄλλοι delevit Hercher ὡς D: ὡς καὶ Ael. κάλους sic D: κάλως Ael.

(538) ἐν δὲ τοῖς περὶ τὸν Καρίσκον Βουδιανοῖς οἰκοῦσιν οὐ γίνεται ἐκεῖ πρόβατον λευκόν, ἀλλὰ πάντα μέλανα, ὡς Ἀριστοτέλης φησίν. (539) ἐν Ἰνδοῖς δὲ Κωῦθά τις κώμη λέγεται, καὶ ταῖς αἰξὶ ταῖς ⟨ἐπιχω⟩ρί⟨ο⟩ις οἱ νομεῖς ἰχθύας ξηροὺς παραβάλλουσιν ὡς χιλόν. ⟨Ὀ⟩ρθαγόρας ταῦτά φησι. (540) Λιβύων δὲ τὰ πρόβατά εἰσι μικρὰ | κατὰ τοὺς ἄρνας. (541) αἱ δὲ f. 379r Κάσπιαι αἶγες * * * * *. (542) αἱ Σκύριαι γά⟨λα⟩ ἀ⟨φ⟩θονώτατον παρέχουσιν ὅσον οὐκ ἄλλαι αἶγες. (543) Ἀριστοτέ⟨λης⟩ μ⟨έντοι⟩ φησὶν ἐν χωρίῳ τινὶ Λιβύων τὰς αἶγας τοῦ στήθους τ⟨οὺς μαστοὺς⟩ ἔχειν ἀ⟨πηρτ⟩ημένους.

(544) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους. Προβατεῖαι ⟨δὲ Ἰ⟩νδῶν ὁποῖαι μαθεῖν ἄξιον. τὰς αἶγας [δὲ] καὶ τὰς ὄϊς ὄνων ⟨τῶν μ⟩εγίστων μείζονας ἀκούω καὶ ἀποκύειν τέτταρα ἑκάστην· μεί⟨ω γε μὴν⟩ τῶν τριῶν οὔτε αἲξ Ἰνδικὴ οὔτ' ἂν ὄϊς ποτὲ τέκοι. καὶ ⟨τοῖς μὲν⟩ προβάτοις αἱ οὐραὶ πρὸς τὸν πόδα τέτανται, αἱ δὲ αἶγες μηκίστας ἔχουσιν ὥστε ἐπιψαύειν γῆς ὀλίγου. τῶν μὲν οὖν οἴων τῶν τίκτειν ἀγαθῶν ἀποκόπτουσι τὰς οὐρὰς οἱ νομεῖς, ἵνα βαίνωνται, ἐκ δὲ τῆς πιμελῆς τῆς τούτων καὶ ἔλαιον ἀποθλίβουσι· τῶν δὲ ἀρρένων διατέμνουσι τὰς οὐράς, καὶ ἐξαιροῦσι τὸ στέαρ καὶ ἐπιρράπτουσι καὶ ἑνοῦται πάλιν ἡ τομὴ καὶ ἀφανίζεται τὰ ἴχνη αὐτῆς.

(545) Ἀλέξανδρος δὲ ὁ Μύνδιος ἐν τῷ Πόντῳ πρόβατα πιαίνεσθαι καὶ ὑπὸ τοῦ πικροτάτου φησὶν ἀψινθίου. τὰς δὲ ἐν τῷ Μίμαντι γινομένας αἶγας ἓξ μηνῶν μὴ πίνειν, ὁρᾶν δὲ εἰς τὴν θάλατταν μόνον καὶ κεχηνέναι καὶ τὰς αὔρας τὰς ἐκεῖθεν δέχεσθαι ὁ αὐτὸς λέγει. αἶγας δὲ Ἰλλυρίδας ὁπλὴν ἀκούω ἔχειν, ἀλλ' οὐ χηλήν.

(546) Λόγον δὲ Ἰταλὸν τῇ Συβαριτῶν πόλει συνακμάσαντος ἔργου μνημονεύοντα καὶ φοιτήσαντα εἰς ἐμὲ εἰπεῖν οὐ χεῖρόν ἐστι. τὴν ἡλικίαν

---

1 ἐν δὲ τοῖς] cf. Ael. nat. anim. XVI 33 (p. 407, 18—20 Herch.) 2. 3 ἐν Ἰνδοῖς] cf. Ael. l. c. XVI 35 (p. 407, 32—408, 4 Herch.) 5 Λιβύων] cf. Ael. l. c. XVI 37 (p. 408, 23 Herch.), sed apud Ael. Psyllorum gentis Indicae, non Libycae mentio fit 5. 6 αἱ δὲ Κάσπιαι] cf. Ael. l. c. XVII 34 (p. 427, 23 Herch.) 6 αἱ Σκύριαι] cf. Ael. l. c. III 34 (p. 74, 14—15 Herch.) 7 Ἀριστοτέλης] cf. Ael. l. c. XVI 33 (p. 407, 15—17 Herch.) 9 προβατεῖαι] Ael. l. c. IV 32 (p. 94, 6—17 Herch.) 18 Ἀλέξανδρος] Ael. l. c. V 27 (p. 122, 1—7 Herch.) 23 λόγον] Ael. l. c. VI 42 (p. 157, 7—158, 2 Herch.)

---

1 Καρίσκον Ael.: κερίσκον D Βουδιανοῖς D Ael.: Βουδίνοις L. Dindorf 3 Κώυθα acc. Ael. ἐπιχωρίοις scripsi ex Ael.: .....ρί.ις cetera corrosa D 4 ὀρθαγόρας scripsi ex Aeliano: .ρθαιούρας D ταῦτά φησι scripsi: ταῦτα φασὶ D 6 κάσπίαι D post αἶγες lacunam indicavi ex Aeliano supplendam σκύριοι D γάλα ἀφθονώτατον scripsi ex Aeliano: γά..α.θονώτατον cetera corrosa D 7 Ἀριστοτέλης μέντοι φησὶν ἐν χωρίῳ scripsi: ἀριστοτέ... μ..... φησὶν ἐ..ωρίῳ cetera corrosa D 8 τοὺς μαστοὺς ἔχειν ἀπηρτημένους scripsi secundum Aelianum: τ......τοὺς ἔχειν ἀ....ημένους cetera corrosa D 9 προβατεῖαι δὲ Ἰνδῶν Ael.: προβατία....νδῶν cetera corrosa D 10 δὲ delevi τῶν μεγίστων Ael.: ....εγίστων cetera corrosa D 11 ἀποκύειν Ael.: ἀποκύει D ἑκάστην Ael.: ἑκάστη D μείω γε μὴν Ael.: μεί...... cetera corrosa D 12 τοῖς μὲν Ael.: ...... cetera corrosa D 13 ὀλίγου Ael.: ὀλίγον D 15 βαίνωνται D: ἀναβαίνωνται Ael. 16 ἐξαίρουσι D 18 μίνδιος D ἐν D Ael.: τὰ ἐν Jacobs 19 καὶ D: om. Ael. ἀψινθίου ex ἀψινθίῳ correxit D[1] 22 ὀπλὴν D 23 συνακμάσαντος Ael.: συνακμάσαντα D

ἀρτίπαις. αἰπόλος τὸ ἐπιτήδευμα, ὄνομα Κρᾶθις, εἰς ὁρμὴν ἀφροδίσιον ἐμπεσὼν τῇ τῶν αἰγῶν ἰδεῖν ὡραιοτάτῃ μίγνυται καὶ τῇ ὁμιλίᾳ ἥσθη καὶ εἴ ποτε ἐδεῖτο ἀφροδίτης ὡς αὐτὴν ἐφοίτα, καὶ εἶχεν ἐρωμένην αὐτήν· καὶ μέντοι καὶ οἷα λαμβάνειν ἐδύνατο δῶρα, τοιαῦτα ὁ ἐραστὴς αἰπόλος τῇ ἐρωμένῃ τῇ προειρημένῃ προσέφερε, καὶ κισσοῦ ποτε καὶ σχίνου τοὺς ὡραιοτάτους ἀκρεμόνας καὶ σμίλακος πολλάκις τραγεῖν παρέσχε. τὸ στόμα ἀποφαίνων αὐτῷ, εἰ δεηθείη φιλῆσαι. εὐῶδες αὐτῆς. | ἀλλὰ ⟨καὶ⟩ στ⟨ι⟩βάδ⟨α⟩ f. 379v ἐγκαθεύδειν ὡς νύμφῃ παρεσκεύαζεν ἁβροτάτην τε ⟨καὶ μαλθ⟩ακήν· οὐκ⟨ουν ἀ⟩μ⟨ελ⟩ῶς ταῦτα ἐθεᾶτο τῆς ἀγέλης ἡγεμὼν ὁ τ⟨ράγο⟩ς, ἀλλ' αὐτ⟨ὸν εἴσεισ⟩ι ζηλοτυπία. καὶ κατέκρυπτε μὲν τέως τὸν θ⟨υμόν,⟩ καθήμενον δὲ αὐτόν ποτε ἐλλοχᾷ καὶ καθεύδοντα· ἦν δὲ ἄρα ἐμβ⟨αλὼν⟩ τὸ πρόσωπον εἰς τὸν κόλπον. ὡς οὖν εἶχε δυνάμεως τῇ κ⟨εφαλῇ⟩ προσέρρηξε καὶ διέθρυψέν οἱ τὸ βρέγμα. διαρρεῖ τοίνυν ⟨εἰς τοὺ⟩ς ἐπιχωρίους τὰ πραχθέντα, καὶ τῷ μὲν οὐκ ἀφανῆ τάφον ἀνέστησαν, ἐξ αὐτοῦ δὲ τὸν ποταμὸν Κρᾶθιν ὠνόμασαν. γίνεται δὲ ἐκ τῆς ὁμιλίας τῆς πρὸς τὴν αἶγα παιδίον. καὶ ἦν αἴξ οἱ τὰ σκέλη, τὸ πρόσωπον ἄνθρωπος. τοῦτον καὶ ἐκθεωθῆναι λόγος ἔχει καὶ θεὸν ὑλαῖόν τε καὶ ναπαῖον νομισθῆναι τὸν αὐτόν. μετειληχέναι δὴ καὶ ζηλοτυπίας τὰ ζῷα ὁ τράγος διδάσκει.

(547) Αἱ αἶγες μέλλοντα ὑετὸν προδηλοῦσιν. ἐπειδὰν γὰρ προέλθωσι τῶν σηκῶν, δρόμῳ καὶ μάλα γε ὤκιστα ⟨ὁρμῶσιν ἐπὶ τὸν χιλόν· εἶτα ἐμπλησθεῖσαι αὐτὰς⟩ ἐπιστρέφουσιν ἐς τὰ οἰκεῖα. καὶ ὁρῶσαι ἐκεῖσε οὕτω νέμονται τὸν ποιμένα ἀναμένουσαι ἵνα τὴν ταχίστην συνελάσῃ αὐτάς.

(548) Σοφὰ δὲ αἰγῶν ἐστι καὶ ἐκεῖνα. πτύελον ἀνθρώπου θανατηφόρον εἶναι ζῴῳ ἑτέρῳ καλῶς ἴσασι καὶ φυλάττονται, ὥσπερ οὖν καὶ ἡμεῖς πειρώμεθα ἀποδιδράσκειν ὅσα [ἂν] ἀνθρώπῳ κακόν ἐστιν, εἴπερ οὖν ἀπογεύσαιτο αὐτῶν. ἤδη μέντοι τις καὶ ἄνθρωπος ἀγνοῶν καὶ λαθὼν κατέπιεν, αἱ δὲ αἶγες, οὐκ ἂν αὐτὰς λάθοι τὸ ἤδη προειρημένον. ἀποκτείνειν δὲ καὶ

---

19 αἱ αἶγες] Ael. nat. anim. VII 8 (p. 174,28—175,1 Herch.) 23 σοφὰ] Ael. l. c. VII 26 (p. 187,15—29 Herch.)

---

1 ἀρτίπαις D: ἀντίπαις Ael. Κρᾶθις Ael.: κράθης D 4 ἠδύνατο Ael. 5 κισσοῦ ποτε (cod. ποτὲ) καὶ σχίνου D Ael.: κυτίσου ποτὲ Hercher 6 μίλακος Ael. πολλάκις καὶ σχοίνου (σχίνου V) Ael. 7 αὐτῷ Ael.: αὐτῶ D καὶ στιβάδα Ael.: . . . στ . βάδ . cetera blattis corrosa D 8 παρεσκεύασεν Ael. αὐροτάτην D 8. 9 καὶ μαλθακήν. οὔκουν ἀμελῶς Ael.: . . . . . . . ακὴν οὐκ . . . . μ . . ῶς cetera corrosa D 9 ἐθεάσατο Ael. ὁ post ἐθεάσατο habet Ael. τράγος Ael.: τ . . . . ς cetera corrosa D αὐτὸν εἴσεισι Ael.: αὐτ . . . . . . ι cetera corrosa D 10 θυμόν Ael.: θ . . . . cetera corrosa D αὐτὸν ποτὲ D: ποτε αὐτὸν Ael. 11 ἐμβαλὼν Ael.: ἐμβ . . . . cetera corrosa D 12 τῇ κεφαλῇ προσέρρηξε aut προσήραξε Ael.: τῇ κ . . . . . προσέρρηξε cetera corrosa D: τὴν κεφαλὴν προσήραξε Hercher 13 εἰς τοὺς Ael.: corrosa praeter ult. ς D 14 ἀνέστησαν Ael.: . . . στησαν priora corrosa D κράθην D 15 οἱ Ael.: οἳ D: om. Hercher secundum cod. M 16 τοῦτον Ael.: τοῦτο D 17 δὴ Ael.: δὲ D 19 Οἱ αἶγες D: αὗται μὲν καὶ Ael. 20 ὁρμῶσιν—αὐτὰς (21) om. D: addidi ex Aeliano 21. 22 οὕτω νέμονται D Ael.: ἀτρεμοῦσι Hercher 25 ἂν om. Ael. εἴπερ Ael.: ὅπερ D 26 post λαθὼν add. τι κακὸν Hercher 27 ἤδη eiecit Reiske ἀποκτένειν D

τὰς θαλαττίους σκολοπένδρας τὸ αὐτὸ δήπου πτύελον δεινότατόν ἐστι. μέλλουσα δὲ ἡ αἶξ ἀποσφάττεσθαι σαφῶς οἶδε. καὶ τὸ μαρτύριον, οὐκ ἂν ἔτι τροφῆς προσάψαιτο. οὐκ ἀξιοῖ δὲ ⟨προ⟩βάτων οὐραγεῖν, ἀλλὰ ἡγεῖσθαι οὖν αὐτὴν δεῖν καὶ ἐκ τῆς βαδίσεως ὁμολογεῖ. † ποθεῖ γοῦν ἐκεῖνα καὶ μέντοι καὶ αὐτὰς τὰς αἶγας ὁ τράγος. τῷ γενείῳ θαρρῶν καὶ κατά τινα φύσιν θαυμαστὴν τοῦ θήλεος προκρίνων τὸ ἄρρεν.

(549) Αἶγες ἄγριοι τὰς Λιβύων ἄκρας ἐπιστείβοντές εἰσι κατὰ τοὺς βοῦς τὸ μέγεθος ἰδεῖν. τούς γε μὴν μηροὺς καὶ τὰ στέρνα καὶ τοὺς τραχήλους | κομῶσι θριξὶ δασυτάταις καὶ σὺν τ⟨ο⟩ύτ⟨οις καὶ τὴν γένυ⟩ν. τὰ f. 380r μέτωπα μὴν ἀγκύλοι καὶ περιφερ⟨εῖς⟩ καὶ τὰ ὄμ⟨μα⟩τα χαροποί. σκέλη δὲ αὐτοῖς ἐστι κολοβὰ ⟨καὶ κέ⟩ρατα μετὰ ⟨τὴν π⟩ρώτην συμφυὴν ἀλλήλων ἀπηρτημένα καὶ πλ⟨άγι⟩α· οὐ γά⟨ρ τί π⟩ου κατὰ τὰς ὀρειβάτας αἶγας τὰς ἄλλας ὀρθά ἐστι· κατίασι ⟨δ' ἐγκ⟩άρσια καὶ εἰς τοὺς ὤμους προήκοντα. οὕτως ἄρα μήκιστά ⟨ἐστιν· ἐκ⟩ δὲ τῶν λόφων τῶν ὑπεράκρων (ἐπίπλας οἱ νομευτι⟨κοὶ φιλ⟩οῦσιν ὀνομάζειν ποιητῶν παῖδες) ῥᾳδίως εἰς ἕτερον πά⟨γον πη⟩δῶσιν· ἁλτικώτατοι γὰρ αἰγῶν ἁπάντων οἶδε εἰσίν. εἴ γε μὴν καὶ πέσῃ τις πορρωτέρω τοῦ ὑποδεξομένου ὄντος αὐτὸν ἢ ὡς ἐκείνου ἐφικέσθαι, τῷ δὲ ἄρα μελῶν περίεστι τοσοῦτον κράτος, ὡς ἀσινῆ μένειν κατενεχθέντα αὐτόν. θραύει γοῦν οὐδὲ ἕν, εἰ καὶ πέσῃ κατὰ ῥωγάδος, οὐ κέρας οὐ βρέγμα· ἔστι δὲ καρτερὰ καὶ προσόμοια τῇ ταῖς πέτραις ἀντιτυπίᾳ. οἱ πλεῖστοι μὲν τούτων ἐν ταῖς ἀκρωρείαις αὐταῖς ἄρκυσι καὶ ἀκοντίοις καὶ ποδάγραις αἱροῦνται, σοφίᾳ δὲ ἄρα τῇ τε ἄλλῃ κυνηγέταις ἀνδράσι καὶ γοῦν καὶ αἰγοθήραις ἁλίσκονται. θηρῶνται δὲ καὶ ἐν πεδίοις καὶ φυγεῖν ἐνταῦθα

---

7 αἶγες] Ael. nat. anim. XIV 16 (p. 349,8—350,11 Herch.)

---

1 θαλαττίους D (cf. Eur. Iph. T. 236): θαλαττίας Ael. 2 οὐκ Ael.: οὔτ' D 3 προβάτων Ael.: . . . βάτων cetera corrosa D οὖν eiecit Hercher 4 προθεῖ γοῦν ἐκείνων Ael. hinc quae exhibet D non correxi, quia in proximis corruptionis communio apparet Aeliani codd. et D 5 αὐτῶν τῶν αἰγῶν restituit Hercher 7 ante τὰς addidit οἱ Jacobs 9 τούτοις καὶ τὴν γένυν Ael.: τ . υτ . . . . . . . . . . . . ν cetera corrosa D 10 μὴν D: μὲν Ael. περιφερεῖς καὶ τὰ ὄμματα Ael.: περιφερ . . . καὶ τὰ ὄμ . . τα cetera corrosa D 11 κολοβὰ καὶ κέρατα scripsi: κολοβὰ . . . . . ρατα cetera corrosa D: κολοβά . κέρατα Ael.: κολοβά . κέρατα δὲ proposuit Hercher μετὰ τὴν πρώτην Ael.: μετα . . . . ρωτατην cetera corrosa D συμφυὴν D Ael.: σύμφυσιν Hercher ἀλλήλλων D 12 πλάγια· οὐ γάρ τι που Ael.: πλ . . . α οὐ γα . . . . ου cetera corrosa D τοὺς ὀρειβάτους D: τοὺς ὀρειβάτας αἶγας τοὺς ἄλλους Ael. 13 κάτεισι δ' ἐγκάρσια Ael.: κατίασι . . . . άρσια cetera corrosa D 14 ἐστιν ἐκ corrosa D post ὑπεράκρων add. οὓς Ael. ἐπίπλας sic D: ἐπιπλὰς Ael.: ἐρίπνας bene Bochart οἱ νομευτι . . . . . . οῦσιν cetera corrosa D: οἵ τε νομευτικοὶ φιλοῦσιν Ael. 15 ante ποιητῶν add. καὶ Ael. πάγον πηδῶσιν Ael.: πα . . . . . δῶσιν cetera corrosa D 16 ἁλτικώτατοι D πέσῃ τίς D: πέσοι τις Ael. 17 ἐκείνου Ael.: ἐκεῖνον D τῷ δὲ Ael.: τῶδε D 18 πρόσεστι proposuit Hercher 19 πέσῃ D: πέσοι Ael. 20 προσομοία τῇ ταῖς πέτραις D: προσομοία ταῖς πέτραις codd. Ael.: προσόμοια τῇ τῆς πέτρας Hercher secundum Vat. μὲν οὖν Ael. 22 κυνηγέταις D Ael.: ἐν κυνηγέταις Jacobs γοῦν Ael.: τοῦν D: οὖν Hercher 23 αἰγοθήραις D cod. V Ael.: αἰγοθηρίασιν aut ἀποθηρίασιν Ael.: αἰγοθηρικῇ Hercher ἁλίσκονται D: omis. Ael.

ἀσθενεῖς εἰσιν. αἱρήσει γοῦν αὐτοὺς καὶ ὅστις ἐστὶ βραδὺς τοὺς πόδας. ἔχουσι δὲ ἀγαθὰς δορὰς καὶ κέρατα. καὶ ἡ μὲν δορὰ ἐν χειμῶσι τοῖς σφοδροτάτοις τὸν κρυμὸν ἀποσοβεῖ καὶ ἀπὸ νομευτικῶν καὶ ὑλουργῶν ἀνθρώπων· κέρατα δὲ χρηστὰ εἰς τὸ ποιῆσαι ἐκπώματα καὶ ἀπὸ ποταμοῦ ἀρύσασθαι καὶ πιεῖν ἢ πηγῆς τινος ἀνατελλούσης ἐν ὥρᾳ θέρους. παρέχει δὲ ἀμυστὶ ποιεῖν τοῖς ἀνθρώποις οὐδὲν μεῖον μεγίστων ἐκπωμάτων ἕως καὶ αὔξειν τὸ ἆσθμα καὶ ἀποσβέσαι τὸ ὑπεκκαῖον πᾶν καὶ ἀναφλέγον. οὐκοῦν καὶ εἰ τὰ ἔνδον καθαρθείη ὑπό τινος κερατογλύφου, καὶ τρεῖς μετρητὰς ἂν δέξηται αὐτῶν τὸ ἕτερον.

(550) Νυμφόδωρος λέγει τὴν Σαρδὼ εἶναι θρεμμάτων μητέρα ἀγαθήν. θαυμάσαι ⟨δὲ⟩ ἄξιον. τίκτει ζῷον τὰς αἶγας αὕτη. τὰς γάρ τοι δορὰς τοῖς | ἐπι⟨χωρ⟩ίοι⟨ς ἠσθῆσθαι καὶ⟩ εἶναι σκέπην· καὶ διὰ χειμῶνος μὲν f. 380v ἀλ⟨εαίν⟩ειν, ⟨ψ⟩ύχε⟨ιν δὲ ἐν τῷ⟩ θέρει φύσει τινὶ ἀπορρήτῳ· συμ⟨πε⟩φυ⟨κέν⟩αι δὲ ἄρα ⟨ταῖς δοραῖς καὶ πήχεως τὴν τρίχα. τοῦ φορήματος δὲ τούτου⟩ ⟨ἔ⟩οικε χρῆναι διὰ μὲν τοῦ κρυμοῦ ⟨τὰς τρίχας εἰς τὸν χρῶτα ἐπιστρέφειν διὰ δὲ τοῦ θέρους ἔξω, εἰ μέλλοι ὁ ἠσθημένος διὰ μὲν τοῦ κρυμοῦ⟩ θάλπεσθαι, διὰ δ⟨ὲ τοῦ θ⟩έρους ⟨μὴ⟩ ἀποπνίγεσθαι.

(551) Εὐπειθέστερα δὲ ἄρα ⟨τῶν ζ⟩ῴων τὰ πρόβατα ἦν καὶ ἄρχεσθαι φύσει πεπαιδευμένα. ὑπ⟨ακούει⟩ γοῦν καὶ τῷ νομεῖ καὶ τοῖς κυσί, καὶ μέντοι γε καὶ ἕπονται ταῖς ⟨αἰξί⟩. καὶ φιλάλληλα δὲ ἰσχυρῶς, καὶ ὑπό γε τῶν λύκων ἐπιβ⟨ουλεύετ⟩αι ἧττον· οὐ γὰρ πλανᾶται ἰδίᾳ ἕκαστον, οὐδὲ μὴν ἀπὸ τοῦ συννόμου σχίζεται, ὥσπερ οὖν αἱ αἶγες. λέγουσι δὲ Ἄραβες ὅτι ἄρα τὰ παρ' αὐτοῖς ποίμνια ποιμαίνεται ὑπὸ μουσικῆς μᾶλλον ἢ ὑπὸ τοῦ χιλοῦ. τῶν δὲ ἁλμυρῶν ἐσθίει ἥδιον· ποιεῖται γὰρ τὴν τοιαύτην τροφὴν ποτοῦ ὄψον. τά γε μὴν πρόβατα καὶ ἐκεῖνο οἶδεν ὅτι αὐτοῖς ὁ βορρᾶς καὶ ὁ νότος συμβάλλονται πρὸς τὸ τίκτειν οὐ μεῖον τῶν κριῶν ἀναβαινόντων αὐτά. οἶδε δὲ καὶ τοῦτο, ὅτι ἄρα ὁ μὲν βορρᾶς ἀρρενοποιός ἐστιν, ὁ δὲ

10 Νυμφόδωρος] Ael. nat. anim. XVI 34 (p. 407,21—31 Herch.) 18 εὐπειθέστερα] Ael. l. c. VII 27 (p. 187,30—188,24 Herch.)

1 γοῦν D Ael.: οὖν Hercher 2 ἔχουσι — τὸ ἕτερον (9) Aeliani locus liberius excerptus 5 ἀρρύσασθαι D 6. 7 καὶ αὔξειν D vulg. Ael.: ἀνάξῃ cod. V Ael.: ψύξῃς Hercher 7 ἀποσβέσαι D: σβέσαι vulg. Ael.: σβέσῃ cod. V Ael. 11 δὲ addidi ex Aeliano 12 τοῖς ἐπιχωρίοις ἠσθῆσθαι καὶ Ael.: τοῖς ἐπι . . . ίοι . . . . . . . . . cetera corrosa D: τοὺς ἐπιχωρίους Schneider post εἶναι add. ταῦτα Ael. 13 ἀλεαίνειν ψύχειν δὲ ἐν τῷ Ael.: αλ . . . . ειν . υχε . . . . . . . cetera corrosa D συμπεφυκέναι Ael.: συμ . . φυ . . . αι cetera corrosa D 14 ταῖς δοραῖς — τούτου scripsi ex Aeliano: omnia blattis corrosa in D, cuius tamen brevior fuisse ecloga videtur 15 ἔοικε, prima littera corrosa, D 15—16 τὰς τρίχας — τοῦ κρυμοῦ om. D: addidi ex Aeliano 17 δὲ τοῦ θέρους μὴ Ael.: δ . . . . . έρους . . cetera corrosa D 18 εὐπειθέστατα Hercher τῶν ζῴων Ael.: . . . . . ώων cetera corrosa D ἦν Ael.: ἢ D 19 ὑπακούει Ael.: ὑπ . . . . . . cetera corrosa D 20 γε D: om. Ael. ἕπονται D Ael.: ἕπεται Hercher αἰξὶ Ael.: corrosum D καὶ φιλάλληλα δὲ D: φιλεῖ δὲ καὶ ἄλληλα Ael. 21 ἐπιβουλεύεται Ael.: ἐπιβ . . . . . . αι cetera corrosa D 22 ἄρραβες D 23 ἄρα Ael.: ὅσα D 25 καὶ ἐκεῖνο D Ael.: κἀκεῖνο Hercher secundum Apost. 26 συμβάλλονται D: συμμάχονται Ael. 26. 27 τῶν ἀναβαινόντων αὐτὰ κριῶν vulg. Ael.

νότος θηλυγόνος εἶναι πέφυκε· καὶ ἐὰν δέηται τοῦδε τοῦ ἐκγόνου ἢ τοῦδε ὀχευομένη ἡ ὄϊς, πρὸς τὸν ἀπέβλεψεν ἢ πρὸς τόν. Ἀχιλλεὺς μὲν οὖν ἵνα ὁ φίλος αὐτῷ κείμενος ἐπὶ τῆς πυρᾶς καυθῇ, καὶ εὐχῆς ἐδεῖτο καὶ ἡ Ἶρις παρεκάλει τοὺς ἀνέμους ⟨αὐτῷ⟩, ὦ καλὲ Ὅμηρε, καὶ ὑπισχνεῖται ἤκουσιν ἱερουργίαν οἱονεὶ μισθόν, καὶ ὁ τοῦ Νεοκλέους δὲ Ἀθηναίους ἐδίδασκε θύειν τοῖς πνεύμασιν· αἱ δὲ ὄϊς ἀπραγμόνως καὶ ἄνευ τινὸς τερατείας τοὺς ἀνέμους εἰς ὠδῖνα τὴν σφετέραν ὑπηρέτας ἑτοίμους καὶ ἀκλήτους ἔχουσι. σκοποὶ δὲ ἄρα τούτων εἰσὶ καὶ οἱ ποιμένες ἀγαθοί. ὅταν γοῦν ὁ νότος πνέῃ, τότε τοὺς κριοὺς ἐπὶ τὰς ὄϊς ἄγουσιν, ἵνα ἡ ἐπιγονὴ θηλυγόνος ᾖ αὐτοῖς μᾶλλον.

(552) Ὑπὲρ τοῦ πλείονα τὴν ἐπιγονὴν τῶν ζῴων σφίσι γίνεσθαι οἱ τούτων μελεδωνοὶ καὶ νομεῖς τὰ ἄρθρα τῶν θηλειῶν καὶ οἴων καὶ αἰγῶν ἀνατρίβουσι κατὰ τὸν τῆς ὀχείας καιρὸν ἁλῶν καὶ ⟨νίτ⟩ρου τὰς χεῖρας ἀναπλήσαντες. ἐκ τούτων ὄρεξις αὐτοῖς γίνεται πρὸς τὴν ἀφροδίτην μᾶλλον. ἕτεροι δὲ πεπέριδι | καὶ μέλιτι τὰ αὐτὰ χρίουσι, νίτρῳ δὲ ἄλλ⟨οι καὶ f. 381r κνίδης καρπῷ· σμ⟩υρνίῳ δὲ ἤδη τινὲς ἔχρισαν καὶ νίτρῳ. ⟨ἐκ δὴ τοῦδε τοῦ ὀδαξησ⟩μοῦ ἀκράτορες ἑαυτῶν γίνονται αἱ θήλ⟨ειαι ποῖμναι καὶ ἐπιμαίνον⟩ται τοῖς ἄρρεσιν.

(553) Ὕεται Ἰνδῶν ἡ γῆ δ⟨ιὰ τοῦ ἦρος μέλιτι⟩ ὑγρῷ καὶ ἔτι πλέον ἡ Πραισίων χώρα, ὅπερ οὖν ἐμπ⟨ῖπ⟩τον ⟨ταῖς πό⟩αις καὶ ταῖς τῶν ἑλείων καλάμων κόμαις, νομὰς τοῖς ⟨βουσὶ⟩ καὶ τοῖς προβάτοις παρέχει θαυμαστάς, καὶ τὰ μὲν ζ⟨ῷα ἑστιᾶ⟩ται τήνδε τὴν ἡδίστην τροφήν· μάλιστα γὰρ ἐνταῦθα οἱ νο⟨μεῖς ἄγουσ⟩ιν αὐτά, ἔνθα καὶ μᾶλλον ἡ δρόσος ἡ γλυκεῖα κάθηται πεσοῦσα, ἀντεφεστιᾷ δὲ καὶ τὰ ζῷα τοὺς νομέας· ἀμέλγουσι γὰρ περιγλύκιστον γάλα, καὶ οὐ δέονται ἀναμῖξαι αὐτῷ μέλι, ὅπερ δρῶσιν Ἕλληνες.

(554) Αἰσχυλίδης ἐν τοῖς περὶ γεωργίας κατὰ τὴν Κίων γῆν πρόβατα γίνεσθαι ὀλίγα ἑκάστῳ τῶν γεωργῶν φησι. τὸ δὲ αἴτιον λεπτόγεών τε εἶναι

11 ὑπὲρ] Ael. nat. anim. IX 48 (p. 235,14—23 Herch.) 19 ὕεται] Ael. l. c. XV 7 (p. 371,22—31 Herch.) 26 Αἰσχυλίδης] Ael. l. c. XVI 32 (p. 406,21—407,2 Herch.)

4 αὐτῷ om. D: addidi ex Ael. ὑπισχνεῖτο Hercher ἤκουσιν Ael.: ἤκουσεν D 5 Νεοκλέους Ael.: νικοκλέους D 6 καὶ ἄνευ τινὸς τερατείας D Ael.: cum Apost. omisit Hercher 9 γονὴ Hercher 11 Ὀπὲρ culpa rubricatoris D 12 καὶ νομεῖς eiecit Hercher 13 νίτρου Ael.: . . . τρου cetera corrosa D. Hercher ubique λίτρον scripsit 14 πρὸς D: περὶ Ael. 15 ἄλλ . . . . . . . . . . . . . . . . . . . . . υρνίῳ D: corrosa ex Ael. restitui 16 ἐκ δὴ—ἀκράτορες (17) Ael.: . . . . . . . . . . . . . . . . . . μοῦ . ’κράτορες cetera corrosa D 17 θήλ . . . . . . . . . . . . . . . . . . . . . . . . ται D: corrosa restitui ex Ael. 19 ὕεται Ael.: Ἔεται culpa rubricatoris D ἡ Ἰνδῶν γῆ Ael. διὰ τοῦ ἦρος μέλιτι Ael.: δ . . . . . . . . . . . . . . . cetera corrosa D 20 πραισίων D Ael.: Πρασίων Hercher? ἐμπῖπτον ταῖς πόαις Ael.: ἐμπ . . τον . . . . . . αις cetera corrosa D ἑλείων D 21 βουσὶ rest. ex Ael. 22 ζῷα ἑστιᾶται Ael.: ζ . . . . . . . ται cetera D τήνδε τὴν ἡδίστην τροφὴν D: τήνδε τὴν ἡδίστην Ael.: ἡδίστην τήνδε ἑστίασιν Hercher 23 νομεῖς ἄγουσιν Ael.: νο . . . . . . . . . ιν cetera corrosa D 24 ἀντεφεστιᾷ D Ael.: ἀνθεστιᾷ Hercher περιγλύκιστον Ael.: περιγλύκιον D 25 ὅπερ D: ὅπερ οὖν Ael.

26 Κίων Ael.: κίων (ο supra ί) D: Κείων Hercher

τὴν Κίον ἰσχυρῶς καὶ νομὰς οὐκ ἔχειν· κύτισον δὲ καὶ θρία ἐμβάλλειν καὶ τῆς ἐλαίας τὰ ῥεύσαντα φύλλα, καὶ μέντοι καὶ τῶν ὀσπρίων ἄχυρα ποικίλα τε καὶ ποικίλων ἐκείνοις ἀγαθῶν εἶναι ταῦτα δεῖπνον, παρασπείρειν δὲ καὶ ἀκάνθας, γίνεσθαι δὲ ἐξ αὐτῶν γάλα καὶ τοῦτο τυρούμενον τυρὸν ἐργάζεσθαι κάλλιστον· καλεῖσθαι δὲ αὐτὸν Καύθιον ὁ αὐτὸς λέγει, καὶ μέντοι καὶ τὸ τάλαντον αὐτοῦ πιπράσκεσθαι δραχμῶν ἐνενήκοντα. γίνεσθαι δὲ καὶ ἄρνας τὴν ὥραν διαπρεπεῖς καὶ πιπράσκεσθαι οὐ κατὰ τοὺς ἑτέρους, ἀλλὰ καὶ σοβαρωτέρᾳ τῇ τιμῇ.

(555) Ὀψὲ τοὺς γειναμένους ἄνθρωποι γνωρίζειν ἄρχονται διδασκόμενοι καὶ οἱονεὶ κατᾳδόμενοι εἰς πατέρα ὁρᾶν καὶ μητέρα ἀσπάζεσθαι καὶ οἰκείοις προσμειδιᾶν. οἱ δὲ ἄρνες περὶ τὰς μητέρας πηδῶσιν ἀπὸ γενεᾶς, καὶ ἴσασι τό τε ὀθνεῖον καὶ τὸ οἰκεῖον, καὶ παρὰ τῶν νομέων μαθεῖν δέονται οὐδέν.

(556) Ἐκ τοῦ Κτησίου. Τὰ πρόβατα τῶν Ἰνδῶν αἵ τε αἶγες μείζονες ὄνων τῶν μεγίστων εἰσὶ καὶ | ⟨τίκτει . . . . . . . ἑκά⟩στη ὄϊς καὶ αἴξ ὡς f. 381v
ἐπὶ τὸ πολύ· τριῶν δὲ ⟨οὔτε τις ὄϊς οὔτε αἴξ⟩ ἐλάσσω τίκτει· αἱ δὲ πλεῖσται τέσ⟨σαρα. ἔχουσι δὲ οὐρὰς⟩ πλατείας αἵ τε ὄϊς καὶ αἱ αἶγες καὶ μακρὰς κ⟨αὶ ὀλίγου αὐτῆς τῆς⟩ γῆς ψαυούσας· αἱ δὲ καὶ ἕλκουσιν ἐπὶ τῆς γῆς τὰ⟨ς κέρκ⟩ους. ἔχουσι δὲ ὅσον πήχεως τὸ πλάτος. τῶν μὲν οὖν τοκάδων οἰ⟨ων ἀπο⟩τέμνουσι τὰς κέρκους· οὐ γὰρ οἷαί τε βαίνεσθαί εἰσιν, ἐὰν μὴ ⟨ἀποτμη-⟩θῶσιν αἱ οὐραί. καὶ ἐσθίειν ἡδύ ἐστι πάνυ τοῦτο . ὁ . . . . . . . . ς δὲ ἔχει ἑκάστη καὶ δέκα μνᾶς ἕλκουσα, πέντε δὲ ἑκάστη ἡ μικροτάτη οὐρά. ἔλαιον δὲ ποιοῦσιν ἀπὸ τοῦ στέατος τούτου, καὶ ἐπὶ τῷ ὄψῳ τούτῳ μάλιστα χρῶνται τῷ ἐλαίῳ. τῶν δὲ ἀρσένων οἰῶν ἀνασχίσαντες τὴν κέρκον ἐξαιροῦσιν ὁλκὴν τρεῖς μνᾶς, ἐνίων δὲ καὶ τέσσαρας, εἶτα συνάψαντες ὑγιεῖς ποιοῦσιν. εἰ γὰρ καὶ μὴ ἦν τοῦτο ποιεῖν, οὐκ ἂν ἐδύναντο αἱ ὄϊς τὰς κέρκους φέρειν. τοῦτο δὲ ποιοῦσι δι' ἐνιαυτοῦ ἀεί. φύει γοῦν αὖθις τὸ στέαρ καὶ γίνεται ἡ κέρκος ἧπερ καὶ τὸ πρότερον ἦν. ἐν δὲ τοῖς Πυγμαίοις, ὥσπερ καὶ

9 ὀψὲ] unde haec? 13 Κτησίου] cf. Phot. Biblioth. cod. 72 p. 46b35—39. Ael. nat. anim. IV 32 (p. 94,6—17 Herch.)

1 Κίον D Ael.: κέω Hercher κύτισσον D 2 καὶ τῶν D Ael.: καὶ Hercher 3 ποικίλα τε καὶ ποικίλων—ἀκάνθας (4) D: ποικίλα τε καὶ ποικίλον ἐκείνοις ἀγαθὰ—ἀκάνθας Ael.: ποικίλων, παρασπείρειν δὲ καὶ ἀκάνθας, καὶ ἐκείνοις ἀγαθὸν εἶναι ταῦτα δεῖπνον Hercher 4 τυρούμενον D: τρεφόμενον Ael. 5 καύθιον D: κύνθιον Ael.: Κύθνιον Bochart 6 ἐνενήκοντα D: καὶ ἐνενήκοντα Ael. 9 Ὀψὲ culpa rubricatoris D 14 τίκτει . . . . . . . ἑκάστη scripsi: . . . . . . . . . . . . . . . . . στη cetera corrosa D: cf. Phot.: καὶ τίκτουσιν ἀνὰ τεσσάρων (Müller F. H. G: τέσσαρα) καὶ ἕξ ὡς ἐπὶ τὸ πολύ: unde τίκτει μέχρις ἕξ restituas 15 οὔτε τις ὄϊς οὔτε αἴξ scripsi pro corrosis in D cf. Ael. μείω γε μὴν τῶν τριῶν οὔτ' αἴξ Ἰνδικὴ οὔτ' ἂν οἶς ποτε τέκοι 16 τέσσαρα. ἔχουσι δὲ οὐρὰς scripsi: τέσ . . . . . . . . . . . . . . . . cetera corrosa D cf. Phot. ἔχουσι δὲ οὐρὰς μεγάλας 17 καὶ ὀλίγου αὐτῆς τῆς scripsi secundum Aelianum pro corrosis in D 17. 18 τὰς κέρκους. ἔχουσι complevi corrosa τὰ . . . . . ους . χουσι in D 18. 19 οἰῶν ἀποτέμνουσι complevi corrosa οἰ . . . . . τέμνουσι in D 19. 20 ἀποτμηθῶσιν complevi corrosa . . . . . . θῶσιν in D 20 ὁ . . . . . . . . ς D: οὐκ ὀλίγαις coni. Diels 23 ἐξαίρουσιν D 26 δι' scripsi: δ' D

αὐτοὶ μικροί εἰσιν, οὕτως καὶ τὰ πρόβατα μικρά ἐστιν αὐτῶν καὶ τἄλλα πάντα.

(557) Ἐκ τοῦ Ἀριστοτέλους Περὶ παραδόξων ἀκουσμάτων. Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ καὶ τὰ λοιπὰ τετράποδα· καθ' ἡμέραν δὲ πρὸς τὸ πέλαγος ἀντία τὰ πρόσωπα ποιήσασαι, χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα. (558) παρὰ τοῖς Ὀμβρικοῖς φασι τὰ βοσκήματα τίκτειν τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων. εἶναι δὲ καὶ τὰς γυναῖκας ⟨πολυγόνους⟩ καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείους δύο καὶ τρία. καὶ περὶ τὸ Λύκειον καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ. (559) λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν, ἐνίοτε δὲ καὶ πέντε καὶ πλείους. ἔτι δὲ καὶ γάλακτος ⟨ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας⟩ οὐχ ὥσπερ | παρὰ τοῖς ἄλλοις f. 382r ἅπαξ φέρειν, ἀλλὰ ⟨καὶ πλεονάκις. (560) ἐν Ἰλλυρι⟩οῖς δὲ τοῖς Σαρδίοις καλουμένοις, π⟨αρὰ τὰ μεθόρια τῶν Αὐ⟩ταριατῶν κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, ⟨τούτου δὲ πλησίον ἄ⟩γκος, ὅθεν ὕδωρ ἀναπιδύειν οὐ πᾶσαν ὥραν ⟨ἀλλὰ τοῦ ἦρος, πο⟩λὺ τῷ πλήθει· λαμβάνοντες οὖν τὰς μὲν ἡμέρας ⟨ἐν τῷ στεγνῷ φ⟩υλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. καὶ ⟨πέντε ἢ ἓξ ἡ⟩μέρας τουτὶ ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γί⟨νεται κάλλι⟩στον ⟨ἅλας,⟩ ὃ ἕνεκα τῶν βοσκημάτων μάλιστα διατηροῦσιν· οὐ γὰρ εἰ⟨σάγονται π⟩ρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω αὐτοὺς θαλάσσης καὶ εἶναι αὐτοὺς ἀμίκτους. πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων.

---

4 αἱ ἐν Κεφαλληνίᾳ] Arist. mirab. ausc. 9 p. 831a19 6 παρὰ τοῖς Ὀμβρικοῖς] Arist. l. c. 80 p. 836a19 10. 11 λέγεται] Arist. l. c. 128 p. 842b27 15 ἐν Ἰλλυριοῖς] Arist. l. c. 138 p. 844b9

---

4 Οἱ culpa rubricatoris D κεφαλληνίᾳ D τὰ λοιπὰ D: τἄλλα Arist. (v. l. τὰ πολλὰ ἄλλα Sa Ta) 9 πολυγόνους om. D: addidi ex Arist. πλείους D: πλείστας Arist. 10 καὶ περὶ τὸ Λύκειον — Πελοποννήσῳ inepto excerptoris errore ex extremo capitulo praecedente [§ 127 p. 842b25] translata sunt 12 τρεῖς καὶ D: τρεῖς ἢ Arist. 13 ἐνίοτε D: ἔνια Arist. ἀφιέναι — ἀλεκτορίδας om. D: restitui ex Arist. 15 ἅπαξ τίκτειν, ἀλλὰ δὶς ἢ τρὶς τῆς ἡμέρας Arist. καὶ πλεονάκις ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις (v. l. ἀρδίοις Ba Ra ταρδίοις Sa) scripsi: .................... οἷς δὲ τοῖς σαρδίοις cetera corrosa D 16 παρὰ τὰ μεθόρια τῶν Αὐταριατῶν Arist.: π .................... ταρειατῶν cetera corrosa D κἀκείνων sic etiam Arist. 17 τούτου δὲ πλησίον ἄγκος Arist.: ................. γος cetera corrosa D ἀναπιδύειν scripsi cf. Theophr. C. Pl. 6, 4, 1: ἀναπιδίειν D: falso ἀναπηδᾶν Arist. 18 ἀλλὰ τοῦ ἦρος, πολὺ Arist.: ............... λὺ cetera corrosa D λαμβάνοντες οὖν D: ὃ λαμβάνοντες Arist. 19 ἐν τῷ στεγνῷ φυλάττουσι ex Arist. rescripsi ............... υλάττουσαι corrosa D. fortasse post στεγνῷ erat τοῦτο in corrosis 20 πέντε ἢ ἓξ ἡμέρας Arist.: .......... μέρας cetera corrosa D τουτὶ D: τοῦτο Arist. 20. 21 γίνεται κάλλιστον ἅλας ὃ Arist.: γί .......... στον .... ὁ cetera corrosa D 22 εἰσάγονται πρὸς Arist : εἰ ......... ρὸς cetera corrosa D 25 ἀπόλυσθαι D

(561) Αἰλιανοῦ. Ἡ ὗς γνωρίζει τοῦ συβώτου ⟨τὴν⟩ φωνήν, καὶ ὑπακούει καλοῦντος, κἂν ᾖ πλανηθεῖσα. πλησίον δὲ τούτου τὸ μαρτύριον· τῇ γῇ τῇ Τυρρηνίδι κακοῦργοι σὺν νηὶ προσέσχον· καὶ προελθόντες τῆς νηὸς αὐλίῳ περιτυγχάνουσι, καὶ ἦν συβωτῶν τὸ αὔλιον, καὶ εἶχε πολλὰς ὗς. ταύτας οὖν συλλαβόντες εἰς τὴν ναῦν ἐνέβαλον, καὶ ἀπολύσαντες τὰ πείσματα εἴχοντο τοῦ πλοός. οἱ τοίνυν συβῶται παρόντων μὲν τῶν λῃστῶν ἡσύχαζον, ἐπεὶ δὲ ἔτυχον τῆς γῆς ἀποσαλεύσαντες ὅσσον τε γέγωνε βοήσας, ἐνταῦθα τὰς σῦς τῇ συνήθει βοῇ ὀπίσω καὶ παρὰ σφᾶς ἀπεκάλουν οἱ συβῶται. αἱ δ' ὡς ἤκουσαν, ἐπὶ θάτερα τοῦ πλοίου ἑαυτὰς συνώσασαι ἀνέτρεψαν αὐτό. καὶ οἱ μὲν κακοῦργοι παραχρῆμα διεφθάρησαν, αἱ δὲ ὗς παρὰ τοὺς ἑαυτῶν δεσπότας ἀπενήξαντο.

(562) Τὴν ὗν κρέας ἔχειν τῶν ἄλλων κρεῶν ἥδιον ἐκ πολλοῦ πεπίστευται. ⟨καὶ⟩ ἐκεῖνο δὲ ἡ πεῖρα διδάξει καὶ μάλα γε ἐναργής. ὅταν ποτὲ σαλαμάνδραν φάγῃ, αὕτη μέν ἐστιν ἀπαθής, τούς γε μὴν αὐτῆς γευσαμένους ἀποκτείνει.

(563) Λέγει Δημόκριτος πολύγονον εἶναι | ⟨ὗν καὶ κύνα καὶ τὴν⟩ αἰ- f. 382v τίαν προστίθησι λέγων ὅτι πολλὰς ⟨ἔχει τὰς μήτρας καὶ τ⟩οὺς τόπους τοὺς δεκτικοὺς τοῦ σπέρματος. ὁ τοί⟨νυν θορὸς οὐκ ἐκ μιᾶς ὁρ⟩μῆς ἁπάσας αὐτὰς ἐκπληροῖ, ἀλλὰ καὶ δὶς ⟨καὶ τρὶς ταῦτα⟩ τὰ ζῷα ἐπιθόρνυται, ἵνα ἡ συνέχεια πλη⟨ρώσῃ τὰ τοῦ γόνου⟩ δεκτικά.

(564) Ἀκούω δὲ ἐν Κλαζομεναῖς σῦν ⟨γενέσθαι πτη⟩νόν, ἥπερ οὖν ἐλυμαίνετο τὴν χώραν τῶν Κλ⟨αζομενίων.⟩ ἔνθεν τοι καὶ χῶρος ἐκεῖ κέκληται Ὑὸς πτερόν· ⟨ὃ⟩ εἴ ⟨τῳ δοκεῖ⟩ μῦθος εἶναι, δοκείτω, ἐμὲ δὲ περὶ ζῴου λεχθὲν καὶ μὴ λαθὸν οὐκ ἐλύπησεν εἰρημένον.

---

1 ἡ ὗς] Ael. nat. anim. VIII 19 (p. 212, 21—213, 3) 12 τὴν ὗν] Ael. l. c. IX 28 (p. 228, 14—18 Herch.) 16 λέγει Δημόκριτος] Ael. l. c. XII 16 (p. 300, 17—23 Herch.) 21 ἀκούω] Ael. l. c. XII 38 (p. 311, 24—31 Herch.)

---

1 Ὓς culpa rubricatoris D τὴν om. D: addidi ex Aeliano 3 Τυρρηνίδι Ael.: τυραννίδι D σὺν νηΐ D: ναῦν λῄστειραν Ael. προελθόντες τῆς νηὸς D: προσελθόντες Ael.: προσσχόντες proposuit Hercher 6 πλοός D cf. Lobeck Paral. I 173: πλοῦ Ael. 7 ὅσσον Ael.: ὅσον D γέγωνε Ael.: γεγωνέναι D 8 ἐνταῦθα D: ἐνταῦθά τοι Ael. καὶ del. Hercher 9 αἵ δ' D: αἱ δὲ Ael. 12 κρέας—ἥδιον D cod. Med. Ael.: κρέα—ἡδίω vulg. Ael. 13 καὶ om. D: addidi ex Aeliano διδάσκει Schneider ἐναργῶς Hercher 16 πολύγονα Ael. ὗν καὶ κύνα καὶ τὴν corrosa in D rescripsi ex Aeliano 17 ἔχει τὰς μήτρας καὶ τοὺς Ael.: . . . . . . . . . . . . . . . . . οὺς cetera corrosa D 18 post ὁ spatium corrosum duarum litterarum in D τοίνυν θορὸς οὐκ ἐκ μιᾶς ὁρμῆς Ael.: τοί . . . . . . . . . . . . . . . . μῆς cetera corrosa D 19 δίς τε καὶ τρὶς ταῦτα Ael.: καὶ δίς . . . . . . . . . . . cetera corrosa D 20 πληρώσῃ τὰ τοῦ γόνου Ael.: πλη . . . . . . . . . . . . . . cetera corrosa D 21 δὲ D Ael.: δὲ καὶ Hercher secundum cod. Vat. Ael. γενέσθαι πτηνὸν Ael.: . . . . . . . . . . νὸν cetera corrosa D 22 Κλαζομενίων scripsi: κλ . . . . . . . . . D: τὴν Κλαζομενίαν· καὶ λέγει ταῦτο Ἀρτέμων ἐν τοῖς Ὥροις τοῖς Κλαζομενίων Ael. 23 πτερόν· ὃ εἴ τῳ δοκεῖ scripsi: πτερόν· . εἴ . . . . . . . cetera corrosa D: πτερωτῆς ὀνομαζόμενός τε καὶ ᾀδόμενος. τοῦτο δὲ εἴ τῳ δοκεῖ Ael. 23 ἐμὲ δ' οὖν Ael.

(565) Λόγος που διαρρεῖ Τυρρηνὸς ὁ λέγων τοὺς ὗς τοὺς ἀγρίους καὶ τοὺς παρ' αὐτοῖς ἐλάφους ὑπὸ δικτύων μὲν καὶ κυνῶν ἁλίσκεσθαι, ᾗπερ οὖν θήρας νόμος, συναγωνιζομένης δὲ αὐτοῖς τῆς μουσικῆς καὶ μᾶλλον. πῶς δέ, ἤδη λέγω. τὰ μὲν δίκτυα περιβάλλουσι καὶ τὰ λοιπὰ θήρατρα, ὅσα ἐλλοχᾷ τὰ ζῷα· ἕστηκε δὲ ἀνὴρ αὐλῶν τεχνίτης καὶ ὡς ὅτι μάλιστα τοῦ μέλους πειρᾶται ὑποχαλᾶν καὶ ὅτι ποτέ ἐστι τῆς μούσης σύντονον ἐᾷ, πᾶν δὲ ὅτι γλύκιστον αὐλῳδίας τοῦτο ᾄδει· ἡσυχία τε καὶ ἠρεμία ῥᾳδίως διαπορθμεύει, καὶ εἰς τὰς ἄκρας καὶ εἰς τοὺς αὐλῶνας καὶ εἰς τὰ δάση καὶ εἰς ἁπάσας συνελόντι εἰπεῖν τὰς τῶν θηρίων κοίτας καὶ εὐνὰς τὸ μέλος εἰσρεῖ. καὶ τὰ μὲν πρῶτα παριόντος αὐτοῖς εἰς τὰ ὦτα τοῦ ἤχου ἐκπέπληγε, καὶ διὰ τὸ ἄηθες ὅπου καὶ δείματος ὑποπίμπλαται· εἶτα ἀκρατῶς καὶ ἀμάχως αὐτὰ ἡδονὴ τῆς μούσης περιλαμβάνει, καὶ κηλούμενα λήθην ἔχει καὶ ἐγγόνων καὶ οἰκιῶν καὶ χωρῶν. καίτοι φιλεῖ τὰ θηρία μὴ ἀπὸ τῶν συντρόφων χωρίων πλανᾶσθαι. τὰ δ' οὖν Τυρρηνὰ κατ' ὀλίγον ὥσπερ ὑπό τινος ἴυγγος ἀναπειθούσης ἕλκονται καὶ καταγοητεύσαντος τοῦ μέλους ἀφικνεῖται καὶ ἐμπίπτει ταῖς πάγαις τῇ μούσῃ κεχειρωμένα.

(566) Ἐκ τοῦ Τιμοθέου. Θερμόν τι καὶ ὀξὺ θηρίον ὁ σῦς καὶ ἰταμώτατον | τὴν ὁρμήν· τάχα γοῦν καὶ καυστικὸν καὶ ⟨θερμὸν ἔχει τὸν f. 383r ὀδόντα· τεκμ⟩ηρίῳ δὲ χρήσῃ πρὸς τὸ πρᾶγμα τοι⟨ῷδε. εἰ προσάψαις τῷ ὀδόν⟩τι τοῦ αὐχένος τρίχα λαβών, προσφ⟨λεγομένην ἂν εὐθέως ἴ⟩δοις αὐτὴν ὥσπερ ὑπὸ πυρὸς τηκομένην κα ................ ὰ καὶ οἷς ἐνῆκεν † ὀδοντοκύνας εἰ θεάσῃ τὰς παρὰ τὴν πλη⟨γὴν τρίχας τετηκυ⟩ίας ἂν αὐτὰς ὄψῃ καὶ μεμαρασμένας.

(567) Ἡ δὲ τῶν Λι⟨βύων γῆ, κ⟩αίτοι πάντων οὖσα θηρίων μήτηρ καὶ

---

1 λόγος] Ael. l. c. XII 46 (p. 316,21—317,13 Herch.). cf. § 496 p. 128,16 17 θερμόν] Timoth. p. 21,3 κεφ. λγ'. περὶ κάπρου. ὅτι ὁ κάπρος τοσοῦτον ἔχει θερμὸν τὸν ὀδόντα ὥστε τρίχα προσαπτομένην καίειν, καὶ ὑπὸ τοῦ δήγματος αὐτοῦ ἀπορρέουσιν αἱ τρίχες τῶν κυνῶν. cf. Oppian. Cyneg. III 379 sqq. Xen. Cyneg. 10,17 24 ἡ δὲ τῶν Λιβύων] Timoth. p. 21,7 ὅτι ἡ Λιβύη σύαγρον οὐ τρέφει παντοῖα θηρία τρέφουσα. cf. Herod. IV 192. Arist. hist. anim. Θ 28 p. 606a6

---

1 τυρηνὸς D 2 τοὺς D: τὰς Ael. ὑπὸ D Hercher: καὶ ὑπὸ Ael. 3 νόμος Ael.: νόμους D 4 λέγω D Ael.: ἐρῶ Hercher ἀδίκτυα D 6 πειρᾶται τοῦ μέλους Ael. 7 ἡσυχία τε καὶ ἠρεμία scripsi cum Herchero: ἡσυχίᾳ τε καὶ ἠρεμίᾳ editi Ael.: ἡσυχίᾳ τε καὶ ἠρεμίᾳ D: ante ἡσυχία lacunam indicavit Hercher 10 εἰς τὰ ὦτα αὐτοῖς Ael. 11 καὶ διὰ τὸ ἄηθες eiecit Hercher ὅπου D: καί που Ael. 12 ἀκρατῶς καὶ ἀμάχως D Ael.: ἄκρατος καὶ ἄμαχος Hercher ἡδονῇ D 13 ἐγγόνων D Ael.: ἐκγόνων Schneider καὶ χωρῶν D: καὶ χώρων aut χωρίων Ael.: expunxit Hercher 14 τυρηνὰ D 15 ἕλκονται D Ael.: ἕλκεται Reiske 16 ἐμπίπτει Ael.: ἐκπίπτει D 18 θερμὸν ἔχει τὸν ὀδόντα· τεκμηρίῳ scripsi: ....... ............. ηρίῳ cetera blattis corrosa D 19 τοιῷδε. εἰ προσάψαις τῷ ὀδόντι scripsi: τοι .................. τι cetera corrosa D cf. Oppian. l. c. 20 προσφλεγομένην ἂν εὐθέως ἴδοις scripsi: προσφ ................ δοις cetera corrosa D 21 ὀδοντοκύνας D corruptum videtur ex κυνόδοντας cf. p. 143,4 et 13 22 πληγὴν τρίχας τετηκυίας scripsi: πλη ......... ίας cetera corrosa, τρίχας omisisse videtur D 22 ὄψει D 24 Λιβύων γῆ, καίτοι scripsi: λι ....... αίτοι cetera corrosa D

μάλιστα λεόντων, συ⟨ῶν ἐστιν ἄπ⟩ορος, ὥσπερ δὴ πάλιν τὴν Σικελίαν φασὶν ἄγονον εἶναι λ⟨εόντων. (568) σῦς⟩ δὲ σφριγῶν ἔρωτι καὶ πρὸς τὴν θήλειαν ἐκκεκινημένος, εἰ μὴ πειθομένην σχοίη ταύτην, ἀλλὰ τὴν ὁρμὴν ὑπεκκλίνουσαν, εὐθὺς αὐτὴν ἀναιρεῖ τῷ κυνόδοντι τύψας. (569) κάπρῳ δὲ κάπρος ἀντίζηλος γεγονὼς καὶ διαναστὰς ἐς πόλεμον πρῶτον μὲν ἰδιάζει καθ' ὕλην αὔξων τε τὸ σθένος καὶ τὴν δορὰν εὐτονωτέραν ποιῶν καὶ ὀδόντα θήγων καὶ ἀσκούμενος τὰ πολέμια· εἶτα δὲ παρελθὼν τὸν ἀντίπαλον ἐξ ὕλης ἑτέρας προκαλεῖται, καὶ συστάντες ἐς μάχην οὐ πρότερον ἂν παύσαιντο τοῦ πολέμου, μέχρι φόνου ἀλλήλοις αἴτιοι γένωνται. (570) ῥώννυται δὲ καὶ ἄλλως ὁ σῦς, ὁπότε δένδροις προστρίβων ἐκθλίψῃ τοὺς ὄρχεις. λέγεται γὰρ μόνος τῶν ζῴων οὗτος ἑαυτοῦ κρείττων γίνεσθαι ἀποβεβληκὼς τὰ αἰδοῖα. (571) κάπρῳ δὲ ἤδη πρὸς γῆρας ἥκοντι θανάτου αἴτιον τῶν ὀδόντων ὤφθη τὸ χρῆμα· καὶ γὰρ οἱ κυνόδοντες λεγόμενοι τῷ χρόνῳ συναυξηθέντες ἀποδεσμοῦσι τὴν ἄνω γένυν, καὶ οὐ παρὸν αὐτῷ διοῖξαι ποιοῦσι τὸ στόμα. τροφῆς οὖν οὐ μετέχων. ἐντεῦθεν ἀπόλλυται καὶ τούτους ἔχει τῆς φθορᾶς αἰτίους οἵπερ ὅπλον ἦσαν αὐτῷ πρὸς πᾶν τὸ πολέμιον.

(572) Ἐκ τοῦ Κτησίου. Ὗς οὔτε ἥμερός ἐστιν οὔτε ἄγριος ἐν τῇ Ἰνδικῇ ὅλως γῇ, οὐδ' ἂν φάγοι Ἰνδῶν οὐδεὶς ὑὸς κρέας οὐδέν περ μᾶλλον ἢ ἀνθρώπου.

(573) Ἀριστοφάνους περὶ μωνύχων. Ὁ ἵπ⟨πος ἔ⟩στι μὲν τῶν μωνύχων καὶ ἀμφοδόντων, πορεύεται δὲ κατὰ διάμετρον | ⟨χιάζων τοῖς f. 383v σκέλεσι. (574) διο⟩ιχθεὶς δὲ πιμελὴν ἔχει ἀλλ' οὐ στέαρ, πι⟨μελῶδες

2 σῦς] Timoth. p. 21, 8 Haupt. ὅτι τοῦ συὸς ἄγριος ὁ ἔρως ὥστε τὴν θήλειαν φεύγουσαν πολλάκις ὑπ' αὐτοῦ ἀναιρεῖσθαι. cf. Oppian. Cyneg. III 367—378. 4 κάπρῳ Timoth. p. 21, 12 ὅτι ἐὰν σῦς πόλεμον ἔχῃ πρὸς ἕτερον, ἀναχωρῶν εἰς ὕλην γυμνάζεται συνεχῶς, καὶ τὸ δέρμα κρατυνόμενος ἔρχεται καὶ ἀπαύστως μαχόμενος ἀναιρεῖ καὶ ἀναιρεῖται. cf. Arist. hist. anim. Ζ 18 p. 571 b 15—21 9 ῥώννυται] Timoth. p. 21, 15 ὅτι μόνος τῶν ζῴων ἀποβάλλων τὰ αἰδοῖα ἰσχυρότερος γίνεται. cf. Arist. hist. anim. Ζ 28 p. 578 a 32—b 5 12 κάπρῳ] haud dubie e Timotheo 17 ὗς] cf. Ctesiae exc. ap. Phot. Biblioth. cod. 72 p. 46 b 38 ὗς δὲ οὔτε ἥμερος οὔτε ἄγριός ἐστιν ἐν τῇ Ἰνδικῇ 21 μωνύχων] Arist. l. c. Β 1 p. 499 b 11 τὰ μώνυχα, ὥσπερ ἵππος καὶ ὀρεὺς et alibi ἀμφοδόντων] cf. Arist. l. c. Θ 6 p. 595 a 8 τὰ δὲ συνόδοντα σπάσει, οἷον ἵπποι καὶ βόες πορεύεται] Arist. mot. anim. 14 p. 712 b 7 καὶ διὰ τοῦτο οἱ ἵπποι καὶ ὅσα τοιαῦτα, ἵσταται προβεβηκότα κατὰ διάμετρον, καὶ οὐ τοῖς δεξιοῖς ἢ τοῖς ἀριστεροῖς ἀμφοτέροις ἅμα 22 πιμελὴν] Arist. hist. anim. Γ 17 p. 520 a 6 πιμελὴ δὲ καὶ στέαρ διαφέρουσιν ἀλλήλων. τὸ μὲν γὰρ στέαρ ἐστὶ θραυστὸν πάντῃ καὶ πήγνυται ψυχόμενον, ἡ δὲ πιμελὴ χυτὸν καὶ ἄπηκτον· καὶ οἱ μὲν ζωμοὶ οἱ τῶν πιόνων οὐ πήγνυνται, οἷον ἵππου καὶ ὑός, οἱ δὲ τῶν στέαρ ἐχόντων πήγνυνται, οἷον προβάτου καὶ αἰγός . . . 13 γίγνεται δὲ καὶ τὸ ἐπίπλοον τοῖς μὲν πιμελώδεσι πιμελῶδες, τοῖς δὲ στεατώδεσι στεατῶδες

1 συῶν ἐστιν ἄπορος scripsi: συ . . . . . . . . . ορος cetera blattis corrosa D 2 λεόντων. σῦς scripsi: λ . . . . . . . . . cetera corrosa D 6 ante ὀδόντα intercidit τὸν 10 προστρίβων scripsi: ὑποτρίβων D cf. Arist. ξυόμενοι πρὸς τὰ δένδρα ἐκθλίψῃ scripsi: ἐκθλίψει D 15 ἀπόλυται D 17 ὗς scripsi: Ως culpa rubricatoris D 20 ἵππος ἔστι scripsi: ἵπ . . . . στι cetera corrosa D 21 χιάζων τοῖς σκέλεσι. διοιχθεὶς scripsi: . . . . . . . . . . . . . . . . . . . . . ιχθεὶς cetera corrosa D cf. B § 133 p. 72, 5 22 πιμελῶδες δὲ καὶ τὸ ἐπίπλοον scripsi secundum Aristotelem: πι . . . . . . . . . . . . . . . . . . . . ον cetera corrosa D

δὲ καὶ τὸ ἐπίπλο⟩ον· χολὴν μὲν ἔχει, ἀλλὰ παρὰ τὸ ἔντερον κε⟨χυμένη εὑρίσκεται αὔτ⟩η. (575) λέγονται δέ τινες ἵπποι καὶ ἡμίονοι ὀστέον ἔχειν ἐν τῇ καρδίᾳ νεανικόν. (576) σπλὴν βόειος, νεφροὶ ὑικοί, κύστις στερ⟨ρά· κάτω δὲ ἡ μή⟩τρα μεταξὺ ἀρχοῦ καὶ κύστεως· ἔχει δὲ καὶ κοιλίαν ὁμ⟨οίαν . . . . . . ⟩τὰ δ' αὐτὰ καὶ ὄνος καὶ ἡμίονος σπλάγχνα κέκτηνται. (577) ἄρ⟨χεται δὲ ὀχεύ⟩ειν ὁ ἄρρην καὶ ὀχεύεσθαι ἡ θήλεια τριετεῖς γεγονότες· βιώσιμα δὲ γεννᾷ τριετὴς τίκτουσα· συλλαμβάνει δὲ ἕως τριακονταετὴς γένηται. ὀχεύει δὲ ὁ ἄρρην καὶ γόνιμα ποιεῖ ἕως τριῶν καὶ τριάκοντα ἐτῶν, καὶ μάλιστα θέλει βαίνειν ὁ ἵππος ἐπὶ τὰς ἀψήκτους καὶ ἀκαθάρτους καὶ ῥυπαράς. (578) κύει ⟨δὲ⟩ δέκα μῆνας· τῷ δὲ ἑνδεκάτῳ τίκτει ὀρθή. εὐτοκωτάτη ⟨δὲ⟩ τετραπόδων πάντων καὶ κάθαρσιν οὐκ ἀφίησι πολλήν. καὶ τεκοῦσα εὐθέως τὸ χόριον κατεσθίει, καθάπερ καὶ αἱ κύνες καὶ ὁ ἀσκαλαβώτης τὸ γῆρας· καὶ τὸ ἐπιπεφυκὸς δὲ ἐπὶ τοῦ

---

1 χολὴν] cf. Arist. part. anim. Δ 2 p. 676ᵇ25 τὰ μὲν γὰρ ὅλως οὐκ ἔχει χολήν, οἷον ἵππος καὶ ὀρεὺς καὶ ὄνος καὶ ἔλαφος καὶ πρόξ et alibi 2 λέγονται] Arist. hist. anim. B 15 p. 506ᵃ10 ἔχει δὲ καὶ ἡ τῶν ἵππων καρδία ὀστοῦν. cf. Timoth. p. 17, 14 Haupt. 3 σπλὴν] Arist. part. anim. Γ 12 p. 673ᵇ32 σπλῆνα δ' ἔχει τὰ μὲν κερατοφόρα καὶ διχαλὰ στρογγύλον, καθάπερ αἲξ καὶ πρόβατον καὶ τῶν ἄλλων ἕκαστον, εἰ μή τι διὰ μέγεθος εὐαυξέστερον ἔχει κατὰ μῆκος, οἷον ὁ τοῦ βοὸς πέπονθεν· τὰ δὲ πολυσχιδῆ πάντα μακρόν, οἷον ὗς καὶ ἄνθρωπος καὶ κύων, τὰ δὲ μώνυχα μεταξὺ τούτων καὶ μικτόν· τῇ μὲν γὰρ πλατὺν ἔχει τῇ δὲ στενόν, οἷον ἵππος καὶ ὀρεὺς καὶ ὄνος 6 ἄρχεται] Arist. hist. anim. E 14 p. 545ᵇ10 ἵππος δ' ὀχεύειν ἄρχεται διετὴς καὶ ὀχεύεσθαι, ὥστε καὶ γεννᾶν· τὰ μέντοι ἔκγονα τὰ κατὰ τούτους τοὺς χρόνους ἐλάττω καὶ ἀσθενικώτερα. ὡς δ' ἐπὶ τὸ πλεῖστον τριετὴς ὀχεύει καὶ ὀχεύεται. καὶ ἐπιδίδωσι δ' ἀεὶ ἐπὶ τὸ βελτίω τὰ ἔκγονα γεννᾶν μέχρι ἐτῶν εἴκοσιν. ὀχεύει δ' ὁ ἵππος ὁ ἄρρην μέχρι ἐτῶν τριάκοντα καὶ τριῶν, ἡ δὲ θήλεια ὀχεύεται μέχρι τετταράκοντα ἐτῶν, ὥστε συμβαίνει σχεδὸν διὰ βίου γίνεσθαι τὴν ὀχείαν. cf. Arist. l. c. Z 22 p. 575ᵇ21 9 καὶ μάλιστα] non Aristotelica 10 κύει] Arist. l. c. Z 22 p. 575ᵇ26 κύει δ' ἕνδεκα μῆνας, δωδεκάτῳ δὲ τίκτει. cf. Arist. gener. anim. Δ 10 p. 777ᵇ12 διόπερ ἵπποι καὶ τὰ συγγενῆ ζῷα τούτοις ἐλάττω ζῶντα χρόνον κύει πλείω χρόνον· τῶν γὲν γὰρ ἐνιαύσιος ὁ τόκος, τῶν δὲ δεκάμηνος ὁ πλεῖστος 11 ὀρθή] Arist. hist. anim. Z 22 p. 576ᵃ24 ἡ δ' ἵππος ἡ θήλεια ὅταν ἤδη πλησίον ᾖ τῆς ἀφέσεως, ὀρθὴ στᾶσα προΐεται τὸ ἔκγονον εὐτοκωτάτη] Arist. l. c. Z 18 p. 573ᵃ8 ἵππος δὲ τῶν τετραπόδων ἁπάντων εὐτοκώτατον καὶ λοχίων καθαρώτατον, καὶ ἐλαχίστην προΐεται αἵματος ῥύσιν, ὡς κατὰ τὸ τοῦ σώματος μέγεθος 12 καὶ τεκοῦσα] Arist. l. c. Z 22 p. 577ᵃ7 ὅταν δὲ τέκῃ ἡ ἵππος, τό τε χόριον εὐθὺς κατεσθίει, καὶ ἀπεσθίει τοῦ πώλου ὃ ἐπιφύεται ἐπὶ τοῦ μετώπου τῶν πώλων, καλεῖται δὲ ἱππομανές· ἔστι δὲ τὸ μέγεθος ἔλαττον μικρῷ ἰσχάδος, τὴν δ' ἰδέαν πλατύ, περιφερές, μέλαν. τοῦτο ἐάν τις φθῇ λαβὼν καὶ ὄσφρηται ἡ ἵππος, ἐξίσταται καὶ μαίνεται πρὸς τὴν ὀσμήν. διὸ καὶ τοῦτο αἱ φαρμακίδες ζητοῦσι καὶ συλλέγουσιν 13 καὶ ὁ ἀσκαλαβώτης] Arist. l. c. Θ 17 p. 600ᵇ20 ἐκδύνει δὲ τὸ γῆρας ... 22 οἷον ἀσκαλαβώτης τε καὶ σαῦρος καὶ μάλιστα πάντων οἱ ὄφεις

---

1 ἔχει scripsi: ἔχων D 1. 2 κεχυμένη εὑρίσκεται αὔτη scripsi: κε . . . . . . . . . . . . . . . . . . η cetera blattis corrosa D 2. 3 ὀστέον ἔχειν ἐν τῇ καρδίᾳ supplevi corrosa: ὀστέο . . . . . . . . . . . . . . . ᾳ D 4 στερρά· κάτω δὲ ἡ μήτρα scripsi: στερ . . . . . . . . . . . τρα cetera corrosa D 5 ὁμοίαν . . . . . . . scripsi: ὁμ . . . . . . . . . . . . cetera blattis corrosa D 6 ἄρχεται δὲ ὀχεύειν scripsi: ἄρ . . . . . . . . . . . ειν cetera corrosa D διετεῖς ex Arist. commendo 6. 7 γεγονότες βιώσιμα scripsi: γεγον . . . . . . . σιμα cetera corrosa D 10 δὲ (post κύει) om. D: addidi 11 δὲ om. D: addidi

μετώπου τοῦ πωλαρίου. λεγόμενον δὲ ἱππομανὲς εὐθέως κατέδεται. ἔστι δὲ τοῦτο τῷ μεγέθει ἔλαττον ἰσχάδος, μέλαν, πλατύ, περιφερές· ἐὰν δέ τις αὐτὸ φθάσας καὶ λαθὼν τέμῃ καὶ ἀπενέγκῃ, ἐπιγνῴη δὲ ἡ ἵππος, μαίνεται ⟨καὶ⟩ οὐκ ἠρεμεῖ ἕως ἐπιλάθηται. (579) θηλάζει δὲ μῆνας ἕξ. λέγεται δὲ τῇ φύσει φιλόστοργον εἶναι τὸ ζῷον τοῦτο τῶν ἄλλων πρὸς τὰ ἔκγονα· διὸ καὶ ἐκτρέφουσιν αἱ ἵπποι τὰ ἀλλήλων πωλάρια. (580) ὀργᾷ δὲ ἡ ἵππος πρὸς τὴν συνουσίαν μεγάλως· καὶ γὰρ ἱππομανοῦσί τινες αὐτῶν καὶ τρέχουσι ὁτὲ μὲν πρὸς νότον, ὁτὲ δὲ πρὸς βορρᾶν, καὶ οὐδένα ἐῶσι πλησιάζειν μέχρις οὗ πρὸς θάλασσαν ἐλθοῦσαι ἤ τινα ἄλλον τόπον ἐκβάλωσι τὴν ἐπιλεγομένην καπρίαν ἐκ τῆς φύσεως, ὅ ἐστι σαρκίδιον λευκόν, λεπτόν. τοῦτο δὲ λέγουσί τινες εἶναι τὸ ἱππομανές, ἀλλ' οὐ τὸ ἐπὶ τοῦ πώλου ἐπιφυόμενον ὃ αὐτὴ κατέδεται. προϊέναι δὲ καὶ περὶ τὸν χρόνον τοῦ καπριᾶν τὴν φ⟨ων⟩ὴν ὀξεῖαν. καὶ τὴν κέρκον πυκνὰ κινοῦσι καὶ ῥεῖ αὐταῖς ἐκ τῶν αἰδοίων ὅμοιον γονῇ. (581) ἐκβάλλουσι δὲ καὶ πρὸ τοῦ καιροῦ τὰ ἔμβρυα ἐάν τις αὐταῖς κυούσαις προσάγῃ πρὸς τοὺς ⟨. . . . . . . . . . . . . . . . . . . δι⟩ὸ καὶ f. 384r κωλύονται οἱ τρέφοντες εἰσφ . . . . . . . . . . . . . . . . . . . ος καὶ ὁ ὄνος τὸ ἐξουρεῖν τὴν γονήν. οὐκ ἀναβ⟨αίνει δ' ὁ ἵππος ἐπὶ τὴν μητέ⟩ρα. καὶ εἴ ποτε παραλογισαμένου τοῦ ἱπποφορβ⟨οῦ ἀναβαίῃ ἐπὶ τ⟩ὴν μητέρα, τοῦ δὲ ἐπιβάντος καὶ ὀχεύσαντος

4 θηλάζει] cf. Arist. hist. anim. Z 22 p. 576b10 θηλάζειν δέ φασι τὸν μὲν ἡμίονον ἑξάμηνον, εἶτ' οὐκέτι προσίεσθαι διὰ τὸ σπᾶσθαι καὶ πονεῖν· τὸν δ' ἵππον πλείω χρόνον 4. 5 λέγεται] Arist. l. c. I 4 p. 611a9 τῶν δ' ἵππων αἱ σύννομοι, ὅταν ἡ ἑτέρα ἀπόληται, ἐκτρέφουσι τὰ πωλία ἀλλήλων. καὶ ὅλως γε δοκεῖ τὸ τῶν ἵππων γένος εἶναι φύσει φιλόστοργον 6 ὀργᾷ] Arist. l. c. Z 18 p. 572a8 τῶν δὲ θηλειῶν ὁρμητικῶς ἔχουσι πρὸς τὸν συνδυασμὸν μάλιστα μὲν ἵππος, ἔπειτα βοῦς. αἱ μὲν οὖν ἵπποι αἱ θήλειαι ἱππομανοῦσιν . . . . 14 ὅταν δὲ τοῦτο πάθωσι, θέουσιν ἐκ τῶν ἄλλων ἵππων. ἔστι δὲ τὸ πάθος ὅπερ ἐπὶ τῶν ὑῶν λέγεται τὸ καπρίζειν. θέουσι δὲ οὔτε πρὸς ἕω οὔτε πρὸς δυσμάς, ἀλλὰ πρὸς ἄρκτον ἢ νότον. ὅταν δ' ἐμπέσῃ τὸ πάθος, οὐδένα ἐῶσι πλησιάζειν, ἕως ἂν ἢ ἀπείπωσι διὰ τὸν πόνον ἢ πρὸς θάλατταν ἔλθωσιν· τότε δ' ἐκβάλλουσί τι. καλοῦσι δὲ καὶ τοῦτο, ὥσπερ ἐπὶ τοῦ τικτομένου, ἱππομανές. ἔστι δ' οἷον ἡ καπρία. καὶ ζητοῦσι τοῦτο μάλιστα πάντων αἱ περὶ τὰς φαρμακείας. περὶ δὲ τὴν ὥραν τῆς ὀχείας συγκύπτουσί τε πρὸς ἀλλήλας μᾶλλον ἢ πρότερον, καὶ τὴν κέρκον κινοῦσι πυκνά, καὶ τὴν φωνὴν ἀφιᾶσιν ἀλλοιοτέραν ἢ κατὰ τὸν ἄλλον χρόνον· ῥεῖ δ' αὐταῖς ἐκ τοῦ αἰδοίου ὅμοιον γονῇ, λεπτότερον δὲ πολὺ ἢ τὸ τοῦ ἄρρενος· καὶ καλοῦσι τοῦτό τινες ἱππομανές, ἀλλ' οὐ τὸ ἐπὶ τοῖς πώλοις ἐπιφυόμενον 14 ἐκβάλλουσι] Arist. l. c. Z 23 p. 577b5 ὅταν δ' ἵππος ὀχεύσῃ ὄνον ἢ ὄνος ἵππον, πολὺ μᾶλλον ἐξαμβλοῖ ἢ ὅταν τὰ ὁμογενῆ ἀλλήλοις μιχθῇ, οἷον ἵππος ἵππῳ ἢ ὄνος ὄνῳ 16 καὶ ὁ ὄνος] Arist. l. c. Z 23 p. 577a22 ἐξουρεῖ δ' (ὄνος), ὅταν ὀχευθῇ, τὴν γονήν, ἐὰν μὴ κωλύηται· διὸ τύπτουσι μετὰ τὴν ὀχείαν εὐθὺς καὶ διώκουσιν 17 οὐκ ἀναβαίνει] cf. Arist. l. c. I 47 p. 631a1—7. Ael. nat. anim. IV, 7 (p. 83, 7—21 Herch.)

4 καὶ om. D: addidi ἐπιλάθηται D: conicio ἐπιλάβηται, quemadmodum φθάσας καὶ λαθὼν (l. λαβὼν) Aristotelicis respondet ἐάν τις φθῇ λαβών 6 ἔκγονα scripsi: ἔγγονα D 7 ἱππομανοῦσί τινες scripsi: ἱππομανοῦς τινὲς D 8. 9 ἐῶσι πλησιάζειν scripsi ex Aristotele: ἐῶσιν ἡσυχάζειν D 9 ἐκβάλλωσι D 11 τοῦ πώλου scripsi ex Aristotele: τόπου D 12 καπριᾶν sic D 13 φωνὴν scripsi: φ . . ὴν cetera blattis corrosa D 15 lacunas sarcire non contigit διὸ scripsi: . . ὸ cetera corrosa D 17 ἀναβαίνει δ' ἵππος ἐπὶ τὴν μητέρα scripsi: ἀν . β . . . . . . . . . . . . . . . . . . . . . ρα cetera corrosa D 18 ἱπποφορβοῦ ἀναβαίῃ ἐπὶ τὴν scripsi: ἱπποφορβ . . . . . . . . . . . . ὴν cetera corrosa D

μετὰ ταῦτα . . . . . . , α κρημνίσαι ἑαυτόν. (582) νοσοῦσι δὲ οἱ ἵπποι πλείοσι νοσήμ⟨ασι, ποδ⟩άγρᾳ καὶ ἰλεῷ καὶ τετάνῳ καὶ ἐμπυήσεσι καὶ κριθι⟨άσει. ἔστι δ' ἡ κρι⟩θίασις ὠμότης μετὰ στρόφου, ὁ δὲ τέτανος σπασμός, ἡ δὲ ἰλεώ⟨δης νόσος κοι⟩λιακή τις διάθεσις, ἡ δὲ ἐμπύησις ἐν ὑπογαστρίῳ, ἡ δὲ ποδάγρα περὶ τὰ ἄρθρα ὀδύνη. γίνεται δὲ καὶ περὶ μόνον τὸν ἵππον δυσουρίασις. (583) χαίρει δ' ὁ ἵππος πολλῷ ποτῷ καθαρῷ, τροφῇ δ' ὡς ὅτι μάλιστα νοστιμωτάτῃ καὶ καθαρᾷ. (584) ζῇ δ' ὡς ἐπὶ τὸ πολὺ ἔτη τριάκοντα.

(585) Αἰλιανοῦ. ἵπποι δ' εἰς πόλεμον παριόντες ὑπόπτους ἔχουσι τάφρους τε καὶ σταυροὺς καὶ βόθρους καὶ σκόλοπας. (586) δυνατοὶ δὲ καὶ εἰς ὄρχησιν ἐκπαιδεύεσθαι ἵπποι, εἴ τῳ καταθύμιον εἴη καθάπερ τοῖς Συβαρίταις. (587) ἵππος δὲ πιὼν ἐκ τοῦ Κοσσινίτου ποταμοῦ (ἔστι δὲ οὗτος ἐν Θρᾴκῃ) δεινῶς ἐκθηριοῦται· ἐκδίδωσι δὲ ὁ ποταμὸς οὗτος εἰς τὴν Ἀβδηριτῶν καὶ ἀναλίσκεται εἰς τὴν Βιστονικὴν λίμνην. Ὡρώτας δὲ καὶ Ἀδρασίους λέγουσι τοῖς ἵπποις ἰχθύας ἀντὶ χόρτου παραβάλλειν, Μακεδόνας δὲ καὶ Λυδοὺς οὐχὶ τοῖς ἵπποις μόνον ἀλλὰ καὶ τοῖς προβάτοις, Κελτοὺς δέ φασι καὶ ἐν βουσὶ τοῦτο ποιεῖν. ἐν δὲ Μυσοῖς ἀναβαινομένων τῶν θηλειῶν ἵππων ἐπηύλουν τινὲς ὡς ἂν τάχιστά τε ἐγκυμονήσωσιν ὑπὸ τοῦ μέλους θελγόμεναι καὶ καλοὺς ἀποτέκωσι τοὺς πώλους.

Ἰστέον ὅτι ἐν τῷ πλάτει αὐτὰ οὐχ εὗρον.

(588) Λίβυς δὲ ἵππος ὀφθῆναι μὲν ἀπρεπής, εὔδρομος δέ, ὥσπερ εἴρηται, φέρει δὲ οὗτος καὶ ἀχαλίνωτος εἶναι.

---

1 νοσοῦσι] Suid. s. v. τέτανος: τέτανος. νόσος περὶ τοὺς ἵππους γιγνομένη. νοσοῦσι γὰρ οἱ ἵπποι πλείοσι νοσήμασι, ποδάγρᾳ ἰλεῷ τετάνῳ ἐμπυήσεσι καὶ κριθιάσει. ἔστι δὲ ἡ κριθίασις ὠμότης μετὰ στρόφου, ὁ δὲ τέτανος σπασμός, ἡ δὲ ἰλεώδης νόσος κοιλιακή τις διάθεσις, ἡ δὲ ἐμπύησις ἀπόστασις ἐν ὑπογαστρίῳ· ἡ δὲ ποδάγρα ὀδύνη περὶ τὰ ἄρθρα· καὶ δυσουρίασις. cf. Arist. hist. anim. Θ 24 p. 604a22—b10 6 χαίρει] Arist. l. c. Θ 24 p. 605a9 χαίρουσι δ' οἱ ἵπποι τοῖς λειμῶσι καὶ τοῖς ἕλεσιν· καὶ γὰρ τῶν ὑδάτων τὰ θολερὰ πίνουσι, κἂν ᾖ καθαρά, ἀνατρέπουσιν αὐτὰ οἱ ἵπποι ταῖς ὁπλαῖς, εἶτα πιοῦσαι λούονται 7 ζῇ] Arist. l. c. Z 22 p. 576a26 ζῶσι δὲ τῶν ἵππων οἱ μὲν πλεῖστοι περὶ ὀκτωκαίδεκα ἔτη καὶ εἴκοσιν, ἔνιοι δὲ πεντεκαιείκοσι καὶ τριάκοντα· ἐὰν δέ τις ἐπιμελῶς θεραπεύῃ, ἐκτείνει καὶ πρὸς τὰ πεντήκοντα. ὁ δὲ μακρότατος βίος τῶν πλείστων ἐστὶν ὡς ἐπὶ τὸ πολὺ τριακοντέτης· ἡ δὲ θήλεια ὡς ἐπὶ τὸ πολὺ μὲν πέντε καὶ εἴκοσιν ἔτη, ἤδη δέ τινες καὶ τετταράκοντα ἔτη βεβιώκασιν 9 ἵπποι] cf. Ael. nat. anim. VI 6 (p. 141, 9—11 Herch.) 10 δυνατοὶ] cf. Ael. l. c. XVI 23 (p. 401, 3—21 Herch.) 12 ἵππος] cf. Ael. l. c. XV 25 (p. 384, 1—24 Herch.) 20 ἰστέον] cf. Praef. 21 Λίβυς] haec et proxima e Timotheo sumpta docet Timoth. p. 17, 6 Haupt. . . . ὅτι ἀπὸ διαφόρων ἐθνῶν εἰσι διάφοροι ἵπποι κατ' ἀρετὴν et quae apud Oppian. Cyneg. I 158—367 leguntur. cf. Ael. l. c. III 2 (p. 60, 9—20 Herch.)

---

2 νοσήμασι ποδάγρᾳ scripsi: νοσή . . . . . . . . . . . άγρα cetera corrosa D 2. 3 κριθιάσει· ἔστι δ' ἡ κριθίασις scripsi: κριθι . . . . . . . . . . . . . θίασις cetera corrosa D 3 ἡ δὲ ἰλεώδης νόσος κοιλιακή Suid: ἡ δὲ ἰλεώ . . . . . . . . . . . λιακὴ cetera corrosa D 6 καθαρῷ D: Aristophani restituendum καὶ θολερῷ cf. Aristotelica 12 κοσινίτου D 14 αὐδηριτῶν D βιστωνικὴν D ὠρώτας D: Ὠραείτας Ael.: Ὠρείτας Jacobs 15 ἀδρασίους D Ael.: Γεδρωσίους Gillius 16 δὲ scripsi: τὲ D 17 καὶ ἐν D: καὶ τοῖς scribendum Μυσοῖς scripsi ex Aeliano: βουσοῖς D 21 Λίβυς scripsi: Οἴβυς culpa rubricatoris D

(589) Οἱ Θετταλοὶ ἵπποι δεινοὶ μὲν εἰς τὸ συνελάσαι θηρίον. ἀγαθοὶ δὲ εἰς ἅμιλλαν· ἐριστικοὶ γάρ. μέγεθος δέ εἰσι σύμμετροι, τὰς πλευρὰς ἀσαρκότεροι. γαστέρα ἀνεσταλμένοι, τράχηλον περιφερεῖς. † ἐξ ἧς τῇ καθέδρᾳ τὰ νῶτα ἰσοτενεῖς.

(590) Οἱ δὲ Ἀρκάδες ἵπποι δεινὸν βλέπουσι καὶ τὴν ὀσφῦν αἴ⟨ρου⟩σι. | f. 384v ....................ἡ ῥὶς ἐπαγγελίαν φρυάγματος ἔχει καὶ....... .............τόπιν τῶν ποδῶν· ἀτιμάζουσι δὲ ὁ..αὐ........... ......κοί εἰσι τὴν ὁπλήν.

(591) Κυρην⟨αῖοι⟩ δὲ ἵπποι ⟨πεφύκασιν⟩ εἰς ἅρματα καλοὶ καὶ ξυνωρίδας.

(592) ⟨Ο⟩ί ἐ⟨ν Σκυθίᾳ εἰς πο⟩λεμόν εἰσι καλοί· θαρσεῖ γὰρ καὶ οὐ δέδιε. καὶ ⟨τῷ ἀναβάτῃ συμ⟩πάσχει. καὶ πεσόντι παροκλάζει· φιλάνθρωπον γάρ ⟨ἐστιν ἵππος⟩ Σκύθης.

(593) Οἱ δὲ Νισαῖοι ὡραῖοί εἰσ⟨ι. καὶ τῷ σώ⟩ματι τοὺς ἄλλους ὑπερφέρουσι. καὶ εἰσὶ καλοὶ τῷ χαλινῷ. καὶ θράσος ἐν δεινοῖς πολέμοις κτῶνται. καὶ παραγγελμάτων ἀκροαταὶ εἶναι παιδεύονται. καὶ σάλπιγγι διεγείρονται. καὶ εἰσὶν ἀγέρωχοι, μέγιστοι δὲ τὸ σῶμά εἰσι καὶ ὑγρότατοι. ὑψαύχενες, εὔσαρκοι καὶ τοῖς ποσὶ τὴν γῆν κροτοῦντες.

(594) Ἵπποι δὲ Μαυρούσιοι εἴτ' οὖν Λιβυκοὶ πηδήματί εἰσιν εὔκολοι. εὔκοιλοι τὴν ὀσφὺν καὶ ἰχνευτικοὶ καὶ σχολαίῳ βαδίσματι θηρευτικῷ ἁμιλλώμενοι τοῖς κυσί. καὶ τὰς ἐκτροπὰς τῶν θηρίων ἐποπτεύοντες καὶ σοφῶς καὶ ἀφόβως διώκοντες αὐτά· ἀνέκπληκτοι δέ εἰσι πρὸς δόρατα καὶ τὰς σάλπιγγας, ὠκύτατοι δὲ καὶ εὐάγωγοι. δίψης ἀνεχόμενοι, ἥκιστα βουλιμιῶντες.

(595) Τευθρανίας δὲ καὶ Λέσβου ἵπποι θυμοῦ ἐπαγγελίαν καὶ ὅπλων κτύπους συνιᾶσιν.

(596) Ἀρμένιοι δὲ σώματι εὐμεγέθεις εἰσὶ καὶ χρεμετιστικοί. πλατύνωτοι δὲ καὶ βοώδεις. ῥάχιν ὑπέρσαρκοι.

(597) Οἱ δὲ Ἄραβες οἱ πρὸς τῷ ὄρει τῆς Ἰνδικῆς ὄντες ὑψαύχενοί εἰσι καὶ ποδώκεις. ὀξεῖς καὶ κούφως πηδῶντες. γοργοὶ τὸ βλέμμα. πρὸς τὸ καῦμα μὴ ἀπαγορεύοντες. ἱπποτυφίας γέμοντες ἀληθῶς. φοίνικες δέ, ὡς

---

5 Ἀρκάδες ἵπποι] cf. Strab. 8, 388. 13 οἱ δὲ Νισαῖοι] cf. Herod. III 106. D. Chrys. or. 36, p. 449. Arist. hist. anim. I 48 p. 632a30 25 Ἀρμένιοι] cf. Heliod. VII 29

---

1 οἱ scripsi: Ei culpa rubricatoris D 3 ἀσαρκώτεροι D ἐξ ἧς D: conicio ἴξυν εὐκάθεδροι 5 οἱ scripsi: Ei culpa rubricatoris D αἴρουσι scripsi: αἴ... σι cetera corrosa D 6 latere putes tale quid καὶ ἡ οὐρὰ σοβεῖται κατόπιν 7 intercidisse credo ὑπ' αὐτοὺς [sc. τοὺς πόδας] ὑποδεῖσθαι, ἐπεὶ καρτερικοί 9 Κυρηναῖοι scripsi: κυρην... cetera corrosa D πεφύκασιν scripsi pro corrosis in D ἄρματα D 10 Οἱ ἐν Σκυθίᾳ εἰς πόλεμόν εἰσι scripsi: .ἰ ἐ............λεμον εἰσὶ cetera corrosa D 11 τῷ ἀναβάτῃ συμπάσχει scripsi: ..........πάσχει cetera corrosa D 12 ἐστιν ἵππος scripsi: corrosa D 13 Οἱ δὲ Νισαῖοι ὡραῖοί εἰσι. καὶ τῷ σώματι scripsi: Ei δὲ Νισσαῖοι ὡραῖοι εἰσ.........ματι D 18 εἴτ' D 19 εὔκοιλοι D: suspicor ἔγκοιλοι 19. 20 ἀμιλλώμενοι D 23 Τευθρανίας scripsi: Ἡευθρανίας culpa rubricatoris D 24 συνιᾶσιν scripsi: συνίασιν D 27 Ei culpa rubricatoris ἄρραβες D

ἐπίπαν εἰπεῖν, τὴν χρόαν, τὴν προτομὴν σύμμετρον καὶ εὔρυθμον ἔχοντες, τὴν κεφαλὴν ἄν τις αὐτῶν ἴδοι τῷ τοῦ ἱππέως μετώπῳ ἡνωμένην. κ⟨υ⟩δροὶ καὶ δυσγαργάλιστοι, τῇ δὲ ὁρμῇ ὅλους ἑαυτοὺς ἐπιδιδόντες, πηδῶντες κούφως μάλα ἢ τρέχοντες, τὴν ἶριν κεκραμένην καὶ | ὑδαρεστέραν ἔχοντες, f. 385r τοὺς κενεῶνας .................... ἐγκεχυμένοι, τὴν ῥάχιν κοίλην ἔχον⟨τες ................ σις τὴν δίαιταν εὐτελεῖς, ἐμβριθέστατοι .... ....... διαβάσεις ποιούμενοι.

(598) Ἵπποι δὲ ................. τὰ ἐκ τοῦ κενεῶνος εἰς τὰς ὠμοπλάτας πολυ ⟨............ δεκ⟩ατριῶν πλευρῶν ὄντες, τῶν ἄλλων δώδεκα ἐχόντων.

(599) Ἐ ............ αι ἵπποι ἐμβριθεῖς εἰσι καὶ ἡμερώτατοι καὶ ἀ⟨ναβαίνεσθαι⟩ κάλλιστοι, τὴν ῥάχιν κοίλην ἔχοντες, διὰ δὲ τῶν ἰσχ⟨ίων προβαίν⟩οντες, πλατεῖς, μέγιστοι καὶ τὸ φρόνημα κυδρότατοι· οὐ μὴν γίνονται πολλοὶ τοιοῦτοι.

(600) Κυρηναῖοι δὲ ἵπποι ξανθόχροοί εἰσι καὶ καλοί, ῥάχιν καὶ ὀσφὺν ἐντονώτατοι καὶ λιπώδεις.

(601) Λύδιοι δὲ ἵπποι μεγάλοι τὰ σώματά εἰσι καὶ κάλλιστοι, τὴν κεφαλὴν προμήκεις, εὔστερνοι, τὴν οὐρὰν δασεῖς, ἐριστικοί, ὄμμα μαλακοί, τὴν ἶριν οἰνωποί, εὔκομοι, τὸ ἦθος εὐπειθεῖς, δυσχείμεροι, ἁπαλοὶ τὴν σιαγόνα. † ἐγχέμαλοι ἀγαθοὶ καὶ ζυγὸν ὑποδῦναι ἄριστοι.

(602) Λευκανοὶ δὲ ἵπποι φαῦλοι, μικροὶ τὸ σῶμα, δυσειδεῖς τὸ χρῶμα, αἰσχροὶ τὰς ὄψεις, ὑπὸ ζυγὸν δὲ ἐργαστικώτατοι.

(603) Μῆδοι δὲ ἵπποι μέσοι εἰσίν, ὦτα δὲ ἔχουσι μικρά, καὶ πρὸς καῦμα ἀπαγορεύουσι δυσπνοίᾳ.

(604) Σαυρομάται δὲ ἵπποι μείζους τῶν Ἰβήρων εἰσίν, οὐ μὴν εὐσαρκότεροι, ἀνάγωγοι δέ εἰσι.

(605) Κενταύρειοι δέ τινες ἵπποι καλοῦνται ἐν Θετταλίᾳ, ὧν αἱ ῥάχεις μετρίως κεκοίλανται εἰς ἀσφαλῆ καθέδραν τοῦ ἱππέως.

(606) Ἰβήριοι δὲ ἵπποι μικροὶ καὶ θηρατικοί· πιστεύονται δὲ οὗτοι ἀπ' ἀγρίων ἵππων γεγονέναι. λεῖοι δέ, ὀξεῖς πρὸς δρόμον, βαδίσαι δὲ ἀφυεῖς.

(607) Καππάδοκες δὲ Ἀρμένιοι εἶναί μοι δοκοῦσιν καὶ Φρύγες. κατὰ τὰ αὐτὰ δὲ τοῖς Δαλμάταις εἰσὶ πάντες, ὡς ἐπὶ πολὺ τοιοῦτοι γινόμενοι.

29 Ἰβήριοι] cf. Oppian. Cyneg. I, 284

2 κυδροὶ secunda littera corrosa D  4 μάλα D: anne scribendum μᾶλλον?  5 quid post κενεῶνας lateat obscurum: si ἐγκεχυμένοι eodem pertinet, fuerit ἐγκεκαμμένοι  6 ἔχον ................. σις cetera corrosa D: ἔχοντες certo rescripsi, cetera ita suppleas: ἐφ' ἧς εὐχερὴς ἡ στάσις  6. 7 lacuna certo expleri nequit  8 τὰς scripsi: τοὺς D  9 δεκατριῶν scripsi: ... ατριῶν cetera corrosa D  12 ἀναβαίνεσθαι scripsi: α ..... ..... cetera corrosa D  12. 13 ἰσχίων προβαίνοντες scripsi: ισχ ...... οντες cetera corrosa D  13 κυδρώτατοι D  15 ξανθόχροοι scripsi: ξανθόγροιοί D  17 Λύδιοι scripsi: Κύδιοι culpa rubricatoris D  18 ἐριστικοὶ (cf. p. 147, 2) loco vix aptum: conicio περίστικτοι  20 ἐγχέμαλοι D. conicio ἀγχέμαχοι. nam bellicam virtutem praedicari ex opposito apparet  23 Μῆδοι scripsi: ἦδοι omissione rubricatoris D  25 ἰβήρων D  27 κενταύριοι D  29 Ἠβήρειοι D

(608) Ὀδρύσαι δὲ Θρᾳκῶν ὀλίγον βελτίους, μεγάλοι τε μεγέθει, χαλεποὶ τιθασεύεσθαι, δηκτικώτατοι, ἄ⟨ψ⟩ηκτοι τὰς ὠμοπλάτας.

(609) Σικελοὶ δὲ ἵπποι ταὐτὸν ἂν ἦσαν τ⟨οῖ⟩ς ............... f. 385v ..... ἄμφω καλοὶ γένοιντο ἂν καὶ ἄριστοι. ἵππων δὲ φ .............. ..... ὧροι, φίλυδροι, θυμοειδεῖς, φιλότιμοι. σ⟨ώ⟩φ⟨ρονες ....⟩

(610) Τοῦ αὐτοῦ ἐκ τοῦ πλάτους.

Ἔστι ⟨μὲν καὶ ἐκ τῶν ἄλλων ὁ⟩ ἵππος γαῦρον· καὶ γὰρ καὶ τὸ μέγεθος καὶ τὸ τάχος ⟨αὐτὸν καὶ τοῦ αὐ⟩χένος τὸ ὑψηλὸν καὶ ἡ τῶν σκελῶν ὑγρότης καὶ ἡ ⟨τῶν ὁπλῶν κροῦσις⟩, πάντα εἰς φρύαγμα καὶ τῦφον ἄγει· μάλιστα δὲ ⟨κομῶσα ἵππος⟩ ἁβρότατόν ἐστι καὶ θρυπτικώτατον. ἀτιμάζει γοῦν ἀνα⟨βῆναι τοὺς⟩ ὄνους αὐτήν, ἵππῳ δὲ ὀχευομένη ἥδεται, καὶ ἑαυτὴν ἀξιοῖ τῶν μεγίστων. ὅπερ οὖν συνειδότες οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι, ἀποθρίξαντες τῆς ἵππου τὴν χαίτην εἰκῇ καὶ ὡς ἔτυχεν, εἶτα μέντοι τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην, πρῶτον αἰδουμένη. καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους.

(611) Τὰ βρέφη τῶν ἵππων ὅταν αἱ μητέρες καταλίπωσι πρὸ τῆς ἐκείνων ἐκθρέψεως οἷον ὀρφανά, ἐκτρέφουσι μετὰ τῶν οἰκείων παίδων οἰκτείρουσαι αἱ ἄλλαι αὐτά.

(612) Ἵππους μονοκέρους γῆ Ἰνδικὴ τίκτει, φασί, καὶ ὄνους μονοκέρους ἡ αὐτὴ τρέφει, καὶ γίνεται καί γε ἐκ τῶν κεράτων τῶνδε ἐκπώματα. καὶ εἴ τις ἐς αὐτὰ ἐμβάλῃ δηλητήριον, ὁ πιὼν οὐ βλαβήσεται· ἔοικε γὰρ ἀμυντήριον τοῦ κακοῦ τὸ κέρας καὶ τὸ τοῦ ἵππου καὶ τὸ τοῦ ὄνου εἶναι.

(613) Τοὺς ἵππους ἕλεσί τε καὶ λειμῶσι καὶ τοῖς κατηνέμοις χωρίοις ἥδεσθαι μᾶλλον ἱπποτροφίας τε καὶ πωλοτροφικῆς ἄνθρωποι σοφισταὶ ὁμολογοῦσιν. ἔνθεν τοι καὶ Ὅμηρος ἐμοὶ δοκεῖ δεινὸς ὢν καὶ τὰ τοιαῦτα συνιδεῖν ἔφη που·

τῷ τρισχίλιαι ἵπποι ἕλος καταβουκολέοντο.

---

7 ἔστι] Ael. nat. anim. II 10 (p. 37,17—30 Herch.) 16 τὰ βρέφη] Ael. l. c. III 8 (p. 61,32—62,3 Herch.) 19 ἵππους] Ael. l. c. III 41 (p. 76,22—27 Herch.) 23 τοὺς ἵππους] Ael. l. c. IV 6 (p. 82,24—83,6 Herch.)

---

1 Ὀδρύσαι scripsi: Ἠδρυσαι culpa rubricatoris D βελτίους, ελ corrosa, D 2 ἄψηκτοι τὰς scripsi: ἄ. ηκτοι τοὺς (ψ littera corrosa) D ἄρρηκτοι coni. Diels 3 τοῖς scripsi: τ . . ς D 5 σώφρονες scripsi: σ . φ . . . . . cetera corrosa D 7 μὲν καὶ ἐκ τῶν ἄλλων ὁ complevi ex Aeliano pro corrosis in D: μὲν τὴν ἄλλως ὁ Hercher 8 αὐτὸν καὶ τοῦ αὐχένος scripsi ex Ael.: ............ χένος cetera corrosa D 9 τῶν ὁπλῶν κροῦσις complevi ex Aeliano pro corrosis in D πάντα expunxit Hercher ἄγει D: ἀνάγει Ael. 10 κομῶσα ἵππος complevi ex Aeliano pro corrosis in D 11 ἀναβῆναι τοὺς Ael.: ἀνα ........ cetera corrosa D ὀχευομένη D: γαμουμένη Ael. 13 ἀποθρίξαντες D: ἀποθρίσαντες Ael. 14 γαμέτην Ael.: γαμετὴν D 16 τῶν D: τὰ τῶν Ael. 17 παιδίων Ael. 19 μονοκέρους (et infra) D: μονόκερως Ael. 20 γίνεται καί γε D. Ael.: γίνεταί γε Hercher 21 δηλητήριον D: φάρμακον θανατηφόρον Ael. οὐ βλαβήσεται D: οὐδὲν ἡ ἐπιβουλὴ λυπήσει αὐτὸν Ael. 22 τὸ τοῦ (bis) D Ael.: τοῦ Hercher cum cod. Mon. 25 δοκεῖ D: δοκεῖν Ael. 26 ποῦ D 27 ἕλος D

ἐξηνεμῶσθαι δὲ ἵππους πολλάκις ἱπποφορβοὶ τεκμηριοῦσι καὶ κατὰ τὸν νότον ἢ τὸν βορρᾶν φεύγειν. εἰδότα οὖν τὸν αὐτὸν ποιητὴν εἰπεῖν·

τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων.

καὶ Ἀριστοτέλης δὲ, ὡς ἐμὲ νοεῖν, λαβὼν ἐντεῦθεν εὐ⟨θ⟩ὺ τῶν προειρημένων ἀνέμων οἰστρηθείσας ἀποδιδράσκειν ἔ⟨φ⟩ατο αὐτάς.

(614) Ἀκούω τὸν Σκυθῶν βασιλέα (τὸ δὲ ὄνομα | εἰδὼς ἐῶ· τί γάρ f. 386r μοι καὶ λυσιτελές ⟨ἐστιν;⟩ ἵππον σπουδαίαν ἔχειν πᾶσαν⟩ ἀρετήν, ὅσην ἵπποι καὶ ἀπαιτοῦνται καὶ ⟨ἀποδείκνυνται, ἔχειν δὲ⟩ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ ⟨διαπρέποντα. οὔκουν εὑ⟩ρίσκοντα οὔτε ἐκείνην ἄλλῳ παραβαλεῖν ἀξίῳ, οὔ⟨τε ἐκεῖνον ἄλλῃ ἐπαγαγεῖν τ⟩ὸ ἐξ αὐτοῦ λαβεῖν σπέρμα ἀγαθῇ καὶ διὰ ταῦ⟨τα ἄμφω συναγα⟩γεῖν ἐς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς ⟨καὶ φιλοφρονεῖ⟩σθαι, οὐ μὴν ἐγχρίπτεσθαι. οὐκοῦν ⟨ἐπεὶ⟩ τῆς ἐπιβουλῆς τ⟨οῦ Σκύθου σοφώτ⟩ερα ἦν τὰ ζῷα, ἐπηλύγασεν ἱματίοις τὸν καὶ τήν, καὶ ἐξ⟨ειργάσαντο τὸ ἔκ⟩νομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθέν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντα κατὰ κρημνοῦ.

(615) Λέγει Εὔδημος ἵππου νέας καὶ τῶν νεμομένων τῆς ἀρίστης ἐρασθῆναι τὸν ἱπποκόμον, ὥσπερ οὖν καλῆς μείρακος καὶ τῶν ἐν τῷ χωρίῳ ὡρικωτέρας πασῶν. καὶ τὰ μὲν πρῶτα ἐγκαρτερεῖν, τελευτῶντα δὲ ἐπιτολμῆσαι τῷ λέχει τῷ ξένῳ καὶ ὁμιλεῖν αὐτῇ. τῇ δὲ εἶναι πῶλον, καὶ τοῦτον καλόν, θεασάμενόν γε μὴν τὸ πραττόμενον ἀλγῆσαι, ὥσπερ οὖν τυραννουμένης ⟨τῆς⟩ μητρὸς ὑπὸ τοῦ δεσπότου, καὶ ἐμπηδῆσαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα, εἶτα μέντοι καὶ φυλάξαι ἔνθα ἐτάφη καὶ φοιτῶντα ἀνορύττειν αὐτόν, καὶ ἐνυβρίζειν τῷ νεκρῷ καὶ λυμαίνεσθαι λύμην ποικίλην, οὐκ αἰσθανόμενος ἀλγοῦντα αὐτόν.

(616) Μόνας ἀκούω τῶν ζῴων τὰς ἵππους καὶ κυούσας ὑπομένειν τὴν

---

6 ἀκούω] Ael. nat. anim. IV 7 (p. 83,7—21 Herch.) 17 λέγει] Ael. l. c. IV 8 (p. 83, 22—84,2 Herch.) 26 μόνας] Ael. l. c. IV 11 (p. 84, 20—24 Herch.)

---

1 ἐξηνεμόσθαι D 2 ἢ Ael.: καὶ D 3 ἠράσατο D 4 εὐθὺ tertia littera corrosa D 5 διδράσκειν Hercher ἔ. ατο secunda littera corrosa D 6 ἀκούω Ael.: ἀκούων D τὸν Ael.: τῶν D 7 ἐστιν ἵππον σπουδαίαν ἔχειν πᾶσαν Ael.: corrosa in D 8 ἀποδείκνυνται ἔχειν δὲ Ael.: corrosa in D 9 ἀρετῇ διαπρέποντα. οὔκουν εὑρίσκοντα Ael.: ἀρ . . ῇ . . . . . . . . . . . . . . . . . . . . ρίσκοντα cetera corrosa D 9. 10 παραβαλεῖν Ael.: παραβάλλειν D 10 οὔτε ἐκεῖνον ἄλλῃ ἐπαγαγεῖν τὸ Ael.: οὔ . . . . . . . . . . . . . . . . . . . . . . . ὀ cetera corrosa D 11 ἀγαθῇ Ael.: ἀγαθὴν D ταῦ . . . . . . . . . . . . γεῖν cetera corrosa D 12 καὶ φιλοφρονεῖσθαι Ael.: . . . . . . . . . . . . . σθαι cetera corrosa D ἐγχρίπτεσθαι D Ael.: ἐγχρίμπτεσθαι ἀλλήλοις Hercher e Vat. 12. 13 οὐκοῦν ἐπεὶ Ael.: οὔκουν D 13 τοῦ Σκύθου σοφώτερα Ael.: τ . . . . . . . . . . . . . ερα cetera corrosa D ἐπηλύγασεν Ael.: ἐπελόγασεν D 14 καὶ τὴν Ael.: καὶ τὸν D ἐξειργάσαντο τὸ ἔκνομόν Ael.: ἐξ . . . . . . . . . . . . . . νομόν cetera corrosa D ἔκδικον Ael.: ἔνδικον D 16 πηδήσαντα D cum vulg. Ael.: πηδήσαντε ex Mediceo restitutum Ael. 19 ὡρικωτέρας Ael.: ὁρικωτέρους D 22 τῆς addidi ex Ael.: om. D 24. 25 αἰσθανόμενος D: αἰσθανομένῳ Ael., cui restitue αἰσθανόμενος ⟨οὐκ⟩. delebat οὐκ αἰσθανόμενος — αὐτόν Hercher 26 Μόνας Ael.: Γόνας culpa rubricatoris D

τῶν ἀρρένων μίξιν· εἶναι γὰρ λαγνιστάτας. διὰ ταῦτά τοι καὶ τῶν γυναικῶν τὰς ἀκολάστους ὑπὸ τῶν σεμνοτέρως αὐτὰς εὐθυνόντων καλεῖσθαι ἵππους.

(617) Οἱ ἵπποι, τὰς κάτω βλεφαρίδας οὔ φασιν αὐτοὺς ἔχειν. Ἀπελλῆν οὖν τὸν Ἐφέσιον αἰτίαν λέγουσιν ἔχειν, ἐπεί τινα ἵππον γράφων οὐ παρεφύλαξε τὸ ἴδιον τοῦ ζῴου. οἱ δὲ οὐκ Ἀπελλῆν φασι ταύτην τὴν αἰτίαν ἐνέγκασθαι, ἀλλὰ Νίκωνα, ἀγαθὸν μὲν ἄνδρα γράψαι τοῦτο τὸ ζῷον, σφαλέντα δὲ ἐς μόνον τὸ εἰρημένον.

(618) Ἵππος εἰ τυγχάνει κηδεμονίας ἀμείβεται τὸν εὐεργέτην εὐνοίᾳ τε καὶ φιλίᾳ. καὶ ὁποῖος μὲν ἦν ὁ Βουκέφαλος εἰς Ἀλέξανδρον διαρρεῖ πανταχόσε ὁ λόγος, καὶ οὔ μοι λέγειν αὐτὸν ἥδιόν ἐστι. καὶ τὸν Ἀντιόχου δὲ ἵππον τὸν τιμωρήσαντα τῷ δεσπότῃ καὶ ἀποκτείναντα ⟨τὸν Γαλάτην f. 386v ὅσπερ οὖν⟩ ἀπέσφαξε τὸν Ἀντίοχον ἐν τῇ μάχῃ (ὄνομα δὲ τῷ ⟨Γαλάτῃ Κεντοαράτης ἦν⟩ ἐ⟩ῶ καὶ τοῦτον. Σωκλῆς δὲ ἄρα (οὐ γάρ ⟨τί που πολλοὶ τόνδε μοι δ⟩οκοῦ⟨σιν⟩ ἐγνωκέναι) Ἀθηναῖος μὲν ἦν, καλὸς δὲ καὶ ⟨ἐδόκει καὶ ἐπεφύκει.⟩ οὗτος οὖν ἐπρίατο ἵππον ὡραῖον μὲν καὶ αὐτό⟨ν, ἐρωτικὸν δὲ ἰσ⟩χυρῶς καὶ οἷον σοφώτερον ἢ κατὰ τοὺς ἄλλους ὁρᾶν ⟨ἵππους. οὐκοῦν ἐρ⟩ᾷ τοῦ δεσπότου δριμύτατα, καὶ προσιόντος ἐφριμάττετο καὶ ⟨ἐπικροτοῦντος⟩ ἐφρυάττετο, καὶ ἀναβαίνοντος ἑαυτὸν παρεῖχεν εὐπ⟨ειθῆ, καὶ⟩ παρεστῶτος κατὰ πρόσωπον ὁ δὲ ὑγρὸν ἑώρα. καὶ ταῦτα μὲν ἐρωτικὰ ὄντα ἤδη ὅμως τερπνὰ ἐδόκει· ἐπεὶ δὲ ἦν ὥς τι καὶ δρασείων εἰς τὸ μειράκιον προπετέστερος, καὶ διέρρει λόγος ὑπὲρ ἀμφοῖν ἀτοπώτερος, ὁ Σωκλῆς οὐκ ἐνεγκὼν τὸ ἀπόφημον, ὡς ἐραστὴν ἀκόλαστον μισήσας ἀπημπόλησε τὸν ἵππον. ὁ δὲ οὐ φέρων τὴν ἐρημίαν τὴν ἀπὸ τοῦ καλοῦ, ἑαυτὸν τοῦ ζῆν ἀπήλλαξε λιμῷ βιαιοτάτῳ.

(619) Μήτηρ δὲ ἄρα καὶ ἡ θήλεια ἵππος ἀγαθὴ ἦν καὶ τοῦ πώλου τοῦ ἐξ αὐτῆς μεμνῆσθαι δεινή. ὅπερ οὖν κατεγνωκὼς Δαρεῖος ὁ κάτω εἶτα μέντοι ἐπήγετο ἐς τὰς μάχας ἐξ ὠδίνων ἵππους τὰ βρέφη καταλιπούσας οἴκοι. τρέφονται δὲ καὶ ὀρφανοὶ μητέρων οἱ πῶλοι γάλακτι ξένῳ, ὥσπερ οὖν καὶ οἱ ἄνθρωποι. οὐκοῦν ὅτε ἡ τροπὴ τῆς μάχης τῆς κατὰ τὸν Ἰσσὸν τὰ Περσῶν πιέζειν ὑπήρξατο, καὶ ἐνικᾶτο Δαρεῖος, ἵππον ἀνέβη

---

4 οἱ ἵπποι] Ael. nat. anim. IV 50 (p. 103, 23—29 Herch.) 8 ἵππος] Ael. l. c. VI 44 (p. 159, 10—32 Herch.) 25 μήτηρ] Ael. l. c. VI 48 (p. 160, 28—161, 7 Herch.)

---

1 διαταῦτοι τοι D 3 αὐτοὺς Ael.: αὐτὰς D 3 et 5 ἀπελῆν D 4 ἐπεὶ Ael.: ἐπί D 6 Μίκωνα rest. Meursius τὸ ζῷον τοῦτο Ael. 7 δὲ ἐς D: δ' οὖν ἐς Ael. 8 τυγχάνοι Hercher 9 Βουκέφαλος D cum vulg. Ael.: Βουκεφάλας ex Medic. edit. Ael. 11 τὸν Γαλάτην ὅσπερ οὖν scripsi ex Ael. pro corrosis in D 12. 13 Γαλάτῃ Κεντοαράτης ἦν ἐῶ scripsi ex Aeliano: . . . . . . . . . . . . . . . . . . . . ' ῶ cetera corrosa D 13. 14 τί που πολλοὶ τόνδε μοι δοκοῦσιν Ael.: . . . . . . . . . . . . . . . . . . . . . . . οκοῦ . . . cetera corrosa D 14. 15 ἐδόκει καὶ ἐπεφύκει rescripsi pro corrosis ex Aeliano 15 ἐπρίατο Ael.: ἐπιπρᾶτο D 15. 16 αὐτόν, ἐρωτικὸν δὲ ἰσχυρῶς Ael.: αὐτο . . . . . . . . . . . χρῶς cetera corrosa D 16 ὁρᾶν eiecit Hercher ἵππους οὐκοῦν ἐρᾷ Ael.: . . . . . . . . . . . . ᾶ cetera corrosa D 17. 18 ἐπικροτοῦντος corrosum in D 18 εὐπειθῆ, καὶ Ael.: εὐπ . . . . . . . cetera corrosa D 20 δρασίων D 22 ἀπεμπόλησε D

θῆλον, φυγῆς δεόμενος καὶ σωτηρίας ὠκίστης. ἡ δὲ ἄρα τοῦ καταλειφθέντος μνήμῃ, ὡς εἶχεν ἐπιθυμίας καὶ πόθων, τὸν δεσπότην ὑμνεῖται τῆς ἀκμῆς τῶν ἐπικειμένων κινδύνων ἐξαρπάσαι. (620) λέγεται δὲ καὶ ἵππου τὰ οὖρα εἰ ἐπισχεθῇ, παρθένον λύσασαν ἣν φορεῖ ζώνην ἐὰν αὐτὸν παίῃ κατὰ τοῦ προσώπου τῇ ζώνῃ, παραχρῆμα ἐξουρεῖν ἀθρόως καὶ τῆς ὀδύνης παύεσθαι. θήλειαν δὲ ἵππον εἰς ἀφ⟨ροδί⟩σια λυττήσασαν πάνυ σφόδρα παῦσαι ῥαδίως ἔστιν, ὡς Ἀριστοτέλης λέγει, εἴ τις αὐτῆς ἀποκείραι τὰς κατὰ τοῦ τένοντος τρίχας· αἰδεῖται γάρ, καὶ οὐκ ἀγανακτήσει, καὶ παύεται ⟨τῆς⟩ ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῷ Τύρῳ τῷ | δράματι· πεποίηται f. 387r δ⟨έ⟩ οἱ αὕτη λέγο⟨υσα, καὶ ἃ λέγει ταῦτά ἐστι·⟩

⟨κ⟩όμης δὲ πένθος † λαχανοπώλου δίκην,
⟨ἥτις συναρπασθεῖσα βουκόλων⟩ ὕπο
μάνδραισιν ἱππείαισιν ἀγρί⟨ᾳ χερὶ⟩
⟨θέ⟩ρ⟨ος θερισθῇ ξανθὸν αὐ⟩χένων ἄπο,
σπασθεῖσα δ' ἐν λειμῶνι ποτα⟨μίων ποτῶν⟩
⟨ἴδῃ σκιᾶς⟩ εἴδωλον αὐγασθεῖσ' ὑπὸ,
κουραῖς ἀτίμ⟨ως διατετιλμένης φόβης.⟩
† κεῦαν ἄν τις οἰκτιρμῶν τίς οἰκτείρει ὃν ἵπ-
π⟨ον ἴσουσιν αἰσχύνῃσιν⟩, οἷα μαίνεται
πενθοῦσα καὶ κλαίουσα τὴν πά⟨ρος φόβην⟩.

3 λέγεται] Ael. nat. anim. XI 18 (p. 280,13—281,2 Herch.) 7 Ἀριστοτέλης] cf. Arist. hist. anim. Z 18 p. 572b7 10 Σοφοκλῆς] fr. 588 Dind.

4 ἵππου D Ael.: ἵππος Jacobs ἐπισχεθείη Hercher παρθένον D Ael.: παρθένος Jacobs λύσασαν D Ael.: λύσασα cum Paris. c Hercher 5 παίσῃ Hercher ἐξουρεῖν — παύεσθαι Ael.: ἐξουρεῖ — παύεται D 6 ἀφροδίσια Ael.: ἀφ . . . . σια cetera corrosa D 7 ἀποκεῖραι D: ἀποκείρει Ael.: ἀποκείρειε Hercher τὰς Ael.: τὰ D 8 ἀγανακτήσει D Ael.: ἀτακτεῖ Hercher: malim ἀγανακτεῖ. (cum ἀγανακτεῖ, praesertim in Sophoclea, non quadret, ἄγαν ἀκταίνει subesse mihi videtur. Diels) 9 τῆς Ael.: corrosum in D κατηφήσασα Ael.: καταφρονήσασα D 11 δέ οἱ αὕτη λέγουσα, καὶ ἃ λέγει ταῦτά ἐστι Ael.: δ. ʼιαυτηλεγο . . . . . . . . . . . . . . . . . . . . . cetera corrosa D 12 κόμης Ael.: .ομος cetera corrosa D πένθος Ael.: πένθης D λαχανοπώλου D cum Ael. Mediceo: λαγχάνω πώλου Ael. 13 ἥτις συναρπασθεῖσα βουκόλων Ael.: corrosa in D 14 μάνδραισιν [μάνδραις ἐν Brunck] ἱππείαισιν ἀγρίᾳ χερὶ Ael.: μάνδρασιν ἱππίασιν ἀγρί . . . ρ . cetera corrosa D 15 θέρος θερισθῇ ξανθὸν αὐχένων Ael.: . . ρ . . . . . . . . . . . . . . . χένων cetera corrosa D 15. 16 ἄπο σπασθεῖσα Grotius ἀποσπασθεῖσα D vulg. Ael.: ἄπο, πλαθεῖσα Reiske 16 δὲ ἐν D ποταμίων ποτῶν Ael.: ποτα . . . . . . . . . cetera corrosa D 17 ἴδῃ σκιᾶς scripsi ex Ael.: corrosa in D αὐγασθεῖσα ὕπο D: αὐγασθεῖσ', ὑπὸ Ael.: αἰκισθεῖσ' ὑπὸ Hercher: αὐγασθεῖσά που Meineke 18 ἀτίμως διατετιλμένης φόβης Ael.: ἀτίμ . . . . . . . . . . . . . . . . . . . . . cetera corrosa D 19. 20 κεῦαν ἄν τις οἰκτιρμῶν τίς οἰκτείρει ὃν ἵππ . . . . . . . . . . . . . . . . . cetera corrosa D: φεῦ ἄν οἰκτίρμων τις οἰκτείρῃ ὃν ἵππον ἴσουσιν αἰσχύνῃσιν vulg. Ael.: φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτείρειέ νιν πτήσσουσαν αἰσχύνῃσιν post alios Hercher 21 πάρος φόβην Ael.: πα . . . . . . . . cetera corrosa D

(621) Ἴδια δὲ ἄρα τῶν ζῴων καὶ ἐκεῖνα λέγεται. α⟨ἱ ἵπποι εἰς ἁρμα⟩τηλασίαν ἐπιτηδειότεραι εἶναι πιστεύονται. πυνθάνομαι δὲ τοὺς ἄνδρας τοὺς πωλευτικοὺς λέγειν ὅτι ἄρα χαίρουσιν ἵπποι λουτρῷ τε καὶ ἀλοιφῇ. ὅτι δὲ καὶ μύρῳ ἐχρίοντο ἵπποι, Σιμωνίδης ἐν τοῖς ἰάμβοις λέγει. Πέρσαι δὲ μετὰ τὴν Κύρου μάχην τὴν ἐν Λυδίᾳ καμήλους τοῖς ἵπποις συντρέφουσι. τὸ δέος τῶν ἵππων τὸ ἐκ τῶν καμήλων εἰς αὐτοὺς ἐξαπτόμενον ἐκβάλλειν πειρώμενοι τῇ συντροφίᾳ.

(622) Ἐν Θετταλίᾳ ὁ μέλλων γαμεῖν θύων τὰ γαμοδαίσια ἵππον εἰσάγει πολεμιστὴν τὸν χαλινὸν περικείμενον καὶ τὴν ἐνόπλιον σκευὴν ἐκείνην πᾶσαν· εἶτα ὅταν ἀπὸ τῆς ἱερουργίας γένηται καὶ σπείσῃ, τῇ νύμφῃ τὸν ἵππον ἀπὸ τοῦ ῥυτῆρος ἀγαγὼν παραδίδωσι. τί δὲ νοεῖ τοῦτο, Θετταλοὶ λεγέτωσαν.

(623) Ἵππον δὲ ἄρα Ἰνδὸν κατασχεῖν καὶ ἀνακροῦσαι προπηδῶντα καὶ ἐκθέοντα οὐ παντὸς ἦν. ἀλλὰ τῶν ἐκ παιδὸς ἱππείαις πεπαιδευμένων. τοῦτο γὰρ αὐτοῖς ἐστιν ἐν ἔθει χαλινῷ ἄρχειν αὐτῶν καὶ ῥυθμίζειν αὐτοὺς καὶ ἰθύνειν, κημοῖς δὲ ἄρα κεντρωτοῖς· ἀκόλαστόν τε ἔχουσι τὴν γλῶτταν καὶ τὴν ὑπερῴαν ἀβασάνιστον· ἀναγκάζουσι δὲ αὐτοὺς ὅμως οἵδε οἱ τῆς ἱππείας σοφισταὶ περικυκλεῖν καὶ περιδινεῖσθαι ἐς ταὐτὸν στρεφομένους. καὶ ἥπερ εἶδον ἀστόμους. δεῖ δὲ ἄρα ⟨τῷ⟩ τοῦτο δράσοντι καὶ ῥώμης χειρῶν καὶ ἐπιστήμης εὖ μάλα ἱππικῆς. πειρῶνται δὲ οἱ προήκοντες εἰς ἄκρον τῆσδε τῆς σοφίας καὶ ἅρμα οὕτως περικυκλεῖν καὶ περιάγειν. εἴη δ' ἂν ἆθλος οὐκ εὐκαταφρόνητος ⟨ἀδηφάγων ἵππων τέτρωρον π⟩εριστρέφ⟨ειν⟩ f. 387v ῥ⟨ᾳδί⟩ως. φέρει δὲ τὸ ⟨ἅρμα⟩ καὶ ⟨παραβάτας. ὁ δὲ στρατ⟩ιώτης ἐλέφας ἐπὶ τοῦ καλουμένου θωρακίου ⟨ἢ καὶ νὴ Δία τοῦ νώτου γυμνοῦ καὶ⟩ ἐλευθέρου ⟨φέρει⟩ πολεμιστὰς μὲν τ⟨ρ⟩εῖς ⟨παρ' ἑκάτερα βάλλοντας⟩ καὶ τὸν τρίτον κατόπιν, τέταρτον δὲ τὸν ⟨τὴν ἅρπην ἔχοντα⟩ διὰ χειρῶν καὶ ἐκείνῃ τὸν θῆρα ἰθύνοντα, ὡς οἴ⟨ακι ναῦν κυβερνη⟩τικὸν ἄνδρα καὶ ἐπιστάτην ⟨τῆς⟩ νεώς.

1 Ἴδια] Ael. nat. anim. XI 36 (p. 289,3—11 Herch.) 4 Σιμωνίδης] cf. Sim. Amorg. fr. 7, 64 B. 8 ἐν Θετταλίᾳ] Ael. nat. anim. XII 34 (p. 310,17—23 Herch.) 13 ἵππον] Ael. l. c. XIII 9 (p. 322,32—323,20 Herch.)

1 ἴδια D λέγεται eiecit Hercher αἱ ἵπποι εἰς ἁρματηλασίαν Ael.: α . . . . . . . . . . . . . τηλασίαν cetera corrosa D 8 ὁ D: δὲ ὁ Ael. τὰ γαμοδαίσια Gesner: τὰ γαμοδέσια Ael.: τὰ μοδέσια D 9 ἐκείνην D: καὶ ἐκείνην Ael. 10 ἱερουργίας Ael.: ἱεραρχίας D σπείσῃ Ael.: πείσῃ D 14 ἐκθέοντα. θέ corrosa, D οὐ παντὸς ἦν Ael.: Τοῦ παντὸς ἢ D ἱππείαις Ael.: ἱππείας D 15 τοῦτο D Ael.: sed scribendum οὐ cum Herchero 16 ἀκόλαστον γὰρ Jacobs 18 περιδινεῖσθαι ex περιδεινεῖσθαι correxit D[1] 18. 19 καὶ ἥπερ εἶδον ἀστόμους delevit Hercher 19 τῷ addidi ex Aeliano 21 ἅρμα Ael.: ἄρα D 22 ἀδηφάγων ἵππων τέτρωρον περιστρέφειν ῥᾳδίως· φέρει δὲ τὸ ἅρμα παραβάτας δύο· ὁ δὲ στρατιώτης Ael.: . . . . . . . . . . . . . . . . . . . ερισστρεφ . . . ρ . . . ως φέρει δὲ τὸ . . . . . . καὶ . . . . . . . . . . . . . . . ιώτης D corrosa ad exemplum Aeliani refeci 24 θωρακίου Ael.: θωρα . . ου cetera corrosa D ἢ καὶ νὴ Δία τοῦ νώτου γυμνοῦ καὶ Ael.: corrosa D 25 φέρει corrosum D τρεῖς, secunda littera corrosa, D παρ' ἑκάτερα βάλλοντας Ael.: corrosa D 26 ἐκείνῃ Ael.: ἐκίνει D 27 οἴακι ναῦν κυβερνητικὸν Ael.: οἴο . . . . . . . . . . . . . τικὸν cetera corrosa D ἐπιστάτην τῆς νεώς Ael.: ἐπιστάντα . . . νεῶς cetera corrosa D

(624) ⟨Τραχούρου γε μὴν ζῶ⟩ντος ἐὰν ἀποκόψῃς τὴν οὐράν, καὶ τὸν τράχουρον ἄρα ⟨ἐλεύθερον ἀ⟩πολύσῃς εἰς τὴν θάλασσαν, τήν γε μὴν προειρημένην οὐρὰν ἐξαρτήσῃς ἵππου κυούσης, οὐ μετὰ μακρὸν ἐκπεσεῖται τὸ ἔμβρυον καὶ ἐξαμβλώσει ἡ ἵππος.

(625) Ἡ ἵππος ὅταν τέκῃ, τοῦ βρέφους ἐκπεφυκυῖαν σάρκα ⟨οὐ⟩ πολλὴν ἀλλὰ ὀλίγην ἀπηρτῆσθαι οἱ μὲν ⟨κα⟩τὰ τοῦ μετώπου φασίν, οἱ δὲ κατὰ τῆς ὀσφύος, ἄλλοι γε μὴν κατὰ τοῦ αἰδοίου. ταύτην γοῦν ἀποτραγοῦσα ἀφανίζει. καλεῖται δὲ τὸ σαρκίον τοῦτο ἱππομανές. οἴκτῳ δὲ ἄρα τῆς φύσεως καὶ ἐλέῳ ἐς τοὺς ἵππους δρᾶται τοῦτο. εἰ γὰρ ἀεί, φασί, καὶ διὰ τέλους προσήρτητο ἐκεῖνο, εἰς οἶστρον ἂν ἀκατασχέτου μίξεως ἐξέπιπτον οἵ τε ἄρρενες καὶ αἱ θήλειαι αὐτῶν. ἔστω δέ, καὶ εἰ δοκεῖ, Ἱππίου Ποσειδῶνος ἢ Ἀθηνᾶς Ἱππίας τοῦτο δῶρον ἵπποις δοθέν, ἵνα αὐτοῖς τὸ γένος διαμένῃ, μηδὲ ἀφροδισίων λύττῃ διαφθείρηται. ἴσασι δὲ ἄρα τοῦτο ἱπποφορβοὶ εὖ καὶ καλῶς. καὶ ἐάν ποτε δεηθῶσι τοῦ προειρημένου σαρκίου εἰς ἐπιβουλήν τινος, ὡς ἐξάψαι οἱ ἔρωτα, τὴν ἵππον κύουσαν παραφυλάττουσι, καὶ ὅταν τέκῃ παραχρῆμα ἁρπάζουσι τὸ πωλίον καὶ ἀποκόπτουσι τὴν προειρημένην σάρκα, καὶ εἰς ὁπλὴν ἐμβάλλουσιν ἵππου θηλείας· ἐνταυθοῖ γὰρ καὶ μόνως ἂν φυλαχθείη καλῶς καὶ ἀποθησαυρισθείη. τὸν δὲ πῶλον ἀνίσχοντι τῷ ἡλίῳ καταθύουσιν· οὐ γὰρ ἔτι θηλάζει ἡ μήτηρ αὐτὸν τὰ γνώριμα ἀφῃρημένον καὶ τῆς εὐνοίας οὐκ ἔχοντα τὴν ὑπόθεσιν· ⟨ἐκ⟩ γάρ τ⟨οι⟩ τοῦ κατατραγεῖν τὴν σάρκα φιλεῖν τὸ βρέφος ἡ μήτηρ ἰσχ⟨υρῶς⟩ ἄρχεται. ὅστις δ' ἂν κατά τινα ἐπιβουλὴν ἀνὴρ ἐκείνου γεύσηται τοῦ σαρκίου ἔρωτι καὶ μάλα γε ἀκρατεῖ συνέχεται καὶ ἐμφρύγεται καὶ βοᾷ καὶ ἀκατασχέτως ὁρμᾷ . . . . . . . . . . . . . . . .

1 τραχούρου] Ael. nat. anim. XIII 27 (p. 337,32—338,5 Herch.) 5 ἡ ἵππος] Ael. l. c. XIV 18 (p. 350,15—351,8 Herch.)

1 τραχούρου γε μὴν ζῶντος Ael.: . . . . . . . . . . . . . . . . ντος cetera blattis corrosa D 2 τράχουρον Ael.: τράχηλον D ἄρα D Ael.: αὖθις cum Vat. Hercher ἐλεύθερον ἀπολύσῃς Ael.: . . . . . . . . . . πολύσῃς cetera corrosa D 3 μακρὸν D Hercher: μικρὸν Ael. 4 ἐξαμβλώσει Ael.: ἐξαμβλώσῃ D 5 ἡ D: om. Ael. οὐ Ael.: corrosum D 6 κατὰ Ael.: . . τὰ D 7 γοῦν D: οὖν Ael. 10 ἐξέπιπτον D cum Aeliani cod. Vat.: ἐξήπτοντο Ael. libri vulg. et editiones 11 καὶ εἰ D vulg. Ael.: εἰ Hercher cum Vat. Ἱππείου Ael. 12 Ἱππείας Ael. 13 διαμείνῃ Hercher 13. 14 ἱπποφορβοὶ τοῦτο Ael. 19 τὰ γνώριμα D: τὸ γνώρισμα Ael. 20 ἐκ γάρ τοι Ael.: . . γάρ τ . . cetera corrosa D 21 ἰσχυρῶς, ἰσχ corrosa, D 22 ἀνήρ, ν et ρ corrosa, D 23 ἐμφρύγεται D Ael.: ἐκφρύγεται cum Vat. Hercher

# INDICES

# I INDEX NOMINUM


Ἀβδηρῖται B 587 p. 146, 14
Ἀβυδινὴ ὄϊς B 519 p. 132, 11
Ἀγαθαρχίδης B 64 p. 52, 12
Ἀγαθοκλῆς B 65 p. 52, 25
Ἀγριοβάρβαροι B 59 p. 51, 5
Ἀδράσιοι (= Γεδρώσιοι) B 587 p. 146, 15
Ἀθηνᾶ B 66 p. 53, 21. — Ἀθηνᾶ Ἱππία B 625 p. 154, 12
Ἀθῆναι B 35 p. 42, 10
Ἀθηναῖος B 203 p. 83, 27. — 551 p. 138, 5. — 618 p. 151, 14
Αἰγύπτιος B 60 p. 51, 29. — 359 p. 106, 9, 14. — 362 p. 107, 25. — 501 p. 129, 18. — κύνες B 191 p. 80, 22. — 200 p. 81, 26. — ἔθος B 359 p. 106, 5. — αἶγες B 522 p. 132, 15
Αἴγυπτος A 11 p. 3, 7. — 37 p. 10, 20. — 91 p. 28, 13. — 98 p. 29, 20. — B 37 p. 42, 20. — 55 p. 49, 20. — 359 p. 106, 5. — 361 p. 107, 19. — 474 p. 125, 25
Αἰθιοπία B 49 p. 46, 28. — 110 p. 61, 9. — 535 p. 133, 18
Αἰθίοψ A 57 p. 15, 17. — B 56 p. 49, 26. — 204 p. 84, 10. — 272 p. 95, 4
Αἰλιανὸς A tit. p. 1, 5. — B 290 p. 97, 8. — 300 p. 98, 12. — 314 p. 99, 19. — 337 p. 102, 16. — 374 p. 109, 18. — 381 p. 110, 5. — 392 p. 113, 4. — 411 p. 116, 9. — 420 p. 118, 1. — 428 p. 119, 1. — 434 p. 120, 1. — 441 p. 120, 17. — 460 p. 122, 15. — 493 p. 128, 6. — 518 p. 132, 10. — 561 p. 141, 1. — 585 p. 146, 9
Αἰσχυλίδης B 554 p. 138, 26
Ἀκάθαρτοι B 56 p. 49, 25. — 60 p. 51, 21
Ἀκριδοφάγοι B 57 p. 50, 1. — 58 p. 50, 21
Ἀλέξανδρος (ὁ μέγας) B 117 p. 64, 3. — 618 p. 151, 9
Ἀλέξανδρος ὁ Μύνδιος B 545 p. 134, 18
Ἄλπεις B 273 p. 95, 12
Ἀμανὸν ὄρος B 501 p. 129, 9
Ἀμύντας B 358 p. 106, 3
Ἀμφιάρεως ὁ Οἰκλέους B 128 p. 69, 20
Ἀναστάσιος ὁ βασιλεὺς B 271 p. 94, 13
Ἀντίγονος B 124 p. 67, 14
Ἀντίοχος B 618 p. 151, 10, 12
Ἀντιόχου πόλις B 119 p. 64, 14
Ἀπελλῆς B 617 p. 151, 3, 5
Ἀπίων B 504 p. 130, 4
Ἀπόλλων B 226 p. 87, 7
Ἀπολλωνιάτης A 78 p. 23, 14
Ἄραβες B 551 p. 137, 22. — ἵπποι B 597 p. 147, 27
Ἀραβία B 46 p. 45, 11. — 325 p. 101, 16
Ἀράβιος, — ία κάμηλος B 451 p. 121, 15. — ὄϊς B 532 p. 133, 9
Ἀραχῶται B 508 p. 131, 14
Ἄργος ὁ κύων B 202 p. 83, 22
Ἄργος (τὸ) B 118 p. 64, 11
Ἄρης B 384 p. 111, 7
Ἀριστοκλῆς B 204 p. 84, 13
Ἀριστόμαχος B 227 p. 87, 18
Ἀριστοτέλης A tit. p. 1, 4. — 1 p. 1, 13. — 35 p. 7, 14. — 37 p. 10, 5. — 55 p. 14, 10. — 57 p. 15, 14. — 80 p. 24, 9. — 98 p. 29, 20. — B 1 p. 36, 4. — 5 p. 36, 16. — 6 p. 36, 25. — 18 p. 39, 5. — 26 p. 40, 20. — 96 p. 59, 12. — 314 p. 99, 19. — 338 p. 103, 6. — 342 p. 103, 31. — 358 p. 106, 2. — 369 p. 109, 3. 435 p. 120, 4. — 444 p. 120, 25. — 538 p. 134, 2. — 543 p. 134, 7. — 557 p. 140, 3. — 613 p. 150, 4. — 620 p. 152, 7
